# PROCHEIRON NOMŌN, TO LEGOMENON HL· HEXABIBLOS, ...

Konstantin Harmenopulos, Theodoricus Adamaeus

Digitized by Google

71
3 C
21

Ex Bibliotheca
majori Coll. Rom.
Societ. Jesu
IV. ~~12. e~~

IV
4
E

4.—2. B. 19.

Digitized by Google

Digitized by Google

I

Coll. Rom. Soc. Iesu cat. inst. ex Bibl. ...

# ΠΡΟΧΕΙΡΟΝ ΝΟΜΩΝ,

ΤΟ ΛΕΓΟΜΕΝΟΝ Η ΕΞΑΒΙΒΛΟΣ, ΣΥΝΑΘΡΟΙΣΘΕΝ πάντοθεν κατ' ἐκλογὴν καὶ κατ' ἰδίαν, οὕτω συντεθὲν, παρὰ τοῦ πανσεβάστου νομοφύλακος καὶ κριτοῦ Θεσσαλονίκης, ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ Ἁρμενοπούλου κριτῶν πρωτοκατάρχοντος.

# Epitome Iuris Ciuilis

QVAE LEGVM PROCHIRON ET Hexabiblos inſcribitur, authore CONSTANTINO Harmenopulo Nomophylace & iudice Theſſalonicenſi, iam primùm in lucé ædita cura & ſtudio Theodorici Adamæi Suallembergi.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

PARISIIS.
Apud Chriſtianum Wechelum ſub ſcuto Baſilienſi, in vico Iacobæo: & ſub Pegaſo, in vico Bellouacenſi. M. D. XL.

Cum priuilegio ad quinquennium.

# Reuerendo D. & Illu-

STRI PRINCIPI. D. ADOLPHO à Schovvenburch, Archiepiſcopo Colonienſi deſignato, Præpoſito Leodienſi, Comiti Holtſatiæ, à Schovvenburch & Sternenburch, Domino in Ghemen &c. Theodoricus Adamæus Suallembergus S. P. D.

PRISCIS ſeculis hoc conſuetum fuiſſe antiquis legumlatoribus vulgò & creditum & ſcriptum eſt Princeps illuſtriſs. vt leges ſuas ad ciuium ſalutem, & humanæ ſocietatis conſeruationem inuectas: quò plus maieſtatis & authoritatis haberent, ad numen aliquod ſummum referrent. Sic Minos Iouem in cōſilio ſe habuiſſe dixit, vt Cretenſibus leges ſuas religioſius cōmēdaret. Lycurgus legum ſuarum Apollinem authorem, Lacedemoniis pſuaſit. Numa Pompilius ſanctionibus ſuis Aegeriam Nympham præfecit. Quorum exemplo ego excitatus diligenter & anxiè plus ſatis diſpicere cœpi, quem potiſsimum patronum & Mœcenatem huic noſtro Conſtantino Hermenopulo deligerem, qui nimia vetuſtate penè extinctus, noſtra cura & diligentia iam reuiuiſceret, & multorum cenſuram propter nouitatis inuidiam ſubiret: vt ſummi & principis

viri præſidio munitus plus fidei & authoritatis apud iuris cádidatos haberet. Et cùm in hac de liberatione omnes curæ meæ conſumerentur, cœpi tandem in cogitationem deducere præclaras animi tui uirtutes, cum quibus ex æquo certat maximus nobiliſsimi generis tui ſplendor, per quam coniunctionem recta & conſonans perfecti viri harmonia in te perficitur. Hiiſque adiecisti tantam doctrinæ laudé & ingenii gloriam, vt hanc ſurgentem tuàm amplitudinem ſumma integritate tuearis, modeſtia temperes, & authoritate conſerues. Ob id in nullius fidé & tutelam Conſtantinum hunc Nomophylacem ſe tutius conferre poſſe exiſtimaui, quàm illius, quem tot virtutes, tam memorabilis prudétia, & generoſæ ſtirpis claritudo ad eum amplitudinis verticem deduxerunt, vt aliquando in Septemuirorum Ro. imperii Nomophylacum grauiſsimum ordinem ſit referendus: & ampliſſimæ, ſecundę Germaniæ, vrbi Agrippinæ Coloniæ in Vbiis ſit archipræſul futurus, quæ olim ob ſummam fidem & merita in populum Ro. ius Italicum habebat: & in præſens vſq; ſæculum in florentiſsima eius repub. ordine prudentiſsimi Senatus, veteris vrbis ornamenta, & Romanæ maieſtatis veſtigia extant. Et vt huius Conſtantini patrocinium lubentius T. D. ſuſcipiat, altius hic quædam repetere decreui, vt moris eſt in nouorum authorum præfationibus, & vt omnibus etiam iuris ſtudioſis liquidò conſta

re

re poſsit, quid in hac legum epitome contineatur: cenſuram tamen quorundam facere ſuperſedebo, ne hic nimium ſim ꝓlixus, vſque dum noſtra verſio prodierit, quam ferè abſoluimus. non enim plus huic authori tribuere volumus, quàm res aut veritas cõcedat, maximè dum quędam habeat, in quibus neque velim, neque poſſim illi ſuffragari. Et primùm omnium conſtat, hunc Conſtantinum Hermenopulum cognominatum, Nomophylacem & iudicem fuiſſe in celebri Macedoniæ vrbe Theſſalonice, liberæ olim cõditionis, quæ Diui Pauli epiſtola clariſſima euaſit: virum inquam, vt ex iis quæ literis mandauit, colligi poteſt, æqui boniq́ obſeruantiſsimum, στρεφοδικοπανουργίας oſoré, & in iudicãdo magna vſum ſeueritate fuiſſe, quam nec metus frangère, nec fauor remittere potuit, qua in re maluit C. Aquilium Gallum virum iuſtum ac bonum imitari, qui iuris Ciuilis rationem nunquam ab æquitate ſeiunxit, quàm Carneadem, qui optimas cauſas ingenii calumnia ludificari ſolebat. Quam ob rem piè & ſanctè quoque iudices omnes ſui officii commonefacit in huius epitomes procemio, vt cùm ſecũdum leges aliis præſideant, quæ nullo affectu mouentur, nullaq́ ambitione ducunt, ita & illi meminerint ſe integros & incorruptos iudices eſſe debere, ad auri ſplendorem oculos nunquam demittant, nec ad prædam & lucrum ſuum, venali fide omnia reuocét. Quo tempore floruerit,

ex historiis non liquet, cùm nusquam, quod sciam, illius fiat mentio, nisi quantum coniectura consequi possumus, author est recẽtior, cuius rei hoc mihi fidem facit præcipuè, quòd illorum imperatorum Constantinopolitanorũ νεαρὰς in hanc epitomen deduxerit, qui inter postremos ferè fuerunt. Ad hæc quædam etiam hìc habentur, quæ ab Irnerii, Placentini, Azonis, & Accursii diuinationibus non differunt, dum inquit libro 5. legem falcidiam quibusdam à falce deductam videri, cùm omnibus notum sit, à Falcidio tribuno plebis hác legem sic vocatam fuisse, quod etiam confirmatur c. quædam. distinct. 3. qui error manauit à glossographis latinis, vt pòst latius dicemus. Hanc igitur iuris epitomen Harmenopulus conscripsit, magni nominis iurisconsultos secutus, qui eiusdem argumenti libros reliquerant, & id summo studio persequuti fuerant, vt ius Ciuile in ordinẽ & breuitatem redigerent. Labeo enim citatur libro 4. posteriorum à Iaboleno ἐπιτομηθέντων. Item lib. primo πιθανῶν à Paulo in epitomen redactorũ. Hermogenianus quoq; sex libros scipsit iuris ἐπιτομῶν. Et Paulus libros tres ἐπιτομῶν Alpheni digestorum. Volusius quoque Metianus legem Rhodiam in epitomen contraxit, & Põponius iuris Ciuilis enchiridion reliquit, ex q̃bus multa respõsa in nostras iuris Ciuilis pandectas sunt deducta, quas Iustinianus imperator Triboniani & aliorum opera vsus, ex veteris prudentiæ libris cõcinnauit, & principum deinde sanctiones duodecim libris cõplexus

xus, authenticisq; constitutionibus promulgatis suam νομοθεσίαν magna cum laude absoluit. Post Iustiniani imperium multis annis, Basilius, Constantinus, & Leo Augustissimi principes legum volumen ædiderunt πρόχειρον vocatum, quod leges per epitomen enarrabat, in quo cùm multa omissa, plæraque etiam confusa essent, noster hic Constátinus omissa supplere, confusa distinguere, ac totú opus penè dissolutú resarcire elaborauit, eundemque titulum perfectæ suæ epitomæ tribuit; vt πρόχειρον quoque vocaretur, vel ἑξάβιβλος, quia in sex libros dissecta erat. In hac igitur complectitur leges antiquas cum posteriorum imperatorum nouellis, & eas, qui magistri dicuntur, cum prouincialibus legibus, quibus admiscuit venustissima quęq; & maximè necessaria ex triú impatorum, legum prochiro, ex hiis quædam suis notis & asteriscis signantur. Præterea libro 2. ἀπὸ τῶν μισῶν, ex Iuliano Ascolonita architecto, quędam inseruit de legibus siue moribus in Palestina obseruatis in ædificandi ratione, quæ pręterq̃ quòd cognitu sint necessaria, etiam quædam ex iis ad latiorem interpretationé spectant. L. fi. ff. finium regundorum, vbi Caius ad L. xii. tabul. scribens verba refert Solonis legumlatoris Atheniensis. Addidit præter hæc ad finem sexti libri, Iustiniani leges Georgicas non absimiles Gotthorum, Frácorum, Alamanorum, & Frisionum legibus antiquis, quæ omnes ferè de rebus Georgicis sût perscriptę, solis Gotthicis exceptis, in quibus optimo ordine, & summa æquita-

te

te omnem ferè politicam ordinationem duodecim libris contineri vidimus, quas breui prodituras exiſtimo cum Nouellis Iuſtiniani Cæſaris ad eccleſiaſticas ordinationes pertinentibus, quas inter alias Haloander græcas non habuit, vt in Nouellarum græcarum volumine lacunæ ſuppleri poſsint. Præterea quæ in hiis omnibus difficiliora ſunt, per σχόλια, ἐπεξηγήσεις & ὑποθέσεις. i. gloſſemata, enarrationes, ſpecies ſiue legis caſus, vt iam vocant, enarrantur, quemadmodum mos erat Græcis iuris interpretibus, per παράτιτλα. i. ſummas rerum titulatim appoſitas leges interpretari, quod à Iuſtiniano permiſſum erat in L. 1. C. de veteri iure enucleando. In has enarrationes integræ leges aliquando deducuntur, vt libro primo τῶν ζημιῶν, titulo ſecundo: vbi inquit, actorem, forum rei ſequi debere, & non contrà. quod cum ἐπεξηγήσει interpretatur, in eam eleganter detorquet L. iuris ordinem conuerti poſtulas C. de iuriſ. omnium iudicum. In ſcholiis feré hæc Græcorum interpretum more premittit: δῆλ' ὡς ἐν ὑποδείγματι. δι' λόγου χάριν. πολλαχῶς τοῦτο θεματίζεσθαι δύνασθαι καὶ εἰπεῖν. δῆλ' ὡς τοῦ θέματος ἰδίως ἐν πολιτείᾳ. In iiſdem legum & Nouellarum enarrationibus crebra fit mentio Magiſtri & Patricii, de quibus ſic ferè inquit, τοῦτον τὸν νόμον οὕτως ἡρμήνευσεν ὁ μάγιστρος. οὕτως ἔκρινεν ὁ μάγιστρος, Idem & de Patricio. Et in fine libri quinti titulo περὶ τῶν τρόπων Magiſter interpretatur Vlpiani reſponſum in L. certarum: Pomponii in L. etſi

datus:

datus:Martiani in l. quia perſonæ.ff.de teſt.tut. Quare per Magiſtrum & Patricium νομοδιδασκάλων intelligi exiſtimo,qui aut ius publicè interpretabantur, aut in ſanctius principum conſilium cooptati,legum ambiguitates ex Auguſta authoritate decidebãt, & per alterum,Latinum:per alterum, Græcum interpretem ſignificare Harmenopulus videtur :nam ἐν τῇ προθεωρίᾳ τῶν νόμων Magiſtro τὰ ῥωμαϊκὰ attribuit,ſed Patricii non meminit,fortè quia is Græcis notior fuit . Multi fuerunt poſt Iuſtiniani principatum in vtroque imperio iuris interpretes,ſed omnium primi Græci, qui in illud etiam gloſſas ſcripſerunt. Nam Thalelæus Anteceſſor pãdectas in linguam Græcam traduxit, idq́ ea interpretandi ſpecie,quæ κατὰ πόδας vocatur(inhæret enim verborum veſtigiis) quia eam tantum interpretationem Iuſtinianus eis permiſerat,vt patet ex L. 2.C.de vete.iure enu . Sequuti deinde & alii multi , qui μεταφραστικῶς & παραφραστικῶς multa ſunt interpretati, ex quorum numero & Theophilus fuit , & is qui Iuſtiniani Codicem græcum fecit, quem ante annos quatuor quidã mihi retulerunt,ſe in Creta inſula vidiſſe. Fuerunt deinde complures alii , qui maximam ſibi libertatem in legũ expoſitione vendicauerunt, vt longo tandem vſu,Iuſtiniani edictum ſit antiquatum,multo tamen maximè à Latinis commentatoribus , qui cùm hac in re nihil ſibi temperauerint, totum pene ius noſtrum per contra

rias sententias iam est conturbatum, quod Iustinianus etiam futurum timuit. Inter hos magnæ celebritatis & nominis fuit Irnerius, qui primũ leges est interpretatus authore Odefredo, idq; eo sæculo, cùm Romanis suus imperator esset restitutus, & diuisum fuisset imperium inter Carolum Magnum & Imperatorem Constantinopolitanum, tum enim in Italia paulatim cœperunt leges Romanæ reuiuiscere, quæ Gotthorũ Wandalorum, & Longobardorum legibus oppressæ fuerant. Floruit deinde Placentinus, quẽ secuti sunt Ioannes Bosſianus & Martinus ambo Cremonenses: post hos Azo Bononiensis, & eius discipuli Odofredus Boneuentanus, & Accursius Florentinus, qui quadragenarius operam dedit iuri Ciuili, & breui iurisperitissimus euasit sub Friderico secundo. Neque dubium est, ex hiis aliquos in græcam linguam fuisse traductos, quorum fidem Græci interpretes postea sequuti in Latinarum dictionum enarratione, eundem errorem propter latinæ linguæ imperitiam hauserunt. Nam quemadmodum Accursius inquit, legem Falcidiam quibusdam videri à falce deductam, idem & Constantinus sequitur, quod commentum Latinorum interpretum fuisse, nemo est qui inficiari posſit. Cæterum iam restat, vt pauca de Imperatoribus Constantinopolitanis scribamus, quorum Nouellas in hanc epitomen Constantinus deduxit. Basilius Constantinus & Leo Augusti, pri-

mi

mi architecti, Prochiri fuerunt, vt ſcribit Harmenopulus: erat enim hic Baſilius, Macedo cognominatus, qui cæſo Michaele Auguſto imperium Conſtantinopolitanum obtinuit: & eius filii fuerunt Conſtantinus natu maximus, & Leo cognomento Philoſophus, quos imperii ſocios habuit, quibus imperãtibus octaua ſynodus ſub Hadriano ſecundo, pontifice fuit celebrata, vt teſtatur c. Hadrianus papa ſecundus diſtinct. lxiii. Et huius Leonis omnes quoque Nouellas eſſe exiſtimo, ex quibus potior pars huius epitomes conſtat, ne quis illius Leonis eas eſſe putet, cuius in Codice ſuo Iuſtinianus meminit. Tertius Baſilii filius Alexander erat, qui partim etiam cum Leone fratre imperauit, horum eſt illa conſtitutio, quæ authoris prologum ſequitur. Sed quis fuerit Conſtantinus ille Porphyrogenneta cognominatus, qui multas Nouellas ædidit, & complures in hanc epitomen ſunt deductæ, ex hiſtoriis nec græcis nec latinis ſcire potui, niſi ex libro ἐπιτομῶν quarto, vbi inquit Harmenopulus, ἐπὶ τῆς βασιλείας κωνσταντίνου τοῦ πορφυρογεννήτου καὶ πενθεροῦ αὐτοῦ ῥωμανοῦ. i. imperante Conſtantino Porphyrogenneta, & ſocero ipſius Romano. Ex hiis verbis collegi Conſtantinum Leonis Philoſophi filiũ Porphyrogennetam vocatum fuiſſe. Nam is Romani Lecapeni filiam Helenam vxorem duxerat, & ob id ſocerum quoque imperii ſocium fecit, & Nicolaus Patriarcha ambos diademate cinxit. Baſi-

lium Porphyrogennetam, cuius constitutionis libro primo fit mentio, huius Constantini nepotem fuisse existimo, ex filio Romano iuniore. & constitutiones quæ Romano seniori attribuuntur, sunt illius Romani, quem Porphyrogennetæ socerum fuisse diximus. Senior enim vocabatur propter nepotem ex filia, qui Romanus iunior dictus fuit, & hunc significari existimo in hac epitome per inscriptioné τȣ̃ μικροῦ, nisi me mea fallat opinio: aliter enim quid hoc significet, scire non possum. Nouellæ Nicephori nomine inscriptæ, aut sunt Nicephori Phocæ, qui Romano iuniori successit: aut illius gentilis Nicephori Botoniatis. Deinde & Michaeli Impatori hîc aliquot Nouellæ adscribunt, quo nomine cùm multi Imperatores post diuisum impiũ fuerunt, ego tamen has illius esse existimo, qui Parapinaceus vocatus, Constantini Ducæ fuit filius: illius enim Nouellas & Haloander se vidisse scribit. Sunt præterea & aliæ Nouellæ Alexii Cõneni, Isacii Cõneni filii, qui eiecto Nicephoro rerum potitus fuit, & Manuelis huius Alexii filii, qui totus ex flagitiis, fraude, & fallaciis constabat. Nam Conradum Imperatorem, & Ludouicum Francorum Regem ad expeditionem Hierosolymitanam proficiscentes variis insidiis fatigauit, & ab huius imperio ad exitiũ spectare cœpit orientalis imperii maiestas, quæ tandem sub Constantino Palæologo in Turcicæ gentis libidinem decidit, à Mahumete secun

do

do expugnata, sub Friderico tertio. Hæc sunt ferè Princeps illustriss. quę in hac iuris epitome continentur, quam magno certe labore in lucē pferre studuimus ad communē eorum fructū, qui se iurisprudentiæ studio cōsecrarunt. Nam ad eam exercitationem studiosè semper operā dedimus, vt omnia naturæ & industriæ nostræ (quæ tamen perexigua est) instrumenta, ad com munem hominum vtilitatem conuerteremus. hanc enim voluntatem video esse principem & ad suscipiendam & ad ingrediendam vitæ bene ac honestè instituēdæ rationem. Et cùm hoc anno complures nobiles adolescentes in meam disciplinam suscepissem, quos iuris Ciuilis rudi menta docebā, inter quos fuit illustris ac generosus D. Antonius à Schouvvenburch Hildeemensis præpositus T. D. frater: adolescēs certe eximia spe, & summa indole præditus, probitati virtutiq; natus: aliis tn̄ me fatigare laboribus non destiti, quò communibus studiis consulerē, nempe in hac iuris epitome euulganda. Quare illustriss. Princeps T. D. hanc iuris epitomen consecramus, vt sub fœlicibus tui nominis auspiciis in studiosorū manus exeat. Nam cùm in eo proposito & suscepto consilio iugiter permaneas, hanc dignitatem & amplitudinem tuam in sola virtute positam esse, & in tuę reipub. ornamentis inquirendis, non addubitaui, quin T. D. etiam perlibenter, in iuris candidatorum gratiam, huius authoris patrocinium esset susce-

 pturus.

pturus. Hanc igitur tuam voluntatem prudentissimam, & prudentiam memorabilem Deus Opt. Max. perpetua constantia & rerum vsu corroborare dignetur. Vale princeps illustriss. Lutetiæ Parisiorum, ex Regio collegio Cameracensi, Calendis Iunii. anno 1540.

## AD LECTOREM.

DAmus tibi, studiose lector, Iuris ciuilis Epitomen, quam maximis sumptibus Christianus Wechelus excudit, vt communibus Iuris candidatorum studijs prodesset, in qua excudenda vnico tantum exemplari vsi sumus eoq; peruetusto, vt multa exolescentibus iam literis legi vix poterant, quædam ita contractè scripta erant, vt aliquot locis nobis fuerit diuinandum, vbi verò lacunulæ erant, aut nulla ferè literarum vestigia, aut insigne dubium, asterisci notam adscripsimus, & in omnibus quanta potuimus fide & diligẽtia exemplar sequuti sumus. Quæ tamen hic mutila sunt, restitui non possunt, nisi ex collatione exemplarium, quod proxima æditione futurum speramus. Quare studiose lector nostrum conatum æqui boniq; consule: breui enim alia tibi dabimus, quæ ad Iuris nostri enucleationem spectant. In horum librorum citatione mallem dicere lib. primo, aut secundo Iuris ἐπιτομῶν, quàm lib. primo aut secundo Prochiri, nam eo modo citantur Iurisconsulti antiqui, qui eiusdem argumenti libros scripserant. Vale studiose lector, ex Regio Cameracensi collegio, anno Millesimo quingentesimo quadragesimo, quo centesimus annus agitur, quòd nobilis ars impressoria in Germania fuerit inuenta.

# ΠΡΟΧΕΙΡΟΝ ΝΟΜΩΝ, ΤΟ ΛΕΓΟΜΕΝΟΝ Η ΕΞΑΒΙΒΛΟΣ, ΣΥναθροισθὲν πανταχόθεν κατ' ἐκλογὴν καὶ κατ' ἐπιτομὴν, οὕτω συντεθὲν, παρὰ τοῦ πανσεβάστου νομοφύλακος καὶ κριτοῦ Θεσσαλονίκης, ΚΩΝΣΤΑΝΤΙΝΟΥ τοῦ Ἁρμενοπούλου, κριτῶν προκατάρχοντος.

## ΓΡΟΘΕΟΡΙΑ ΚΑΙ ΕΙΣΗΓΗΣΙΣ ΤΩΝ ΚΡΙΤΩΝ.

Ο κρίνειν λαχὼν, καὶ κριτὴς εἶναί τε ὀνομάζεσθαι, εἴγε βούλοιτο τὴν καλλίστην ταύτην προσηγορείαν μὴ καταισχῦναι, ἣν καὶ θεὸς αὐτὸς καλεῖσθαι προσίεται, καὶ τὸν ὄντως ὄντα κριτὴν ἵλεων ἐν τῇ φοβερᾷ τῆς κρίσεως εὑρεῖν ἡμέρᾳ, τὸν ἀδέκαστον, τὸν ἀπροσωπόληπτον, τὸν ἀπαραλόγιστον, τὸν μόνον δίκαιον καὶ δικαίως ἑκάστῳ παρέξοντα κατ' ἀξίαν τῶν ἐνταῦθα βεβιωμένων· ἐκεῖνο πρότερον ἐπιτεθυμημένος ἔστω, ὡς δεῖ οὐδὲν ἕτερον, ἢ δικαιοσύνης ἐπιμέλεσθαι, καὶ τὰ δίκαια παρέχειν ἑκάστῳ προσκάθηται· ἀποσοβεῖν τε τὴν ἀδικίαν· καὶ τῶν ἀνθρώπων ἀποπέμπειν ταύτην, ὡς πορρωτάτω, καὶ τοὺς ταύτῃ κακῶς προσανέχοντας, ὡς οἷόν τε τιμωρεῖν, ὡς οὐ λήσων θεὸν, οὕτως ἢ ἑτέρως πολιτευόμενος· θεὸν γὰρ ἄνθρωπος λανθάνειν οὐ δύναται, μὴ ὅτι γε ἀδικῶν, ἀλλ' οὐδὲ διανοούμενος. δικαιοσύνη δέ ἐστιν, ἣν ὁ θεὸς δίκαιος ὢν, διαφερόντως ἠσπάσατο, καὶ ἤπερ ὡς οὐδενὶ τῶν ἄλλων, αὐτὸς θεραπεύεται. ἥ τις καὶ ἐξ οὐρανοῦ διακύψαι λέγεται, καὶ ἐνώπιον θεοῦ προπορεύεσθαι, καὶ ἣν ὑψοῦν καὶ ἔθνη, καὶ ἀκούομεν καὶ πιστεύομεν. ταύτῃ ἄρα καὶ ἐν παντὶ καιρῷ ποιεῖν αὐτὴν ἀπαιτούμεθα, ὡς ὑψοποιὸν καὶ θεοφιλῆ, καὶ σωτήριον. ἔτι οὕτω, καὶ τάδε διανοείσθω, καὶ τοῖς λογισμοῖς περιστρεφέτω, πρὸς τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν εἰρημένα, τοῦ

ἀλη-

ἀληθινοῦ θεοῦ καὶ δικαίου τῶν ὅλων κριτοῦ, μὴ κρίνεται κα-
τ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε. καὶ μακάριοι οἱ πει-
νῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσον-
ται· εἴτε τὴν ἐνταῦθα βούλει τροφὴν τὴν ἐπίκηρον καὶ μὴ πα-
ραμένουσαν· εἴτε τὴν μέλλουσαν τρυφὴν μᾶλλον, ἢ τροφὴν εἰπεῖν,
τὴν ἡδίστην τε καὶ ἀδάπανον, ἣν καὶ νῦν ἐν οὐρανοῖς, αἱ οὐράνιαι πᾶ-
σαι τρυφῶσι δυνάμεις. τούτων οὕτω παρὰ τοῦ σωτῆρος εἰρημέ-
νων, ὧν καὶ μεμνῆσθαι χρεὼν ἑκάστοτε τὸν κριτὴν, καὶ ἀεὶ τοῖς
λογισμοῖς, περιστρέφειν ὡς ὁ ἐμὸς λόγος, ὁ μύστης καὶ μυστα-
γωγὸς τῶν τοιούτων, τὸν μέγαν λέγω Βασίλειον, τούτοις ἑπό-
μενος, οὕτω δήπου καὶ αὐτὸς φησίν. ὁ τὴν ἀληθῆ δι-
καιοσύνην μὴ ἔχων προσανακειμένην αὐτοῦ τῇ ψυχῇ· ἀλλ' ἢ
χρήμασι διεφθαρμένος, ἢ φιλίᾳ χαριζόμενος, ἢ ἔχθραν
ἀμυνόμενος, ἢ δυναστείαν δυσωπούμενος, τὸ κρίμα κατευ-
θύνειν οὐ δύναται. καί τις τῶν παλαιῶν εἰσηγούμενος, οὕτω
λέγει· εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δι-
καζομένων καὶ δικαιολογουμένων ἐπιγίνωσκε· ἀλλ' αὐτὴν
τὴν ἀλήθειαν. Σολομὼν δὲ ὁ θαυμάσιος τῆς πλεονεξίας ἀ-
πείργων ἡμᾶς, καὶ τῶν μὴ καθηκόντων κερδῶν, κρείσσων
φησὶν ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα με-
τὰ ἀδικίας. ὅτι χρήματα ἀδίκων ὥς φησι Σιράχ, ὡς ποτα-
μὸς ξηρανθήσεται, καὶ ὡς βροντὴ ἐν ὑετῷ ἠχήσει. διατί, ὅτι πᾶς
ἀδικούμενος, ὥς φησι Κύριλλος, καταφλέγεται μὲν ὑπὸ λύ-
πης ἀμύνασθαι δὲ οὐκ ἔχων, ἢ διὰ τὴν ἴσων ἐλθεῖν, ἔσθ' ὅτε διὰ
τὸ ἡττᾶσθαι τῆς τοῦ ἀντιδίκου χειρὸς, τὸ ἄνωθεν μισοπονηρίας δὲ
κέντρον, καλεῖ πρὸς ἐπικουρίαν. τί οὖν ἐντεῦθεν συμβαίνει,
τοῦ σωτῆρος καὶ πάλιν ἀκούσωμεν λέγοντος, ᾧ μέτρῳ μετρεῖ-
τε, ἀντιμετρηθήσεται ὑμῖν. τούτῳ δὲ καὶ ὁ Νύσσης Γρηγόριος
ἑπόμενος, ἡ τοῦ θεοῦ φησι δικαιοκρισία, ταῖς ἡμετέραις δια-
θέσεσιν ἐξομοιοῦται, καὶ οἷα περ ἂν τὰ παρ' ἡμῶν ᾖ, ἐκ τῶν
ὁμοίων

ὁμοίως παρέχεται τοιαῦτα ἡμῖν· πλὴν ὅτι πάντας ἀπαιτεῖ ἐνταῦθα δίκην ὁ θεός, ὡς ὁ χρυσοῤῥήμων φησὶν Ἰωάννης. ἵνα μὴ ἀπογνῷς τὴν ἀνάστασιν, καὶ ἀπελπίσῃς τὴν κρίσιν, ὡς πάντων ἐνταῦθα διδόντων λόγον, ὅτι πάντας ἀφίησιν ἀτιμωρητὶ ἀπελθεῖν· ἵνα μὴ πάλιν ἀπρονόητα εἶναι τὰ πάντα νομίσῃς, εἶεν, ἀκούσωμεν δὲ καὶ ὅτι Πλάτων φησὶν ὁ φιλόσοφος. τίμιος μὲν καὶ ὁ μηδένα ἀδικῶν· ὁ δὲ μὴ ἐπιτρέπων τοῖς ἀδικοῦσιν ἀδικεῖν, πλέον ἢ διπλασίας τιμῆς ἄξιος ἐκείνου. ὁ μὲν, γὰρ ἑνός· ὁ δέ, πολλῶν ἀντάξιος ἑτέρων. περὶ τῶν δυναμένων πάντως εἴτε ἄρχοντες εἶεν, εἴτε κριταί, ταῦτα λέγομέν τε καὶ ἀποφαινόμενος, καὶ τούτοις δὲ ἄξιον ἐπαινεῖν τῶν ἀνθρώπων φησὶ Δημοσθένης, οἳ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου· χρήματα μὲν γάρ, ἔστι κτήσασθαι· δόξαν δέ, χρημάτων οὐκ ἄξιον πρίασθαι. οὕτω δὲ ἔχων ὁ τούτοις ἑπόμενος, ἐν ταύτῃ πολιτευόμενος, πεποιθέτω μὲν καὶ ὡς λέων. ἴστω δ' ὅτι καὶ ὥσπερ εὐθὺς ζυγός, οὔτε πρὸς ἀληθοῦς εὐθύνεται ζυγοῦ, οὔθ' ὑπὸ τοῦ εὐθοῦς κρίνεται· οὕτω καὶ δίκαιος κριτής, οὔθ' ὑπὸ δικαίων κρίνεται, οὔτε παρ' ἀδίκων δικάζεται φησὶν Ἐπίκτητος. ἄμεινον δὲ καὶ δικαίως κρίναντα, πρὸς τοῦ καταδικασθέντος, ἀδίκως μεμφθῆναι, ἢ ἀδίκως κρίναντα, παρὰ τοῦ καταδικασθέντος, δικαίως ψέγεσθαι. μακαρισθήσεται γὰρ πρὸς τοῦ σωτῆρος καὶ τότε, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, ἐπαγγελθήσεται λήψεσθαι. μακάριοι γὰρ φησὶν οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. δίκαιος ὢν καὶ δικαιοσύνης φροντίζων τίνων τεύξεται, καὶ τίνα κληρονομήσει, ὅλην τὴν ἡμέραν αὐτὸς ἐστὶν ἐλεῶν καὶ δανείζων· εἰς εὐλογίαν δ' ἔσται τούτου τὸ σπέρμα, ἀνθήσει τε ὡς φοῖνιξ, καὶ ὡσεὶ κέδρος πληθυνθήσεται. τούτου, οὔτε ἡ ἐλπὶς ὀλεῖται, οὔτε τὸ σπέρμα ζητῶν ἄρτον ὀφθήσεται. οὗτος κληρονομήσει μὲν τὴν γῆν· κληρονομήσει δὲ καὶ ἃ ὁ θεὸς ἡτοίμασε τοῖς ἀγα-



Digitized by Google

πῶσιν αὐτὸν, ὃ τὴν δικαιοσύνην μᾶλλον, ἢ τῆς ἀγαθωσύνης ἠγάπησε. ἔστι δὲ ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, οὕτως ὑπὲρ τὰ ὧδε, καὶ τῶν αἰσθητῶν ἐκεῖνα, πάντων ὑπέρκειται. ταῦτα τοίνυν πάντα καθ' ἕκαστον οὕτω διασκοπούμενος, καὶ τοῖς λογισμοῖς ἀναπεμπαζόμενος, ἱκανά μοι δοκεῖν ὄντα πρὸς δικαιοσύνην ἐπαλεῖψαι, καὶ γνώμην ἀπάνθρωπον καὶ θηριώδη. τοιαύτη δ' ἡ φιλοδίκος, καὶ οὕτως ἐγὼ ταύτην κατονομάζω τήν τε θείαν ὁ κείνων, ἀντίληψιν ἐπικαλείσθω, καὶ τούς τε νόμους ἀεὶ μελετάτω, τῆς διανοίας τούτων, μὴ τὰ ῥήματα μόνον εἰδέναι σπουδάζων. ὧν τὰ κάλλιστα ἡμεῖς ὥς γέ μοι φαίνεται, χρειώδη τε καὶ ἀναγκαιότατα συντεμόντες, ἐν τῷ παρόντι τουτωὶ βιβλίῳ συντετάχαμεν: πάντοθεν συναγηοχότες, ὥσπερ ἄν τις εἰσιὼν εἰς εὐανθεῖς λειμῶνας, τὰ χαριέστατα δρέψαιτο τῶν ἀνθέων, καὶ εἰς μίαν ταῦτα καλλονὴν καὶ τερπνότητα συναγάγῃ. ἀναγνοὺς δὲ καὶ τὴν ἐντεθεῖσαν εἰς τοὺς κριτὰς κατάκρισιν, ὑπὸ τῶν πανευσεβῶν βασιλέων Λέοντος καὶ Ἀλεξάνδρου, δεῖ γὰρ καὶ ταύτην εἰδέναι τοὺς κρίνειν ἀνθρώπους μέλλοντας, οὕτω δήπου, μὴ μόνος ψῆφον κατ' οὐδενὸς ἐπενεγκεῖν θαρρείτω· κἂν εἰ τὴν ἐλαχίστην δίκην δικάζῃ. οὐ γάρ φησιν ἐπὶ μόνῳ ὅταν πέσῃ τις ἐγερεῖ αὐτὸν, ἀλλά γε καὶ μεθ' ἑτέρων, οἳ καὶ γνώμην καὶ γνῶσιν ἐν νόμοις πλουτοῦσιν ἐλλόγιμοι, οὕτω γὰρ κρινῶν, πρός τε σοφῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων, οἶμαι δ' ὅτι καὶ πρὸς θεοῦ παντοκράτορος, ἄμεμπτος εἴη καὶ ἀνεπίληπτος.

## ΚΑΤΑ'ΚΡΙΣΙΣ ἘΝΤΕΘΕΙ͂ΣΑ ΕἸΣ ΤΟΥ͂Σ κριτὰς, παρὰ Λέοντος καὶ Ἀλεξάνδρου, τῶν εὐσεβῶν βασιλέων.

οἶμαι δὲ τῶν κρίνειν λαχόντων, οὐδένα ποτὲ πρὸς τοσαύτην ἀποκλῖναι σκαιότητα, ὥς τε παρὰ τοὺς ἐγνωσμένους νόμους

δοκιμάζειν

δοκιμάζειν καὶ τὰς ψήφους ἐκφέρειν. εἰ δὲ εἰς τοσοῦτον τῆς ματαιότητος ἀλιθήσει, ἄλλους μὲν, τῶν ἐν νόμοις κειμένην ἀξιώσεται δίκην· ἡμᾶς δὲ λαθὼν, ἥκιστα λήσεται τὸν ἀκοίμητον ὀφθαλμὸν, ὅμως καὶ ἀραῖς ἐμπεδῶσαι ταῦτα, λίαν ἀσφαλὲς εἶναι ᾠήθημεν. ὁ γοῦν θεὸν μαχόμενον οὗτος, καὶ τὰς οὐρανίους καὶ ἀσωμάτους δυνάμεις, πολεμούσας αὐτὸν, ἐκπέσοι ἀώρως, καὶ τῆς παρούσης ζωῆς, ὃς προσζημιωθήσεται καὶ τῆς μελλούσης· πῦρ καταφάγεται θεμέλια οἴκων αὐτοῦ, καὶ ἔσται δι' αἰῶνος, ἠπορημένον τὸ σπέρμα αὐτοῦ, καὶ ζητοίη ἄρτον, ἀνθ' ὧν τῆς τῶν νόμων ἐλευθερίας, δούλην παρὰ τῶν πεποιημένων κρίσεως ἀπειργάσατο.

## ΠΡΟΘΕΩΡΙΑ ΤΩΝ ΝΟΜΩΝ.

Βιβλίον νόμων πάλαι πεπόνηται, τοῖς περὶ τὸν βασίλειον καὶ Κωνσταντῖνον καὶ Λέοντα, τοὺς εὐσεβεστάτους βασιλέας, πρόχειρον οὕτω καλούμενον, ἐν ἐπιτομῇ τὰ τῶν νόμων διεξιόν, ᾧ περ νῦν ἡμεῖς ἐντυχόντες· πολλὰ μὲν ἐκ τῆς ὑποθέσεως ἐτεθήπειμεν, πρὶν ἢ ταῦτα διεξιέναι· ἐξ ἑκάστου γάρ φησι τῶν νόμων βιβλίου, τὰ ἀναγκαῖα καὶ χρειώδη καὶ συχνῶς ζητούμενα ἀναλέξασθαι· καὶ ταῦτα κεφαλαιωδῶς ἐν τῷδε τῷ προχείρῳ τῶν νόμων ἐγγράψασθαι, ὡς μηδὲν σχεδὸν παραλιπεῖν, ὅσα τοῖς πολλοῖς ἐν γνώσει καθίστασθαι δίκαιον. οὕτω πως ἐν προοιμίοις λέγει, καὶ τοιαῦτα καθυπισχνεῖται· πολλοῦ δέ γε καὶ δεῖν τοῦ σκοποῦ κεκείκαμεν καὶ τῆς ὑποσχέσεως. ταῦτα διεξιόντες· τά τε γὰρ ἀναγκαιότερα παραλέλειπται τούτῳ, καὶ ὅσα τούτων ἐνδεῶς εἴρηται, οὐ μὴν ἀλλὰ καὶ οὕτω, πρότερον ἕτερον τοῦ σκοποῦ ταῦτα καὶ τῆς συνθήκης οὐ μάλα θαυμάζοντες, δεῖν ᾠήθημεν ἀνταναπληρῶσαι τούτῳ τὰ δέοντα, καὶ προσθεῖναι τὰ ὑστερήματα, καὶ πλέον κατ' ἐπιτομὴν ἀπεργάσασθαι. ταῦτ' ἄρα καὶ τῷ πλάτει τῶν νόμων ἐγκύψαντες, ὅσοι τε ἀνέκαθεν εἰσὶ τεταγμένοι, καὶ ὅσοι πρὸς τὴν θειοτάτων ὑστε-

ρον βασιλέων ἐπινενόηνται, ἃς καὶ νεαρὰς συνήθως ὀνομά-
ζειν. μεθ' ὧν εἰσὶ καὶ τὰ ῥωμαϊκὰ τοῦ μαγίστρου λεγόμενα, καὶ τὰ
ἐπαρχικά τε, καὶ τῶν προχείρων τὰ κάλλιστα. καὶ τὰ πάντων
ἐκεῖθεν ἀναλεξάμενοι κάλλιστά τε ὁμοῦ καὶ ἀναγκαιότατα,
καὶ τοῖς τοῦ προχείρου ταῦτα συμπλέξαντες καὶ συνθέντες·
τὰ μὲν, ἀναμὶξ· τὰ δὲ, ἰδίᾳ ὡς ἄρα ἕκαστον ἔδει τε καὶ καθῆ-
κεν. ἐπεὶ δ' τοῦ προχείρου βιβλίον ἐν τεσσαράκοντα ὂν τίτλοις
ἐτύγχανεν, ἑτέρους ἡμεῖς τοσούτους ἢ καὶ πλείους ἐπισυνά-
ψαντες, σαφηνείας τε χάριν, καὶ τοῦ μὴ τὸ δοκεῖν τῶν ἀναγκαί-
ων ἐνδεῖν, ἐν μὲν τὸ ὅλον ἀπειργασάμεθα, ἐν ἓξ δὲ βιβλίοις
τὴν ὅλην τῶν ἑξήκοντα τῶν νόμων βιβλίων πραγματείαν συν-
τεμόντες, διείλομεν. καὶ τῶν νεαρῶν τῶν ῥωμαϊκῶν τε καὶ
τῶν ἐπαρχικῶν καὶ προχείρων· πρόχειρον ἡ ἑξάβιβλος, οὕ-
τω προσαγορεύσαντες. ἐπιγέγραπται δὲ καὶ τῶν βιβλίων
ἕκαστον, οὕτως. τὸ μὲν πρῶτον, περὶ νόμων καὶ δικαστι-
κῆς καταστάσεως· ἔτι τε περὶ ἀνθρώπων καταστάσεως καὶ ἐλευθεριῶν.
περὶ δικῶν δὲ διαφόρων, καὶ καινοτομιῶν, τὸ δεύτερον.
τὸ δέγε τρίτον, περὶ ἐκποιήσεως δανείου τε καὶ κοινωνίας.
περὶ μνηστείας δὲ καὶ γάμων, τὸ τέταρτον. τὸ μέν τοι
πέμπτον, περὶ διαθηκῶν, καὶ ἐπιτρόπων. τὸ τελευταῖον δὲ
ἕκτον, περὶ ζημίας καὶ ποινῶν. τὸ μὲν οὖν ὅλον ὡς ἔφ-
θην εἰπὼν, ἐν ἓξ βιβλίοις διῄρηται· πρόχειρον ἡ ἑξάβιβλος
οὕτως ὀνομασθέν. οἱ δὲ παρ' ἡμῶν τοῖς προτέροις προστεθέντες
τίτλοις, τεσσαράκοντα ὄντες ἢ καὶ πλείους, ὡς καὶ τοῦτ' ἔφην
τυγχάνουσι, προσθεῖναι δὲ κἀκεῖνο τοῖς εἰρημένοις ἄξιον. ὡς πολ-
λὰ μὲν ἐν τοῖς παλαιοῖς τίτλοις παρ' ἡμῶν εἰσὶ προστεθειμέ-
να, κεφάλαια, τὰ κάλλιστά μοι δοκεῖν καὶ ἀναγκαιότατα. εἰ-
σὶ δὲ καὶ τινα τῶν ἐκ τοῦ παλαιοῦ τοῖς ἡμετέροις τίτλοις προσ-
κείμενα, ἵνα τοίνυν δῆλα ταῦτα ὦσι κἀκεῖνα, τοῖς μὲν παρ'
ἡμῶν προστεθεῖσι τίτλοις καὶ κεφαλαίοις, κἂν ὅπου ἄρα καὶ

πλῶσιν

πλῆσιν διεσκορπισμένα, τὸ ἡλιακὸν ἔξω σημεῖον ἐγγέγραπται, τὸ κρονικὸν δὲ παλαιοῖς, καὶ οὕτω δῆλα τοῖς ἐντυγχάνουσι πᾶσι καθίσταται, εἴγε δήπου καὶ τοῦτο εἰδέναι βούλοιντο, τίνα τε εἰσὶν ἐν τῷ προχείρῳ τούτῳ τὰ παλαιὰ, καὶ τίνα τὰ νέα, εἴτε τίτλοι λέγω, εἴτε κεφάλαια, καὶ ταῦτα μὲν ἐν τούτοις. οἱ δὲ

τῶν βιβλίων τίτλοι καθ᾽ ἕκαστον, οὕτως εἰσὶν ἔχοντες, ὡς ἐν τῇ παρούσῃ δείκνυται καταγραφῇ, ἐν τῷ ἑκάστῳ βιβλίῳ κατὰ τὴν ἀρχὴν ἀκριβῶς κείμενοι.



BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

## ΒΙΒΛΙΟΝ ΠΡΩ͂ΤΟΝ.

περὶ νόμων καὶ δικαστικῆς καταστάσεως, ἔτι τε καὶ περὶ ἀποκαταστάσεως καὶ ἐλευθεριῶν.

Τίτλ. α΄. περὶ νόμων, ἐν τούτῳ καὶ περὶ ἔθους, καὶ περὶ βασιλέων, καὶ περὶ ἀγνοίας νόμου καὶ φάκτου.

Τίτλ. β΄. περὶ ἐνάγοντος καὶ ἐναγομένου, καὶ περὶ δικαιωμάτων καὶ ἐγκλημάτων, καὶ γυναικῶν καὶ δημοσίων.

Τίτλ. γ΄. περὶ ἀγρῶν καὶ χρόνων, ἐν τούτῳ καὶ περὶ ἐκκλησιαστικῶν καὶ ἀφηλίκων, καὶ περὶ ὕβρεως, καὶ διακατοχῆς, καὶ κλοπῆς, καὶ ἀντιφωνήσεως, καὶ δανείου, καὶ περὶ ὅρων, καὶ ἐκκλησιαστικῶν αὖθις, καὶ ὑποθήκης. καὶ περὶ καρπῶν τῶν ἐπὶ κτημάτων, καὶ μοιχείας, καὶ δόλου, καὶ ἀνατροπῆς τῆς τεσσαρακονταετίας.

Τίτλ. δ΄. περὶ δικαστικῆς ψήφου καὶ ἀποφάσεως, καὶ ἐν ποίαις ἡμέραις οὐ δεῖ κρίνειν, καὶ περὶ δαπανημάτων τῶν κρινομένων, καὶ ζημιῶν ἀδρικῶν, καὶ περὶ τῶν ἐκταγιατικῶν. καὶ περὶ αἱρετοῦ κριτοῦ, καὶ τοῦ διδομένου πιτταμίου τοῖς χρεώσταις.

Τίτλ. ε΄. περὶ μηνυτῶν.

Τίτλ. ϛ΄. περὶ μαρτύρων, καὶ κεκωλυμένων μαρτύρων, καὶ ἀγράφου μαρτυρίας.

Τίτλ. ζ΄. περὶ ὅρκου, καὶ ἐνδίκου ὅρκου.

Τίτλ. η΄. περὶ συμβολαίων, καὶ ἰδιοχείρων καὶ ἐγγράφων.

Τίτλ. θ΄. περὶ συμφώνων, ψιλοῦ συμφώνου, καὶ δηλοκληρονομίας, καὶ γαμικῶν συμφώνων.

Τίτλ. ι΄. περὶ διαλύσεως.

Τίτλ. ια΄. περὶ ἀνάγκης καὶ βίας.

Τίτλ. ιβ΄. καὶ περὶ ἀνήβων καὶ ἀφηλίκων, καὶ περὶ ἀποκαταστάσεως.

Τίτλ. ιγ΄. περὶ τῶν αἰτούντων συγγνώμην ἡλικίας, καὶ

ἐκπι-

ἐκποιήσεως ὀρφανικοῦ.
τίτλ. ιδ'. περὶ γυναικῶν καὶ ἀπογραφῆς αὐτῶν.
τίτλ. ιε'. περὶ δούλων καὶ τῆς τούτων κληρονομίας.
περὶ ἀσαφοῦς καὶ ἀμφιβόλου. περὶ στρατιωτῶν.
περὶ λύσεως ὑπεξουσιότητος.
περὶ ἐλευθερειῶν καὶ δούλων, καὶ τιμήματος αὐτῶν.

## ΠΙ'ΝΑΞ ΤΟΥ͂ ΔΕΥΤΕ'ΡΟΥ ΒΙΒΛΙ'ΟΥ.

τίτλ. α'. περὶ νομῆς καὶ δεσποτείας, καὶ ζώων διαφόρων, καὶ τῶν ἐξ ἀλλοτρείας ὕλης γενομένων εἰδῶν, καὶ περὶ τῶν ἐν τῷ πολέμῳ ληφθέντων, καὶ τῶν νήσων καὶ κλοπιμαίων, καὶ κληρονομιαίων, καὶ τῆς δωρεᾶς. περὶ ἐποικίων. περὶ σαθρωθέντος οἴκου τοῦ γείτονος, καὶ περὶ προθύρων θαλασσίων.
τίτλ. β'. περὶ ἀναργυρείας, καὶ προικῴων ὑποθέσεων.
τίτλ. γ'. περὶ ἀπαιτήσεως καὶ ἀπωλείας. καὶ τῶν δαπανημάτων τοῦ ἀνδρὸς, εἴς τε ἀσθενείας καὶ ταφὴν, καὶ ἑτέρων.
τίτλ. δ'. περὶ καινοτομιῶν, καὶ τοῦ παντὸς κτίσματος. καὶ θύρας ἀνοιγομένης ἐν ἐπικοίνῳ αὐλῇ, καὶ ἀνοικοδομῆς τοίχων, καὶ τῶν φυτῶν καὶ δένδρων, καὶ ὕδατος, καὶ δουλειῶν, καὶ καλῇ πίστει νομῆς, καὶ νήσου αὖθις, καὶ ἑτέρων πολλῶν.
τίτλ. ε'. περὶ λειτουργιῶν, πλοίων, καὶ κομμερκίου.
τίτλ. ς'. περὶ εὑρέσεως θησαυροῦ, καὶ περὶ μερίδων, καὶ τῶν ἐκ βυθοῦ ἐπαιρομένων, ἢ σκύλλων.
τίτλ. ζ'. περὶ τῶν ἐν ναυαγίῳ ῥιπτομένων, καὶ συνεισφορῶν ναυτικῶν, καὶ τῶν δικαίου ὑποστροφῆς. (κῶμ.
τίτλ. η'. περὶ ὁροθεσίας ἐν τούτῳ, καὶ τῶν ἐνοίκων, καὶ τῶν συναι-
τίτλ. θ'. περὶ προσφευγόντων ἐν ἐκκλησίᾳ.
τίτλ. ι'. περὶ χρήσεως τῶν πρὸς χρείαν τινὰ ζητουμένων

δημότειον πρᾶγμα, ἐν τούτῳ ἤτοι περὶ ὑποζυγίων. περὶ ἀγροῦ. περὶ οἰκίας, καὶ ἐκποιήσεως τούτων, καὶ ὑποβόλου γυναικός.

Τίτλ. ια. περὶ ναυτικῶν καὶ συνεισφορᾶς, ἤτοι τῶν διὰ βίαν ῥιπτομένων ἐκ τοῦ πλοίου.

## ΠΙΝΑΞ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.


Τίτλ. α. περὶ δωρεῶν.

Τίτλ. β. περὶ ἀνατροπῆς δωρεῶν.

Τίτλ. γ. περὶ πράσεως καὶ ἀγορᾶς, καὶ ἀρχόντων εἰσφερομένων εἰς χωρίων ἢ ἀγορῶν κτήσεις. καὶ περὶ κινδύνου τοῦ πιπρασκομένου. περὶ δούλου καὶ τοῦ πεκουλίου αὐτοῦ. περὶ ὀρφανικῶν. περὶ εὑρέσεως χρυσίου. περὶ τῆς κατὰ δωρεὰν πράσεως, ἤτοι εἰκονικῆς πράσεως. περὶ συμφωνίας πράτου καὶ ἀγοραστοῦ, καὶ πράσεως πραγμάτων γυναικός. περὶ ἀναστροφῆς καὶ μειώσεως πραθέντος, καὶ πράσεως ζώων, καὶ ἐκνικήσεως τούτου. περὶ πράσεως καὶ δωρεᾶς. καὶ περὶ παίδων πράσεως, ἤτοι κλοπιμαίων, καὶ διαπράσεως, καὶ οἴνου, ἤτοι ἐμφυτεύσεως. περὶ προτιμήσεως. περὶ πράσεως κτημάτων οἴκων εὐαγῶν.

Τίτλ. δ. περὶ ἐμφυτεύσεως, ἐν ᾧ αὖθις, καὶ περὶ εὐαγῶν οἴκων.

Τίτλ. ε. περὶ δανείου ἤτοι ἐνεχύρου, καὶ ἀρχόντων. περὶ ὑποθηκῶν καρπῶν. περὶ συμφωνίας καὶ πράσεως ἐνεχύρου. καὶ τῶν συμβαινόντων τυχηρῶν αὐτοῖς. περὶ ὑποθηκαίων πραγμάτων, προτιμήσεως δανείου, ἤτοι προικός. περὶ ἀναρχίας δανειστῶν καὶ ἀναργυρείας, καὶ διαθηκῶν δανειστοῦ ἤτοι χρεώστου. περὶ παίδων καὶ γονέων, καὶ γυναικῶν. περὶ τάξεως κεφαλαίου καὶ τόκου. καὶ μεταθέσεως

ὡς χρέους, ἢ ἐκκλησίας. περὶ τῶν δημοσίων θησαυρῶν, καὶ κτημάτων ἀντὶ χρυσίου τοῦ δανειστοῦ διδομένων.

Τίτλ. ϛ. περὶ ἐγγυητῶν καὶ ἀντιφωνητῶν, καὶ περὶ ἐγγύης γυναικῶν.

Τίτλ. ζ. περὶ τόκου, καὶ καρπῶν δανειζομένων.

Τίτλ. η. περὶ μισθώσεως, ἐν ᾧ περὶ τῆς συμβαινούσης ἀφορίας ἐν τοῖς καρποῖς. περὶ καύσεως τυχηρᾶς. περὶ ἀγέλης, ἐμπρησμοῦ. περὶ κλεπτῶν. περὶ ζώων, καὶ ἐμπρησμοῦ αὖθις. περὶ ἐργολάβων.

Τίτλ. θ. περὶ παρακαταθήκης. περὶ δούλων. περὶ τυχηρᾶς περιστάσεως, καὶ ἀντιλλόγου.

Τίτλ. ι. περὶ συστάσεως κοινωνίας. περὶ διαιρέσεως κοινῶν.

Τίτλ. ια. περὶ λύσεως κοινωνίας.

## ΠΙΝΑΞ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΒΙΒΛΙΟΥ.

Τίτλ. α. περὶ συναινέσεως μνηστείας, καὶ γαμικῶν προστίμων, καὶ λύσεως μνηστείας.

Τίτλ. β. περὶ ἀρραβώνων, ἐν ᾧ καὶ περὶ αἱρετικῶν, καὶ περὶ αἰτήσεως συγγνώμης ἡλικίας, καὶ ἀρχόντων.

Τίτλ. γ. περὶ δωρεῶν μνηστείας, καὶ ἐγκλήματος μνηστήρων καὶ δανειστῶν, καὶ τῶν προξενῶν τῶν γάμων.

Τίτλ. δ. περὶ ὅρου καὶ διαθέσεως γάμου, καὶ προικώων συμβολαίων, καὶ ἀξιωματικῶν, καὶ μυστικοῦ γάμου.

Τίτλ. ε. περὶ ἀκριβείας νόμου, ἢ κληρικῶν ἢ αἰχμαλώτου.

Τίτλ. ϛ. περὶ βαθμῶν συγγενείας, καὶ γάμων κεκωλυμένων καὶ ἀκωλύτων, καὶ ἀγχιστείας, καὶ τῶν ἐκ πενθερείας συνισταμένων, καὶ τῶν ἐκ τοῦ ἁγίου βαπτίσματος, καὶ ἀδελφοποιΐας, καὶ μοιχείας, καὶ ἐπιτρόπων, καὶ περὶ τρίτης ἀθεμιτογαμίας.

τίτλ. ζ.

τίτλ. ζ. περὶ δευτερογαμούντων, ἐν ᾧ καὶ περὶ ἀναγωγῆς παίδων, καὶ προγαμιαίας δωρεᾶς, καὶ περὶ κληρονομίας δευτερογαμούσης, καὶ μοιχευομένης, καὶ τρίτου καὶ τετάρτου γάμου, καὶ παλλακῆς.
τίτλ. η. περὶ δικαίου προικὸς, ἢ τῶν εἰς προῖκα δοθέντων ζώων καὶ ἐκτιμηθέντων, ἢ τόκου προικὸς, καὶ προτιμήσεως.
τίτλ. θ. περὶ ἐκδικήσεως προικὸς, καὶ τῶν βαρῶν αὐτῆς, καὶ ἐξωπροίκων.
τίτλ. ι. περὶ ὑποβόλου, καὶ δεσποτείας ὑποβόλων.
τίτλ. ια. περὶ δωρεῶν μεταξὺ ἀνδρὸς καὶ γυναικός.
τίτλ. ιβ. περὶ λύσεως γάμου καὶ τῶν αἰτιῶν αὐτῆς, καὶ τοῦ ἀνδρὸς ἅμα καὶ τῆς γυναικός.

ΠΙΝΑΞ ΤΟΥ ΠΕΜΠΤΟΥ ΒΙΒΛΙΟΥ.

τίτλ. α. περὶ διαθήκης αὐτεξουσίων, ἐν ᾧ δὲ περὶ μυστικῆς διαθήκης, καὶ περὶ τῶν κωλυομένων διατίθεσθαι.
τίτλ. β. περὶ διαθήκης ὑπεξουσίων.
τίτλ. γ. περὶ διαθήκης ἀπελευθέρων.
τίτλ. δ. περὶ διαθήκης ἐπισκόπων καὶ μοναχῶν.
τίτλ. ε. περὶ ἀνατροπῆς διαθήκης, ἐν ᾧ καὶ περὶ ἀκυρουμένης, καὶ τῆς ἐκ μέρους ῥηγνυμένης, καὶ ἁπλῶς διαθήκης.
τίτλ. ϛ. περὶ μέμψεως καὶ ἐπανισώσεως διαθήκης.
τίτλ. ζ. περὶ κωδικέλλου.
τίτλ. η. περὶ κληρονόμων, ἐν τούτῳ καὶ περὶ συνεισφορᾶς καὶ κληρονομίας ἀνδρὸς καὶ γυναικὸς. καὶ περὶ ἀποκαταστάσεως κληρονομίας ἐν ᾧ καὶ περὶ παίδων φυσικῶν, καὶ ἀπροίκου γαμετῆς, καὶ γαμικῶν γυναικὸς, καὶ ἐγκληματικῶν, καὶ ἁπλοῦς διαθήκης, καὶ ἀδελφοποιΐας. καὶ περὶ μοναστηρίων.

τίτλ. θ

τίτλ. θ. περὶ φαλκιδίου, καὶ ἀκλήρων παρ ζώων καὶ υἱῶν.
τίτλ. ι. περὶ λεγάτων.
τίτλ. ια. περὶ ἐπιτρόπων, κουρατώρων καὶ διοικητῶν, καὶ περὶ τῶν κωλυομένων ἐπιτροπεύειν· ἐν ᾧ καὶ περὶ τόκου, καὶ ἐκποιήσεως ὀρφανικῶν.
τίτλ. ιβ. περὶ τοῦ πότε δεῖ ἐνάγειν τοὺς δανειστὰς, κατὰ τῶν κληρονόμων τοῦ τελευτήσαντος.

## ΠΙΝΑΞ ΤΟΥ ΕΚΤΟΥ ΒΙΒΛΙΟΥ.

τίτλ. α. περὶ ζημίας, καὶ ζώων, καὶ τοῦ ὀφθαλμὸν τινὸς τινὰ ζημιοῦντα, καὶ περὶ ἐμπρησμοῦ.
τίτλ. β. περὶ μοιχῶν καὶ φόνου αὐτῶν, καὶ γυναικὸς μοιχευθείσης παρ' ἰδίου δούλου.
τίτλ. γ. περὶ πορνῶν, καὶ τῶν ἐκβιαζόντων παρθένους, ἢ σωπτένου, καὶ περὶ μνηστῆς ἀλλοτρίας.
τίτλ. δ. περὶ αἱμομικτῶν, καὶ τῶν ἀγόντων δύο γυναῖκας· ἔτι δὲ καὶ ἀσελγῶν καὶ ἀλογευομένων.
τίτλ. ε. περὶ κλεπτῶν, ἀπελατῶν, καὶ περὶ τοῦ κλέπτου φονευθέντος, τυμβωρύχων καὶ ἱεροσύλων.
τίτλ. ς. περὶ φονέων καὶ λῃστῶν.
τίτλ. ζ. περὶ ἁρπαζόντων γυναῖκας, καὶ τῶν ἐξ ἐμπρησμοῦ ἁρπαγῶν καὶ τῶν ἐκ ναυαγίου, καὶ νεωτερικῶν, καὶ τῶν ὅρια μετατιθέντων.
τίτλ. η. περὶ αὐτομόλων καὶ ἀνδραποδιστῶν.
τίτλ. θ. περὶ συκοφαντῶν καὶ τῶν φλυαρίαν διεισκόντων.
τίτλ. ι. περὶ φαρμακῶν, γοήτων καὶ μάντεων.
τίτλ. ια. περὶ ἰουδαίων, αἱρετικῶν καὶ ἑλληνιζόντων, καὶ τίνες κληρονομοῦσιν αὐτῶν.
τίτλ. ιβ. περὶ δούλων καὶ τῶν ἐμπρησμοὺς ποιούντων.

τίτλ. ιγ

Τίτλ. ιγ΄. Περὶ τῶν ὑποδεχομένων ἀλλοτρίους δούλους, καὶ τῶν ἐκποιούντων ἐλευθέρους.

Τίτλ. ιδ΄. Περὶ διαφόρων φόνων, καὶ τῶν μηνύτας ποιούντων, καὶ ἰδιωτικῶν φυλακῶν, καὶ χρήσεως ἵππου, καὶ περὶ τρώσεων ζώων ἀναιρουμένων ἀπ' ἀλλήλων.

* Τίτλ. ιε΄. Περὶ τοῦ τίνες ἀτιμοῦνται. * Περὶ χειροτονίας ἐπισκόπων. Τέλος τῶν νόμων γεωργικῶν Ἰουστινιανείων.

# ΠΡΟΧΕΙΡΟΝ

ΝΟΜΩΝ, Η ΕΞΑΒΙΒΛΟΣ· ΗΓΟΥΝ ΠΕΡΙ νόμων καὶ δικαστικῆς καταστάσεως, καὶ ἐλευθεριῶν· ἔτι καὶ ἀποκαταστάσεως, βιβλίον πρῶτον.

περὶ νόμων. τίτλ. α.

Κατὰ τοὺς παλαιοὺς χρόνους, ὅτε μοναρχίαι ἦσαν βασιλικαί, ἀλλὰ δὴ ὕπατοι τὰ τῶν Ῥωμαίων διϊθύνοντο πράγματα· προεβάλλοντο γὰρ καθ' ἕκαστον χρόνον ὕπατοι δύο, καὶ ἀνεδέχοντο πάντα τὰ στρατιωτικά, καὶ πολιτικά. καὶ ἵνα σαφέστερον καὶ συντομώτερον εἴπωμεν· ὅτε νόμοι ἀκμήν, οὔτε βασιλεῖς ἦσαν, οὔτε ἔγγραφοι νόμοι ἐν βιβλίοις τεταγμένοις ἀναγραφόμενοι. πρῶτος δὲ Ἄππιος Κλαύδιος μετὰ ἑτέρων ἀνδρῶν ἐκλεκτῶν δέκα τὸν ἀριθμόν, συναγαγὼν εἴτι νόμιμον ἦν παρὰ Ῥωμαίοις, ἢ ἀγράφως φερόμενον, ἢ ἐγγράφως μέν, ἀσυντάκτως δέ, καὶ σποράδην κείμενον· ἦσαν γάρ τινα καὶ ἀτάκτως, καὶ οὐκ ἐν ὡρισμένοις τεθειμένα βιβλίοις. μετακομίσας καὶ ἀπὸ τῶν Ἀθηνῶν, τοὺς νόμους τοῦ Δράκοντος καὶ τοῦ Σόλωνος· καὶ ἀπὸ τῶν ἄλλων, ἄλλους τινάς, καὶ ἐκ πάντων ἐκλογὴν ποιησάμενος, τὸ δυοκαιδεκάδελτον· ταυτὸν δ' εἰπεῖν δωδεκάβιβλον ἀπετέλεσεν. εἶτα ἐλθόντες ἄνδρες σοφοί, ὧν ἦρχε Γάϊος, νομοθεσίας ἑτέρας, καὶ διαιρέσεις τῶν ἀγράφων προστεθείκασι. καὶ μὴν τούτοις, διάφοροι βασιλεῖς, διατάξεις ὡς συμφέρον ἐνόμιζον, συνεγράψαντο. ὕστερον ὁ βασιλεὺς Ἰουστινιανός, τὰς πολλὰς ἐκθέσεις τῶν νόμων, ἐν πεντήκοντα βιβλίοις διὰ σοφῶν ἀνδρῶν σπουδαίως συνήγαγε· ἃ καὶ δίγεστα, ἤτοι πανδέκτην, ὡς πάντων δεκτικὰ τῶν νόμων ἐκάλεσεν. οὗτος ὁ Ἰουστινιανός, καὶ τοὺς τρεῖς ἐξέθετο κώδικας, τόντε Γρηγοριανόν, τὸν Ἑρμογενιανόν, καὶ τὸν

δυοκαιδεκάδελτον ρ.

Θεοδοσιανὸν, καὶ τοὺς τρεῖς κώδικας, τοῖς νόμοις. τοῖς δὲ Θαλελαίου, καὶ Ἀναβολίου, καὶ Ἰσιδώρου συνάψας, ἕτερον δωδεκάδελτον, τουτέστιν εἰπεῖν δωδεκάβιβλον, καὶ αὐτὸς ἀπεπλήρωσε. τινὲς δὲ τοὺς λεχθέντας κώδικας, εἶναι μὲν φασὶ πρὸ τοῦ Ἰουστινιανοῦ· πλὴν ἀλλὰ συγκεχυμένους καὶ διεσπαρμένους, παρ' αὐτοῦ δὲ ἰδίᾳ συναχθῆναι καὶ πλατυνθῆναι, εἰς τὸ δωδεκάδελτον. αὐτὸς καὶ τὰ ἰνστιτοῦτα, τουτέστι τὴν τῶν νόμων εἰσαγωγὴν, ὡς πρῶτα στοιχεῖα τοῖς τοὺς νόμους παιδευομένοις, ἐξέδοτο. Ὁ αὐτὸς καὶ νεαρὰς ἐν ἰδιάζοντι βιβλίῳ συνέταξεν· εἰσὶ δὲ νεαραὶ, αἱ παρὰ τῶν κατὰ νόμους βασιλέων νέαι διατάξεις, πρὸς τὰς ἀνακυπτούσας ὑποθέσεις γινόμεναι. ὑπηρέτει δὲ τῷ Ἰουστινιανῷ εἰς ἃς εἴπομεν νεαρὰς, ὁ Τριβωνιανὸς ἐκεῖνος· ὃν καὶ εἰς φύσεως δεξιότητα καὶ εἰς φιλοχρηματίαν, δαιμόνιον παραδιδοῦσιν. ὅστις ἐν τῷ συγγράφειν τὰς νεαρὰς, παρὰ ἐχόντων ὑποθέσεις δεχόμενος χρήματα· τὰ μὲν, πρὸς τὸ θέλημα τῶν διδόντων ἐνήλλαττε· τὰ δὲ, ἀσαφῆ καὶ δυσνόητα καὶ πρὸς ἔννοιαν ῥέποντα διττὰς ἐσχεδίαζεν· ὡς ἂν οἱ ἀναγινώσκοντες ἐμπίπτωσιν εἰς διχόνοιαν. τελευταῖος δὲ καὶ ὕστερος πάντων, Λέων ὁ σοφὸς, ὁ ἐν βασιλεῦσιν ἀοίδιμος· τὰ δίγεστα, καὶ τοὺς κώδικας, καὶ τῶν ἰνστιτούτων, ἤγουν τὴν τῶν νόμων εἰσαγωγὴν, πολλὰ καὶ τὰς νεαρὰς αὐτὰς εἰς ἓν πάντα συναγαγὼν ὁμοῦ, καὶ τὴν τοιαύτην πραγματείαν ἐν βιβλίοις συμπληρώσας ἑξήκοντα, τὴν λεγομένην ἑξηκοντάβιβλον, τελείως ἀπήρτισεν· ἣν καὶ εἰς τεύχη ἓξ διεμέρισε· τεῦχος ὀνομάσας, ἕκαστον τῶν μειζόνων τμημάτων· ὃ καὶ πολλῶν βιβλίων ἐστὶ περιεκτικόν. καὶ μετὰ τοῦτον πολλοὶ τῶν βασιλέων, καθολικοὺς μὲν ἐξέθεντο νόμους· νεαρὰς δὲ καὶ προστάξεις δημοσίας καὶ χρυσοβούλλους λόγους, εἰς ἃ δέον ἡγήσαντο πεποιήκασιν.

Ὁ νόμος ἢ φυσικός ἐστιν, ἢ ἐθνικὸς, ἢ πολιτικός. καὶ φυσικὸς μὲν νόμος, ᾧ τινι κατὰ φύσιν χρῶνται πάντα τὰ ζῶα· καὶ τὰ λογικὰ καὶ τὰ ἄλογα. οἷον τὸ, τὰς μητέρας στέργειν τὰ γεννώμενα ἐξ

αὐτῶν.

αὐτῶν, καὶ ὅσα τοιαῦτα. Ἐθνικὸς δὲ νόμος ἐστίν, ᾧ τι ἔθνος ἢ ἔθνη χρῶνται τινά· οἷον τό, μὴ μίγνυσθαι ταῖς μητράσι παρὰ Σαύραις, καὶ Ἕλλησι· ἢ τὸ ἐναντίον τὸ μίγνυσθαι ταύταις, παρὰ Πέρσαις. Πολιτικὸς δὲ νόμος ἐστίν, ᾧ τινι μία πόλις μόνη κέχρηται, διὰ τὸ συμφέρον αὐτῇ· ἄλλη δὲ εἰ χρήσασθαι βουληθῇ, ζημίαν ἔσται ταύτῃ, καὶ βλάβης πρόξενον. ὡς εἴ τις ἐν πόλει ὤν, ἥτις σῖτον ἀφ' ἑαυτοῦ οὐ δύναται γεωργεῖν, νομοθετήσει ἐλευθέρους εἶναι, καὶ μηδὲν διδόναι τῷ δημοσίῳ, τοὺς βουλομένους ἀγοράζειν ἢ πωλεῖν σῖτον· τοῦτο γὰρ τῇ μὲν πόλει ἐκείνῃ ἴσως συμφέρει, διὰ τὸ μὴ ἔχειν σῖτον ταύτην ἀφ' ἑαυτοῦ· ταῖς δὲ ἑτέραις πόλεσιν αἵ τινες εὔφοροί εἰσιν, ἀσύμφορον πάντως ἔσται καὶ οὐδὲν ὄφελος, ἀλλὰ καὶ μᾶλλον ζημίας αὐταῖς πρόξενον. Νόμος ἐστί, τέχνη τοῦ καλοῦ· κοινὸν * ὅρος νόμου. παράγγελμα, φρονίμων ἀνδρῶν δόγμα· ἑκουσίων τε καὶ ἀκουσίων ἁμαρτημάτων σωφρονισμός, πόλεως συνθήκη κοινή· ἔστι δὲ καὶ θεῖον εὕρημα. Παράγγελμα τοῦ νόμου, τὸ κοσμίως ζῆν, ἄλλον μὴ βλάπτειν, ἑκάστῳ τὸ ἴδιον ἀπονέμειν. Σοφία δὲ νόμου, τὸ εἰδέναι τὰ θεῖα καὶ ἀνθρώπινα πράγματα· τὸ δίκαιόν τε καὶ τὸ ἄδικον. Εἰδέναι δὲ νόμους ἐστίν, οὐ τὸ γινώσκειν τὰ ῥήματα· ἀλλὰ τὴν δύναμιν αὐτῶν. Ἀρετὴ νόμου, τὸ κελεύειν· τὸ κωλύειν· τὸ ἐπιτρέπειν· τὸ τιμωρεῖσθαι. καὶ κελεύειν μέν ἐστι, τὸ προστάσσειν τό δέ τι ποιεῖν· κωλύειν δέ, τὸ ἀπείργειν τι ἀπό τινος· ἐπιτρέπειν δέ, τὸ μήτε κωλύειν, μήτε προτρέπειν· τιμωρεῖσθαι δέ, τὸ ἀναγκαίως ἀπείργειν ἀπό τινος. Ὁ νόμος διαιρεῖται εἰς δύο· εἰς δημόσιον καὶ ἰδιωτικόν. Νόμος οὐδεὶς δύναται βεβαιοῦν, τὸ τῇ φύσει τῶν πραγμάτων κεκωλυμένον. Τὰ περὶ ὧν οὐ κεῖται νόμος, ἐκ τῶν ὁμοίων τέμνεσθαι ἢ λύεσθαι δεῖ.

Τότε κεχρήμεθα τῇ συνηθείᾳ, ὅτε δοκιμασθεῖσα ἐν δικαστηρίῳ ἐβεβαιώθη. Τὰ νόμῳ συνιστάμενα, ἐναντίῳ νόμῳ ἀναιρεῖται.

ΣΧΟΛ. Οἷον νόμος ἐστὶ κατασκευάζων τοὺς γονεῖς

γράφειν τοὺς παῖδας κληρονόμους· ὁμοίως δὲ τοὺς παῖδας, γράφειν τοὺς γονεῖς. δῆλ' οὗτος ἀνῃρέθη παρὰ νόμου ἑτέρου· κεῖται γὰρ λέγων, μὴ ἔχειν τοὺς παῖδας ἀνάγκην ἢ τοὺς πατέρας ἐὰν φανῶσιν ἀχάριστοι. καὶ ἕτερος νόμος ἐστὶ διδοὺς πᾶσιν ἀνθρώποις ἐλευθέροις καὶ αὐτεξουσίοις, ποιεῖν διαθήκας· καὶ τοὺς βίαν πεποιηκότας ἔνοπλον, ἢ κατὰ βασιλέως τινὰς γενομένους ἐσήχθη ἕτερος νόμος κωλύων μὴ ποιεῖν· καὶ ἄλλους τινάς. κεῖται νόμος κωλύων τὰς γυναῖκας μεταχειρίζεσθαι ἀνδρῷα ὀφφίκια· ἤγουν τὸ συνηγορεῖν, τὸ ἐπιτροπεύειν· ἀλλ' ἐσήχθη ἕτερος ἐπιτρέπων τῇ μάμμῃ καὶ τῇ μητρὶ, ἀποταξαμέναις τῷ βελλαιανῷ δόγματι· καὶ καταπιστευμέναις μὴ ἐλθεῖν εἰς δεύτερον συνοικέσιον, ἐπιτροπεύειν τῶν ἰδίων παίδων καὶ τῶν ἐκγόνων.

Τοὺς νόμους τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμβαινόντων, οὐ μὴν τῶν σπανίως, εἰσάγεσθαι δεῖ· οὐδὲ ἀπὸ τῶν δυναμένων ἐν συμβιῶναι † θέματι. παραβαίνουσι γὰρ οἱ νομοθέται τὸ ἅπαξ ἢ τὸ δὶς γινόμενον.

## ΠΕΡῚ ἈΦΗΛΊΚΩΝ.

Ὅτε νόμος ἀντίκειται τινὶ πράγματι, κἂν πάνυ δικαιότατον ἐστὶ τὸ γινόμενον, ἀπρόσδεκτόν ἐστι τοῖς δικαστηρίοις· διὸ νόμος ἐστὶ μὴ δίδοσθαι πράγματα, τῷ μὴ ὑπὲρ τὸν εἰκοστὸν .ε. χρόνον ἀφήλικι. Εἰ οὖν ὁ ἐπίτροπος χειρίσει πράγματα κατὰ τὴν κδ΄. ἡμέραν τοῦ .ιβ΄. μηνὸς, τοῦ .κε΄. χρόνου, καὶ δαπανήσει ταῦτα ὁ ἀφήλιξ, ἔχει ἐπὶ τούτοις ἀποκατάστασιν· καίτοι γε οὐκ εἰκὸς τὸν ἀφήλικα διὰ τῶν λειπομένων ἐξ ἡμερῶν τοῦ τελείου αὐτοῦ χρόνου, φρονιμώτερον γενέσθαι. πανταχοῦ τοίνυν, ἔνθα νόμος ὡρισμένος ἐστὶν, ἐκεῖνον δεῖ φυλάττειν· καὶ οὐ κρατεῖ τὸ παρὰ τοῦτον γινόμενον, κἂν πάνυ δικαιότατον ἐστίν.

Φιλαγάθως δεῖ τοὺς νόμους ἑρμηνεύειν ἐν τοῖς ἀμφιβόλοις.

Οὐ δυνατὸν πάντων τῶν νόμων τὸν λογισμὸν ἀποδιδόναι.

Ὅταν ἕτερόν τι τὸ νόμιμον βούλεται, ἕτερον δὲ τὸ δίκαιον,

μόνος

μόνος ὁ βασιλεὺς τὴν περὶ τούτου τέμνει ζήτησιν, ἐπειδὴ αὐτῷ πρέπει μόνῳ τὰ τοιαῦτα τέμνειν. * Ὅπερ ἀρέσει τῷ βασιλεῖ, νόμος ἐστὶ, εἴτε διὰ ἐπιστολῆς ἐνυπογράφου ὁρίσει, ἢ διαγινώσκων ψηφίσηται, ἢ ὅπως δήποτε· καὶ λέγεται τὰ τοιαῦτα διατάξεις. τινὰ δὲ τούτων προσωπικά ἐστι· καὶ οὐχ ἕλκεται πρὸς ὑπόδειγμα· εἴτε πρὸς φιλοτιμίαν, εἴτε πρὸς ποινήν τινα ἐπέθηκεν. * Ἡ μεταξὺ δύο τινῶν βασιλέων ἀπόφασις, καὶ ἐπὶ τῶν παραπλησίων κρατείτω. * Ἐῤῥώσθω παράνομος ἀντιγραφὴ βασιλέως, ἐξ ἂν ἕτερον οὐκ ἀδικεῖ· ἢ ἐὰν ἐγκλήματος χαρίσηται παράχρησιν. Ἀντιγραφὴ δὲ λέγεται, ἡ βασιλικὴ πρόσταξις· διὰ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐκ προκειμένων ἀναφορῶν γίνεσθαι τὰς βασιλικὰς προστάξεις.

περὶ βασιλέως.

* Αἱ μεταγενέστεραι διατάξεις, ἰσχυρότεραι τῶν πρὸ αὐτῶν εἰσί. Καὶ κατὰ βασιλέως οἱ γενικοὶ, ἤγουν οἱ καθολικοὶ κρατείτωσαν νόμοι· καὶ πᾶσα παράνομος ἐκβαλλέσθω παραγραφή. * Παραφυλάττειν δεῖ τὸ ἔθος καὶ τὴν συνήθειαν. εἰ δὲ καὶ τοῦτο ἐκλείπει, ἀκολουθεῖν δεῖ τοῖς πλησιάζουσι καὶ ἐοικόσι τῷ ζητουμένῳ. εἰ δὲ μηδὲ ταῦτα εὑρίσκηται, τότε νόμιμον ᾧ τινι ἡ Ῥώμη κέχρηται, παραφυλάττειν δεῖ. * Ἡ παλαιὰ συνήθεια, ἀντὶ νόμου φυλάττεται· καὶ ὥσπερ ἡ σύνθεσις τοῦ νόμου, ἢ ἔγγραφός ἐστιν ἢ ἄγραφος· οὕτω καὶ ἡ ἀναίρεσις αὐτοῦ, ἢ διὰ ἐγγράφου γίνεται νόμου, ἢ δ' ἀγράφου τουτέστιν ἀχρησίας. Ὁ ἄρχων, ὅ ἂν εὕροι συχνάζον ἐν τῇ πόλει ἐπί τινος πράγματος, φυλάξει αὐτό, καὶ γὰρ ἡ συνήθεια ἡ προλαβοῦσα καὶ ὁ λογισμὸς ὁ εἰσάγων αὐτὴν, φυλακτέα ἐστὶ, καὶ οὐκ ἐάσει τι παρὰ τὴν μακρὰν συνήθειαν γίνεσθαι.

περὶ ἔθους.

Ἐκράτησε σήμερον καὶ πολιτεύεται ἐν τοῖς δικαστηρίοις πᾶσι καὶ συχνάζει, τὸ ἀρκεῖν ἐπὶ ἀπαιτήσει μιᾶς λίτρας, δύο μάρτυρας. τοῦτο γοῦν τὸ ἔθος, ὀφείλει πᾶς ἄρχων προϊστάμενος δικαστηρίου φυλάττειν· καὶ μὴ ἐᾶν παρὰ τὴν συνήθειαν ταύ-

ταύτην ἑτέραν τι γίνεσθαι. ὡσαύτως ἀπὸ μακρᾶς συνηθείας ἐβεβαιώθη, καὶ τὸ μὴ ὀμνύειν τοὺς ἡγουμένους ἢ τοὺς μητροπολίτας, ὅταν ἡ μονὴ ἢ ἡ μητρόπολις μὴ ἔχουσα ἀπόδειξιν εἰς ὅρκιον ἀπέλθῃ· ἀλλὰ τρεῖς τῶν μοναχῶν, ἢ τῶν κληρικῶν, ὅταν ὦσι πολυάνθρωπα τὰ μοναστήρια· ἢ δύο τὸ ἐλάχιστον, τῆς ἐπιλογῆς ἄχρι καὶ τῶν πλουσίων φυλαττομένης. ἔστι καὶ νόμος λέγων, μὴ ὀμνύειν τοὺς μάρτυρας, καὶ ἀφ' ὧν καθίκουσι τόπων, εἰς ἑτέραν ἕλκεσθαι διὰ μαρτυρίαν, εἰ μὴ συνήθειαν ὁ ἄρχων εὕρῃ, καὶ ἀπὸ πόλεως εἰς πόλιν αὐτοὺς μεταπέμπεσθαι· εἰ δ' εἰσκῶν δὲ ὁ ἄρχων τοιαύτην συνήθειαν ἔν τινι τόπῳ, ὀφείλει παραφυλάττειν αὐτήν, καὶ μὴ παρορᾶν. παραγγέλλει ὁ μάγιστρος οὕτω προσέχειν, ὅτι διάφοροι νόμοι περὶ τοῦ αὐτοῦ λέγουσι πράγματος καὶ τυποῦσι, μὴ εἴπερ ἑτέροις τισὶ νόμιμον εὑρεθῇ ἴσως ἐναντιοφανές, αὐτῷ μόνῳ προσέχειν· ἀλλὰ κατὰ τὴν τῶν πολλῶν νομίμων ἔννοιαν, ἑρμηνεύειν καὶ τὴν τοῦ ἑνός. τὸ μὴ μετὰ λογισμοῦ εἰσενεχθὲν ἀλλὰ κατὰ πλάνην καὶ συνήθειαν κρατῆσαν, οὐ δεῖ κρατεῖν ἐν τοῖς νόμοις. φησὶν δέ· ἐκεῖνο τὸ ἔθος κρατεῖ καὶ παραφυλάττεται ἐν τοῖς ὁμοίοις· καὶ ἐκείνην τὴν συνήθειαν παραφυλάττειν δεῖ ἐγγράφου νόμου μὴ ὄντος, τὴν εὔλογον καὶ κρατήσασαν μετὰ λογισμοῦ ἐνδεχομένου· καὶ δοκιμασθεῖσαν παρὰ ἀξιολόγων ἀνδρῶν καὶ εὑρεθεῖσαν ἔννομον καὶ δικαίαν. τὴν γὰρ συνήθειαν καὶ τὸ ἔθος ὅπερ πολλάκις εἰσήχθη, καὶ ἐπράχθη εἰς δικαστήριον, παρὰ τὴν ἐνδεχομένην μέντοι γε διαίρεσιν καὶ περὶ τὸν πρέποντα λογισμόν, τοῦτ' ἔστι τὸ ἔθος τὸ ἀλογίστως εἰσενεχθέν, καὶ κατὰ πλάνην κρατῆσαν, καὶ συνήθειαν λαβὸν γίνεσθαι, οὐχ ἕλκεται εἰς τὰ ὅμοια. οὐδὲ διὰ τοῦτο κρατήσει, ἢ νόμος δόξει, διότι ἡ συνήθεια τοῦτο ἀλογίστως ποιεῖν παρέλαβεν, ἀλλ' ἐξετασθήσεται ὁ λογισμὸς καὶ ἡ διάνοια τούτου, καὶ εἰ μὲν εὑρεθῇ ὅτι μετὰ λογισμοῦ εὐλό-

του καὶ δικαίου εἰσωνέχθη κρατήσει καὶ αὐτὸ καθ' αὐτὸ, καὶ ὡς εὔλογον καὶ δοκιμασθὲν, καὶ ἐν τοῖς ὁμοίοις ἐκλυνθήσεται, καὶ ὡς νόμος λογισθήσεται. Ὅτι τὰ κοινὰ καὶ ἐν χρήσει, ἢ ἐπὶ τῇ πάντων ὠφελείᾳ νενομοθετημένα, μᾶλλον κρατεῖν χρὴ, ἢ τὰ ἔκ τινων σπουδῆς, ἐπὶ παραφθορᾷ τῶν κοινῶν γενόμενα νόμων.

Ὁ βασιλεὺς, νόμοις οὐχ ὑπόκειται, ἤγουν ἁμαρτήσας οὐ κολάζεται. ἡ αὐγοῦστα δὲ ὑπόκειται· δίδωσι δὲ αὐτῇ ὁ βασιλεὺς, τὰ ἑαυτοῦ προνόμια. Ἡ τοῦ νόμου ἄγνοια, τοῖς μὲν ἀπαιτοῦντας τὰ ἴδια οὐ βλάπτει· ἐπὶ δὲ κέρδει † οὐ συμβάλλεται. — περὶ βασιλέως. † οὐχ ἁρμόζει. † ἀπειεία

ΠΕΡΙ ἀγνοίας νόμου, καὶ φάκτου.

Ἡ τοῦ φάκτου † ἄγνοια, καὶ ἀνδράσι καὶ γυναιξὶ βοηθεῖ ἐπὶ κέρδους καὶ ζημίας· φάκτος δέ ἐστι τὸ κεφάλαιον, καὶ τὸ τῆς ὑποθέσεως ἀποτέλεσμα. ἡ δὲ τοῦ νόμου ἄγνοια, οὔτε γυναιξὶ βοηθεῖ ἐπὶ κέρδει· ἐπὶ δὲ ζημίας οὐδένα βλάπτει τέλοντα τὸ ἴδιον ἀπαιτεῖσθαι. Ἡ μὲν τοῦ φάκτου ἄγνοια, οὐδένα βλάπτει· ἡ δὲ τοῦ νόμου, πάντας βλάπτει· πλὴν τῶν ἀφηλίκων, καὶ ἔν τισι τῶν γυναικῶν, ἔνθα μὴ ἔστιν ἁμάρτημα, ἀλλὰ νόμου ἄγνοια. Μηδεὶς οὖν ἀγνοείτω, ἢ ἀποπροσποιείτω διατάξεις βασιλικάς.

ΠΕΡΙ ΕΝΑΓΟΝΤΟΣ ΚΑΙ ΕΝΑΓΟΜΕΝΟΥ.

καὶ περὶ δικαιωμάτων καὶ ἐγκλημάτων καὶ γυναικῶν καὶ δημοσίων. τίτλ. β.

Τὸν ἐνάγοντα, ἀκολουθεῖν τῷ φόρῳ τοῦ ἐναγομένου· φόρος δέ ἐστιν, ἔνθα νῦν ἔχει τὴν κατοίκησιν, ἢ ὅπου εἶχεν ἐν καιρῷ τοῦ συναλλάγματος. ἐπεξήγησις τοῦ ῥητοῦ τούτου.

Κανονικῶς ἴσθι, ὁ ἐνάγων, ἕπεται τῷ φόρῳ τοῦ ἐναγομένου· φόρος δέ ἐστιν, ἢ ὅπου νῦν κατοικεῖ ὁ ἐναγόμενος, ἢ ὅπου εἶχεν ἐν καιρῷ τοῦ συναλλάγματος· δι' ὁ πέτρος ἐν τῇ βασιλευούσῃ ταύτῃ πόλει τὴν ἰδίαν κατοικίαν ἔχων, καὶ ἐν ταύτῃ διάγων, ἐδανείσατο ἀπό τινος θεσσαλονικέως ἐνταῦθα,

* ῑι. ρ̄. εἶτα ἐξελθὼν τῆς πόλεως καὶ ἀπερχόμενος εἰς * Ἀττάλα, διήρχετο διὰ τῆς Θεσσαλονίκης· εὗρεν αὐτὸν ὁ δανειστὴς αὐτοῦ ὁ Θεσσαλονικεὺς, καὶ ἐβούλετο κινῆσαι κατ' ἐκείνου περὶ τοῦ ἄρχοντι τῆς Θεσσαλονίκης· ὁ δὲ ἀντέτεινε καὶ ἔλεγε πρὸς τὸν δανειστὴν, κἂν ἔχῃς κατ' ἐμοῦ ἀγωγὴν, οὐκ ὀφείλεις αὐτὴν κινεῖν κατ' ἐμοῦ ἐν τῇ Θεσσαλονίκῃ, τυχαίως ἐν ταύτῃ παρευρεθέντος, ἀλλ' ἐν τῇ πόλει· καὶ ἄνελθε ἐκεῖσε, καὶ κίνησον αὐτὴν κατ' ἐμοῦ, ὡς ἀκολουθῶν τοῦ φόρῳ μου· καὶ ὡς ἐκεῖσε ταύτην ὀφείλεις κινεῖν, ἔνθα καὶ αὐτὸς κατοικῶ, καὶ ὅπου τὸ συνάλλαγμα γέγονεν. ὁ Θεσσαλονικεὺς, οὐ συνήρχετο τοῖς λόγοις τοῦ ἐναγομένου· καὶ ἀμφιβόλου οὔσης, ἀνηνέχθη τὰ περὶ τούτου τῷ βασιλεῖ, καὶ ἀντεγράφη ὁ βασιλεὺς πρὸς τὸν Θεσσαλονικέα. τὴν τῶν νόμων τάξιν ἀνατρέπειν ζητεῖς; ἐκεῖνος γὰρ τὸν ἐνάγοντα βούλεται ἕπεσθαι τοῦ φόρῳ τοῦ ἐναγομένου, οὐ μὴν τὸν ἐναγόμενον τοῦ φόρῳ τοῦ ἐνάγοντος. ταῦτα μὲν οὖν ὀφείλεις νοεῖν, ὅτε ἐν τῷ τόπῳ ἐν ᾧ κατοικεῖ νῦν ὁ ἐναγόμενος, γέγονε καὶ τὸ συνάλλαγμα· εἰ δὲ ἀλλαχοῦ μὲν εἶχεν, ὁ Πέτρος ὅτε ἐδανείσθη, τὴν κατοικίαν· δηλαδὴ ἐν τῇ πόλει, ἀλλαχοῦ δὲ νῦν καταμένει· τυχὸν ἐν τῇ Ῥαιδεστῷ, καὶ εὑρέθη τυχαίως ὡς ἐμπαροδεύων τῇ Θεσσαλονίκῃ, καὶ οὕτως ὁ Θεσσαλονικεὺς, ἢ εἰς τὴν πόλιν ὀφείλει ἀνέρχεσθαι, καὶ κινεῖν κατὰ τοῦ Πέτρου, ἢ εἰς τὴν Ῥαιδεστόν. Ἰστέον ὅτι διαφοραὶ κριτηρίων δύο μόναι εἰσίν· τὸ μὲν, γὰρ διὰ νόμων πρόεισι· τὸ δὲ διὰ κανόνων. ἔστι δὲ καὶ τρίτη διαφορὰ, τὸ ἐξ ἀμφοῖν, ἔκ τε τῶν νόμων καὶ ἐκ τῶν κανόνων συνιστάμενον. πᾶν δὲ κριτήριον συνίσταται ἔκ τε προκαθεζομένων καὶ συγκαθεζομένων, καὶ ἐκ τῶν παρισταμένων καὶ δικαζομένων, ἢ δι' ἑαυτῶν, ἢ διὰ ἐντολέων, οἷς ὁ νόμος δίδωσι τὴν ἐξουσίαν. Ὁ κληθεὶς εἰς δικαστήριον· καὶ μετὰ ταῦτα στρατευσάμενος ἢ ἄλλου φόρου γεγονὼς, οὐ δύναται περὶ τῆς αὐτῆς δίκης ἐπικαλεῖσθαι τὸν ἴδιον φόρον. ΝΕΑΡΑ'. * Θεσπίζομεν τὸν ἐνάγοντα

τὸ

τοῦ προάρχεσθαι τὸ πρᾶγμα, μέχρι πέρατος τῆς δίκης ἐγγυμνάζειν. εἰ δὲ ὑπερτίθεται, καλεῖσθαι παρὰ τοῦ δικαστοῦ καὶ δὶς καὶ τρὶς, ἑκάστης κλήσεως, οὐκ ἔλαττον τριάκοντα ἡμερῶν διαστήματι περικλειομένης. καὶ ἐὰν μὴ δὲ οὕτω παραγένηται, ἢ ἔνδεια πέμψῃ, δίδοσθαι αὐτῷ ἕτερον ἐνιαυτοῦ προθεσμίαν· ἧς ἐντὸς εἰ μὴ τῇ ἰδίᾳ ἐπεξέλθῃ ἐναγωγῇ, τὸν δικαστὴν καὶ ἀπόντος τοῦ αἰτιδίκου, τὰς τοῦ προσεδρεύοντος δικαιολογίας ἐξετάζειν καὶ τῆς ἀληθείας ἀκριβῶς ζητουμένης, νόμιμον προσφέρειν ψῆφον. εἰ δὲ ἐντὸς τοῦ εἰρημένου ἐνιαυτοῦ παραγένηται, καὶ τὰς ἰδίας ἐναγωγὰς ἐγγυμνάσαι βουληθῇ, πρὸ πάντων ἀπαιτεῖσθαι παρὰ τοῦ δικαστοῦ τὰ δαπανήματα, ἅπερ διὰ τὴν δίκην ὁ ἐναχθεὶς προσεδρεύων τῷ δικαστηρίῳ ὑπέμεινε· καὶ τῷ αἰτιαθέντι ταῦτα παρασχεῖν· καὶ οὕτω τὸν ἐνάγοντα προσεδρεῦσαι, μέχρις ὅτου τὸ πρᾶγμα περατωθῇ. εἰ δὲ μὴ οὕτω προσεδρεύει, κελεύομεν αὐτὸν μετὰ τὰς εἰρημένας τῶν προγραμμάτων καὶ τοῦ ἐνιαυσιαίου χρόνου διαστήματος παρατηρήσεις, πάσης ἀγωγῆς ἐκπίπτειν, τὴν ἁρμόζειν αὐτῷ κατὰ τοῦ ἐναχθέντος ὑπολαμβάνειν. Ἡ δὲ, δ΄ νεαρὰ τοῦ καίσαρος λέοντος, τοὺς καταμηνυθέντας ἐκ φίλων, ἤγουν ἐκ τρίτου καὶ μὴ ἀπαντήσαντας εἰς τὸ δικαστήριον, εὐθύνεσθαι καὶ κατακρίνεσθαι κελεύει. Ὁ διδόμενος χρόνος τοῖς εναγομένοις τοῦ εὐτρεπισμοῦ, τριμηναῖος ἐστίν. Ὁ λέγων οὐ μὴν ὁ ἀρνούμενος δεικνύει. Ὁ ἐναγόμενος ταῖς παραγραφαῖς, ἐνάγων ἐστὶ καὶ ὑπόκειται ταῖς ἀποδείξεσιν. Ὁ γραφὴν κατηγορίας ἀποθέμενος, ὀφείλει σαφηνίζειν, καὶ τὸ ἁμάρτημα, καὶ τὸν χρόνον καὶ τὸν μῆνα, καὶ τὸν τόπον, ἐν ᾧ ἡμαρτήθη, τυχὸν ἡ μοιχεία καὶ μετὰ ποίου προσώπου. τὴν ἡμέραν δὲ, ἢ τὴν ὥραν, οὐκ ἀναγκάζεται λέγειν. Ἐάν τις ἀποδῶται κατά τινος ἔγκλημα, ἐκεῖνος δὲ βαρύτερον ἔγκλημα ἀντεπάγῃ αὐτῷ, χρὴ πρότερον τὸ βαρύτερον ἔγκλημα τὸ ἀντεπενεχθὲν γυμνασθῆναι.

## ΠΕΡῚ ΔΙΚΑΙΩΜΆΤΩΝ ΤᾺ ΑΥ̓ΤΆ.

Ὁ κατήγορος οὐ δύναται τὸν κατηγορούμενον ἀναγκάζειν προφέρειν τὰ δικαιώματα αὐτοῦ, ἀλλ᾽ ὁ ἐναγόμενος τὸν ἐνάγοντα.

Οὐδεὶς ὀφείλει ἐξ ἀλλοτρίων δικαιωμάτων ἀγωνίζεσθαι.

Ἀπὸ τῶν δύο διατάξεων, τοῦτο συνάγεται· ὅτι κἂν ἰδιώτης, κἂν πόλις, κἂν ὁ δημόσιος λόγος ἐνάγῃ τινὶ περί τινος μὴ ἀποδοθέντος ἢ παραδοθέντος, δύναται ὁ ἐναγόμενος μὴ ἔχων ἑτέρωθεν ἀποδεῖξαι, ἢ τὸ χρέος ἀποδοῦναι, ἢ τὴν παρακαταθήκην αὐτῷ μὴ παραδοθῆναι, καλῶς ἐπιζητεῖν καὶ τοῦ ἰδιωτικοῦ δανειστοῦ τοὺς λόγους προενεχθῆναι· καὶ τοὺς πολιτικοὺς ἢ δημοσίους λόγους, ἵνα ἐκ τούτων ἀποδειχθῇ τὸ ποσὸν καταβέβληται. Ὅτι οἱ μὲν ἐνάγοντες, οὐ δύνανται ἐπιζητεῖν τὰ τῶν ἐναγομένων συμβόλαια· οἱ δὲ ἐναγόμενοι δύνανται.

Οὔτε ἀντίδικός μου δύναταί με ἀναγκάσαι προφέρειν τὰ ὠφελοῦντα αὐτὸν δικαιώματά μου, οὔτε παιδευτὴς τὰ βιβλία μου, ἐφ᾽ ᾧ δῆθεν τῇ ἀναγνώσει αὐτῶν ὠφεληθῆναι. Ἐάν τις διάφορα ὑπὲρ αὐτοῦ προφέρῃ δικαιώματα· μάχωνται δὲ ἀλλήλοις, ταῦτα ἄκυρα αὐτῷ ἔσται καὶ ἀνωφελῆ. Πότε καθ᾽ ἑτέρου ἀναγκάζεταί τις προκομίσαι δικαιώματα, ἑτέρῳ τινὶ συμβαλλόμενα, ὅτε μὴ βλάπτεται αὐτὸς προκομίζων, καθ᾽ ἑαυτοῦ δὲ οὐδαμῶς. Πότε δικαιώματά τις καθ᾽ ἑαυτοῦ προκομίζειν ἀναγκάζεται, ὅτε χρηματικόν, καὶ μὴ ἐγκληματικόν ἐστι τὸ ζητούμενον.

ΤΙ ἘΣΤΙ ΧΡΗΜΑΤΙΚΌΝ, καὶ τί ἐστιν ἐγκληματικόν.

Χρηματικαὶ ὑποθέσεις εἰσίν, ὅσαι ζημίαν χρημάτων τοῖς ἔχουσιν αὐτὰς προξενοῦσιν· ἐγκληματικαὶ δέ, ὅσαι βαρυτέραν ἔχουσι τιμωρίαν. Ὅτι χρηματικὸν μέν, τὸ ζημίαν χρημάτων τοῖς ἔχουσι προξενοῦν· ἐγκληματικὸν δέ, τὸ βαρυτέραν ἔχον τιμωρίαν. Καθ᾽ ὧν προσώπων ἄκων τις οὐ μαρτυρεῖ, κατὰ τούτων οὐδὲ προκομίζειν πυκτὰς ἢ δικαιώματα, ἢ ἕτερόν τι τοιοῦτον ἀναγκάζεται. Οὐδεὶς οὐδὲ χρηματικὴν δίκην κινεῖν, οὐδὲ

ἔγκλημα

ἔγκλημα γυμνάζειν κατά τινος, ἀναγκάζεται μὴ βουλόμενος.

Ὁ προπετῶς εἰς δίκην τινὰ καλῶν, καὶ τὰ τῆς ὁδοῦ, καὶ τὰ τῆς δίκης δίδωσιν αὐτῷ δαπανήματα. Ὁ κατηγορηθεὶς ἀντικατηγορεῖν οὐ δύναται, πρὶν ἐλευθερωθῇ. Ἡ διάταξις κελεύει τὴν συγκλητικὴν εἴτε ἐπὶ χρηματικῇ αἰτίᾳ, εἴτε ἐπὶ ἐγκληματικῇ, ἐγγύας μὴ ἀπαιτεῖσθαι, ἀλλὰ μόνον ἐξωμοσίᾳ καταπιστεύεσθαι. Ἐξωμοσία δὲ λέγεται, ἡ μετὰ ὅρκου παραίτησις, καὶ ἐξόμνυμι τὸ μετὰ ὅρκου παραιτοῦμαι· καὶ αὖθις ἐξωμοσία λέγεται, ὅταν τις φάσκῃ ἢ ὑπὲρ ἑαυτοῦ, ἢ ὑπὲρ ἑτέρου ἐγκαλούμενος, μὴ δεῖν εἰσάγεσθαι δίκην, εἶτα καὶ τὴν αἰτίαν δι' ἣν οὐκ εἰσαγώγιμος ἡ δίκη, εἰ δοκεῖ κατὰ λόγον ἀξιοῦν, ἐδίδοτο αὐτῷ, ἐξωμοσίᾳ χρῆσθαι· καὶ οὕτως διεγράφη ἡ δίκη. Οἱ γονεῖς καὶ οἱ πάτρωνες, εἰ καὶ δι' ἐντελέως ἀγωνίζονται, ὅμως οὐκ ἐνάγονται τῇ περὶ δόλου, ἢ τῇ περὶ ὕβρεως ἀγωγῇ. εἰ καὶ τὰ μάλιστα οὐκ ἀτιμοῦνται, δι' ἐντελέως ἀγωνιζόμενοι, οὔτε τῇ περὶ ὕβρεως ἐνάγονται. Οὐδεὶς ἐκ τοῦ ἰδίου οἴκου καλεῖται, ἢ ἕλκεται εἰς δικαστήριον· ἑκάστῳ γὰρ ὁ ἴδιος οἶκος, ἀσφαλές ἐστι καταφύγιον, καὶ ὁ καλῶν αὐτὸν, βίαν ἐπιφέρει· εἰ δὲ πρὸς ἑαυτὸν δίδωσιν εἴσοδον ἢ θεωρεῖται, ἐκ τῆς ἀγορᾶς καλείτω. Εἰ καὶ τὰ μάλιστα ἔσθ' ὅτε τις ἀπὸ τοῦ οἴκου καλεῖται, ὅμως οὐδεὶς ἀπὸ τοῦ οἴκου ἕλκεται. Πρὸς μόνην ἀπόδειξιν ἀρκεῖ ἡ τοῦ ἐρωτωμένου ἀπόκρισις, ἔντε ταῖς κληρονομίαις, ἔντε τοῖς ἄλλοις πράγμασιν. Ἔξεστι τῷ ἀποκρινομένῳ μεταμέλεσθαι, εἰ μὴ ἐντεῦθεν ὁ ἐνάγων ζημιοῦται· καὶ μάλιστα εἰ μετὰ ταῦτα τις ἔγνω ἐκ δικαιωμάτων ἢ ἐπιστολῶν, περὶ τοῦ ἰδίου δικαίου. Ὅπερ δίκαιόν τις ἢ εἴποι κατά τινος ἢ λεχθῆναι παρασκευάσει, τοῦτο αὐτῷ καὶ αὖθις ἀπόκειται.

περὶ ἐξωμοσίας.

Οἷον ὡς ἐπὶ θέματος, ἐκίνησέ τις κατά τινος προσωπικὴν ἀγωγὴν, ἥτις κλείεται .λ. χρόνων παρελθόντων· τυχὸν περὶ δανείου, καὶ τὸ δάνειον γὰρ προσωπικόν ἐστιν, ὡς τὸ πρόσωπον ὑ-

χρὴ τοῦ δανεισθέντος, ἐνοχλῶν. καὶ ὁ ἐναγόμενος ἀντέθετο, ὅτι ἐκλείσθη σοί ἡ ἀγωγὴ ὦ ἀντίδικε ὡς χρόνων παρελθόντων λ´, καὶ σοῦ μὴ λαλήσαντος· καὶ ἔστιν ἡ παραγραφὴ ἰσχυρὰ, καὶ τῷ νόμῳ δεκτή. ἀλλ᾽ ὁ ἐνάγων, ἔπεισε τὸν δικαστὴν, μὴ δέξασθαι τὴν παραγραφὴν καὶ ἀποφήνασθαι· ὅτι καὶ τῆς τριακονταετίας διελθούσης, οὐ βλάπτεται ὁ ἐνάγων, καὶ καταδίκασε τὸν ἐναγόμενον δοῦναι τὸ χρέος. εἰ οὖν μετὰ ταῦτα αὐτὸς ὁ δικάσας ἐνάγεται παρά τινος ὡς δανεισάμενος.. τι. ρ. τυχὸν, καὶ προβάλλεται τὴν τοιαύτην παραγραφὴν λέγων ὅτι διῆλθεν ἡ τριακονταετία καὶ οὐκ ἐκίνησας καὶ ἐκλείσθης, οὐκ εἰσακουσθήσεται καὶ ἐννόμου οὔσης τῆς δικαιολογίας, ἀλλὰ καταδικασθήσεται. εἰπόντος πρὸς αὐτὸν τοῦ δικάζοντος· ὅτι κἂν ἔννομος ἐστὶν ἣν λέγεις παραγραφὴν, ἀλλὰ καὶ οὕτως ὀφείλεις δικάζεσθαι. διότι καὶ σὺ τοιαύτην δικάζων ὑπόθεσιν, τὴν τοιαύτην παραγραφὴν προτεθεῖσαν, οὐ προσεδέξω· καὶ ὃ ἔφθασας εἰπεῖν κατά τινος δίκαιον, τοῦτο καὶ αὐτὸς ὀφείλεις ὑποπεσεῖν. τιμωρεῖται οὖν ὁ δικαστὴς τῇ τοιαύτῃ παιδείᾳ ὅτι ἐψηφίσατο, οὐ μὴν ὅτι ἐβουλήθη, καὶ μεταμεληθεὶς οὐκ ἀπεφήνατο· τότε γοῦν συγγνωμονεῖται, διότι οὐδὲ ἔβλαψε τινά.

## ΠΕΡΙ ἘΓΚΛΗΜΑΤΩΝ.

Ἐν τοῖς ἐγκληματικοῖς δικαστηρίοις, οὔτε κατηγορεῖν, οὔτε κατηγορεῖσθαι, δι᾽ ἐντολέως δυνατόν. Σβέννυνται τὰ ἐγκλήματα τῇ τελευτῇ τοῦ κατηγορουμένου. χωρὶς τοῦ περὶ καθοσιώσεως, ἤγουν κατὰ τοῦ βασιλέως ἀπὸ τοῦ κεφαλαίου τῆς προδοσίας· καὶ τῆς κατὰ τοῦ βασιλέως ἐπιβουλῆς. ἐπὶ τούτων γὰρ εἰ μὴ καθαιρεθῇ ἀπὸ τῶν κληρονόμων, δημεύεται ἡ κληρονομία.

Ὁ κατηγορήσας τινὸς ἐγκληματικῶς, εἴσω διετίας ὀφείλει πληροῦν τὴν ἰδίαν κατηγορίαν. εἰ δὲ μὴ, εἰς τὸ τέταρτον τῆς οὐσίας τιμωρεῖται, γινόμενος καὶ ἄτιμος. Ἡ δὲ .μγ´. νεαρὰ τοῦ καίσαρος Λέοντος· καὶ ἐγγράφεσθαι φησὶ, τοὺς εἰσάγοντας δίκην

ἐγκλή-

ἐγκλήματος. Ὅτι ἐπὶ τῶν χρηματικῶν ἀγώνων, οὐκ ἀπαιτεῖται ἐγγραφὴν ὁ ταύτην κινῶν· ἐπὶ δὲ τῶν ἐγκληματικῶν, ἀπαιτεῖται.

ΠΕΡΙ ΓΥΝΑΙΚΩΝ.

Γυνὴ κεφαλικὸν ἔγκλημα οὐ κινεῖ· πλὴν ἐπὶ ἀναιρέσει γονέων, ἢ παίδων, ἢ πατρώνων, ἢ τέκνων αὐτῶν, ἢ ἐγγόνων· καὶ τῶν λοιπῶν καθ' ὧν ἄκουσα μαρτυρεῖν οὐκ ἀναγκάζεται. κινεῖ δὲ καὶ τὸν περὶ πλαστογραφίας νόμον· καὶ περὶ διαθηκῶν, τῶν πατρώων ἀπελευθέρων, καὶ τῶν μητρώων. Δύναται ἡ γυνὴ κινῆσαι κατὰ τοῦ ἰδίου παιδὸς δημόσιον ἔγκλημα. Χωρὶς τῶν κεκωλυμένων, οἱ ἄλλοι δύνανται κινεῖν τὰ δημόσια. κωλύονται δέ τινες διὰ φύσιν, ἢ ἡλικίαν, ὡς γυνὴ καὶ ἄνηβος· ἄλλοι ὡς ἐνόπλως στρατευόμενοι· ἄλλοι ὡς ἄρχοντες, ἄλλοι ὡς ἄτιμοι ἢ αἰσχροκερδεῖς, ἄλλοι δι' ὑποψίαν συκοφαντίας, ἄλλοι διὰ πενίαν. οὗτοι δὲ πάντες, ἐγκλήματα καὶ φόνον τῶν συγγενῶν ἐκδικεῖν δύνανται. Ἐάν τις λέγηται κατέχειν πράγματα τοῦ δημοσίου, ὀφείλει ἐνάγεσθαι, καὶ ἐλεγχόμενος ἀποδιδόναι εἰς διπλοῦν τὸ κατεχόμενον. πρὸ δὲ ἐλέγχων, ὃν χρὴ τοῦτον στερεῖσθαι τὴν ἰδίαν ἢ ἀποκλείεσθαι. ὁ δὲ παρὰ ταῦτα ποιῶν ἄρχων, οἷος ἂν καὶ ᾖ, δημεύεται καὶ περιορίζεται. Τὸ παλαιὸν ἐν τῇ παλαιᾷ Ῥώμῃ, βασιλεύς τις γενναῖος ἀνδρειότατος καὶ πάσης κρατήσας γῆς, διεῖλε τὰς ἐπαρχίας. καὶ τὰς μὲν ἐπεκράτησεν ἑαυτῷ· τὰς δέ, ἀφώρισε τῷ δήμῳ τῶν Ῥωμαίων· ἐπὶ τῷ τὰ ἐκεῖθεν συναγόμενα καὶ ἀπαιτούμενα, δαπανᾶν εἰς οἰκείας χρείας καὶ θρέψεις. ταῦτα δὲ τὰ ἀφορισθέντα τῷ Ῥωμαϊκῷ παντὶ δήμῳ, ἐλέγοντο κυρίως καὶ κατὰ ἀκρίβειαν φισκάλια, ἤτοι δημόσια· καὶ διέφορον τῷ δήμῳ δεσποτικῶς, καὶ ἐξεποιοῦντο περὶ αὐτοῦ κατὰ πάντα τρόπον ἐκποιήσεως. εἶχεν ὡσαύτως τὸ παλαιὸν καὶ ἑκάστη πόλις πράγματα ἴδια· εἰ δὲ θνήσκων τις, κατέλειψε τῇ δεῖνι πόλει· α. τι. ἐφ' ᾧ κτισθῆναι βαλανεῖον, ἢ τὴν ἔξοδον τούτου ἔχειν τὴν πόλιν εἰς ἐξόδους οἰκείας· ἢ ἐδωρήσατο

περὶ δημοσίων.

τῇ πόλει τις ἀγροὺς περιφανεῖς, καὶ εἶχον αὐτοὺς οἱ τῆς πόλεως κάτοικοι πάντες. εἶχον καὶ δούλους ὁμοίως καταλειφθέντας τῇ πόλει παρά τινος, ἢ οὗτοι οἱ δοῦλοι ἐκέκτηντο καὶ πεκούλιον, ὃ προεχειρίζετο ἐπὶ τοῦ ἄρχοντος, ὁ ὢν ἱκανὸς, εἰς διοίκησιν τῶν τῆς πόλεως πραγμάτων καὶ ᾠκονόμει οὗτος τὰ πολιτικὰ πράγματα, καὶ ἐξεποίει ἔνθα ἔδοξεν αὐτῷ, ὡς διαφέροντα δεσποτικῶς τῇ πόλει· καὶ πεφυκότα ἐκποιεῖσθαι, καὶ ἐκαλοῦντο δὲ αὐτὰ δημόσια, πλὴν οὐ κυρίως· οὐ γὰρ κατὰ ἀκρίβειαν· ἀλλὰ καταχρηστικῶς· μόνα γὰρ δημόσια κυρίως ἤτοι φισκάλια εἰσὶ, τὰ τοῦ ῥωμαϊκοῦ δήμου. Ὅτι τὰ ἐγκληματικὰ, εἰκοσαετίᾳ σβέννυνται. Ἀδελφὸς κατὰ ἀδελφοῦ κινήσας δημόσιον ἔγκλημα, ἐξορίᾳ ὑπόκειται. Ὁ διάγων ἐν οἴκῳ τινὸς, οὐ δύναται κατ' αὐτοῦ ἔγκλημα κινῆσαι. εἰ δέ τι χρηματικὸν καὶ χρεώστηται, καλῶς κινεῖ περὶ τούτου. Δύναταί τις κινῆσαι καὶ κατὰ ἀδελφῆς, ἐλαφρὸν ἔγκλημα. Ἐὰν ὁ κατήγορος ἀσθενήσῃ καὶ διεξελθεῖν ἐμποδισθῇ τῇ κατηγορίᾳ, ἀπαλείφεται τὸ ὄνομα τοῦ ἐναγομένου ἐκ τῶν ἐγγράφων. ἄλλος δὲ ἐντὸς τριάκοντα συναπτῶν ἡμερῶν, δύναται ἐξ ὑπαρχῆς κατηγορῆσαι αὐτοῦ. Ἐὰν τῶν ἐγκλημάτων δημοσίᾳ ἀπόλυσις γίνηται, δι' ἐπίσημον ἡμέραν ἢ διὰ δημοσίαν ἱλαρίαν, ἢ διὰ πρᾶγμα αἴσιον ἀπαντῆσαν τῇ πόλει, τριάκοντα συναπταὶ ἡμέραι δίδονται τῷ κατηγόρῳ, εἰς τὸ δύνασθαι ἀνανεῶσαι τὴν κατηγορίαν, μετὰ τὴν παραίωσιν δηλαδὴ τῶν ἀπράκτων ἡμερῶν, δι' ἃς ἡ ἄφεσις γέγονεν. Ἕκαστος ἐναγόντων, ὀφείλει περιποιεῖν ἑαυτῷ τὴν νίκην, ἐκ τῶν προσόντων αὐτῷ δικαίων· διὸ εἰ φαίνεται τὸν δὲ τὸν ἀγρὸν εἶναι τῆς ἐμῆς δεσποτείας, οὐ μὴν ὀφείλει λέγειν· εἰ φαίνεται τὸν δὲ τὸν ἀγρὸν μὴ εἶναι τοῦ ἀντιδίκου δεσποτείας· εἰ γὰρ οὕτως εἰσέλθοι κινῶν· εὑρεῖ αὐτῷ ὁ ἀντίδικος· πρῶτον μὲν ἐμός οὐκ ἔστιν ὁ ἀγρὸς, εἰ δὲ οὐκ ἔστιν ἐμὸς ὡς σὺ λέγεις, οὐ παρὰ τοῦτο σός· ἀλλ' ἄλλου οὐκ ἔστιν· οὐ γὰρ πάντως τὸ μὴ ἐμόν, ἤδη σόν ἐστιν. εἰ δὲ μήτε ἐμὸς, μήτε σός ἐστιν ὁ ἀγρός. ὀφεί-

λω σε

λόγου σε νικᾶν ἐν τῷ παρόντι δικαστηρίῳ· κατὰ τὸν κανόνα τὸν λέγοντα, ἐν ἴσῃ αἰτίᾳ, κρείσσων ἡ αἵρεσις τοῦ νεμομένου. Εἴκοσι μίλια καθ᾽ ἡμέραν λογίζεται τὸν ὀφείλοντα παραστῆναι, ὑπεξῃρημένης τῆς ἡμέρας καθ᾽ ἣν ὡμολόγησε, καὶ καθ᾽ ἣν αὐτὸν παραστῆναι χρή. Πᾶς τῶν ἐναγόντων, καὶ ἄρρενες, καὶ γυναῖκες, πρὸ τῆς ὡρισμένης προθεσμίας τῶν χρεῶν ἐνάγοντες, καὶ κατὰ τοῦτο τὸν ἐναγόμενον βλάπτοντες, ἄλλον τοσοῦτον περιμενέτωσαν χρόνον, μηδένα τόκον ἐν τῷ μέσῳ λαμβάνοντες ὅσον αὐτοὶ προφθάσαντες τὴν προθεσμίαν ἐπεχείρησαν· καὶ τοῦ χρόνου δὲ τούτου παραδραμόντος, μὴ ἄλλως ἐναγέτωσαν. εἰ μὴ τὰ δαπανήματα τῆς πρώτης εἰσόδου τὰ ὑπὲρ τῆς μεθοδείας συμβάντα, τῷ διαδίκῳ καταβάλλοιεν. Φησὶ γοῦν καὶ ὁ κανών. οὐδὲν ἀπαιτεῖσθαι δύναται πρὸ τοῦ καιροῦ, καθ᾽ ὃν τῇ φύσει τῶν πραγμάτων δύναται καταβάλλεσθαι, οὐ δὲ πρὶν ἢ παρέλθοι ὁ ἰδίως τῇ καταβολῇ ὁρισθεὶς καιρός. Οἱ ἡμαρτηκότες καθοσίωσιν, καὶ μετὰ τελευτὴν ἐνάγονται· καὶ δημεύεται ἡ οὐσία αὐτῶν. Ὁ προβαλλόμενος προεστῶτα ἐργαστηρίου ἐνάγεται μὲν παρὰ τῶν συναλλαξάντων αὐτῷ. οὐκ ἐνάγει δὲ αὐτοῖς, εἰ μὴ δοῦλος αὐτοῦ ἐστιν, ὁ προεστὼς τοῦ ἐργαστηρίου. Καὶ γυνὴ ἐὰν προστήσῃ ἢ προσταθῇ, ἐνέχεται καὶ αὕτη βεβαίως ὁμοίως εἰ σὺν αὐθεντίᾳ τοῦ ἰδίου προσώπου. Ἀντὶ ἐλεγχθέντος ἐστίν, ὁ τὸν κατήγορον ὑποφθείρας, χωρὶς τῶν δι᾽ αἵματος ἐχόντων καταδίκην. Ἡ ποινὴ τῶν μὴ πειθαρχούντων, εἴτε ἐνάγων ἐστὶν εἴτε ἐναγόμενος, οὐκ εἰς τὸ διάφορον· ἀλλ᾽ εἰς τὸ ἀληθὲς ποσὸν ἁρμόζει. ἡ δὲ ἀγωγή, οὔτε μετ᾽ ἐνιαυτόν, οὔτε κληρονόμοις δίδοται. Ἐὰν προσωπικὴ ἀγωγὴ κινῆται, δίδοται μὲν προκατάρξιν τὰ πράγματα· καὶ οἱ μετὰ ταῦτα ληφθέντες καρποί, καὶ ὁ τόκος δέ· γοῦν ἐν τῇ προκατάρξει τὸ πρᾶγμα ἦν, τοιοῦτον ὀφείλει δίδοσθαι.

Σχόλ. Οἷον ὡς ἐν ὑποδείγματι, δύο τινὲς ἐδανείσαντο τινὶ κεχωρισμένως τυχὸν ἀνὰ ι̅. ι̅ί. καὶ τόκου αὐτὸν ἐπηρώτησαν

τησαν

l. itinere. de ver. s

τήσωσιν οὓς ἐβουλήθησαν. ἀλλὰ μετὰ ταῦτα γνόντες εἰς ἀπορίαν συνελαύνεσθαι τὸν χρεώστην αὐτῶν, σπουδάσαντες ἀπήτησαν τὰ κεφάλαια. ὁ εἷς δὲ τούτων, πλεῖον ἀγωνισάμενος, παντοιοτρόπως καὶ τοὺς τόκους ἀπήτησεν, οὓς ἐπηρώτησεν. ὁ δὲ ἕτερος δανειστὴς μὴ δυνάμενος τοὺς τόκους λαβεῖν ἀπὸ τοῦ χρεώστου ὡς ἀπορήσαντος, ἦλθε κινῶν κατὰ τοῦ δανειστοῦ αὐτοῦ, ζητῶν συμμερίσασθαι, καὶ αὐτὸν κατὰ ἀναλογίαν ὧν ἐπηρώτησε τόκων· τὸ παρὰ τοῦ δανειστοῦ αὐτοῦ ἀπαιτηθὲν ποσὸν, χάριν τῶν ἐποφειλομένων τόκων αὐτοῦ. Ὁ δὲ ἐναγόμενος ἀντεπίθη μὴ ὀφείλειν πρὸς τὸν ἐνάγοντα δοῦναί τι, τοῦ παρόντος βοηθούμενος νόμῳ λέγοντι, ὅταν περὶ κέρδους τυχὸν τόκων δύο τινὲς διαμάχωνται, ὁ προφθάσας ἀπαιτῆσαί τι καὶ τοῦτο νεμόμενος, νικᾷ τὸν ἐνάγοντα. καὶ ἄλλως δὲ εἰ βούλει τοῦτο θεματίσαι, καὶ εἰπὲ, ὅτι ἀλλότριον ἀγρὸν κατέχων ἐγὼ, καί τις ἀνεφύη κινῶν κατ' ἐμοῦ καὶ ζητῶν αὐτόν· σπεύδων ὡς ἀλλότριον κερδῆσαι τοῦτον τυγχάνοντα, οὐκ εἰσακουσθήσεται τοῦ λαβεῖν ἐξ ἐμοῦ τὸν ἀγρὸν, ἀμφοτέρων γὰρ συναγωνιζομένων τὸν ἀλλότριον κερδῆσαι ἀγρὸν, ἐμοὶ τῷ νεμομένῳ καὶ ἐναγομένῳ, τὴν νίκησιν ὁ νόμος χαρίζεται. Διὰ τῆς προκατάρξεως ὡς ἐπίπαν κρείττων ἡ αἵρεσις γίνεται τοῦ ἐνάγοντος, λοιπὸν γὰρ ἁρμόζει κληρονόμοις καὶ κατὰ κληρονόμων. Ἐν ἴσῳ ἁμαρτήματι, χείρων ἐστὶν ἡ αἵρεσις τοῦ ἐνάγοντος. ΣΧΟΛ. Οἷον, ἀγρὸν λόγου χάριν, κατέχων ἐγὼ, καί τις ἀνεφύη κινῶν κατ' ἐμοῦ καὶ ζητῶν αὐτὸν, δικαιολογούμενος ἀλλότριον εἶναι τὸν ἀγρὸν, καὶ διὰ τοῦτο μὴ διαφέρειν ἐμοί. ἀντεπίθου ἐγὼ τοιοῦτο δικαιολόγημα. ὅτι ἀλλότριος ὢν ὁ ἀγρὸς ὁ ζητούμενος παρὰ σοῦ, οὔτε σοὶ ἀνήκει, οὔτε ἐμοί. καὶ ἐμὸς δὲ μὴ ὢν, οὐκ ἔστι παρὰ τοῦτο σός. ἐγὼ δὲ νεμόμενος τοῦτον, σὲ τὸν κινοῦντα νικῶ. δεχόμενος οὖν ὁ νόμος τὰς ἐμὰς ἀντιθέσεις φησὶν, ὅτι τοῦ φιλονεικουμένου πράγματος ἀλλοτρίου τυγχάνοντος, καὶ μηδετέρῳ τῶν δικαζομένων ἀνήκοντος,

ὁ τοίνυν

ὁ τοῦτον νεμόμενος, κρείττων ἐστὶ τοῦ ἐνάγοντος καὶ ζητοῦντος αὐτὸ λαβεῖν. καὶ ἄλλως δ' εἰ βούλει τοῦτο θεμάτισον. καὶ εἰπὲ, ὅτι δέδωκέ μοι τις τυχὸν ῑι ῑ, ὥστε ἔχειν αὐτά. εἰ κλέψω ἢ μοιχεύσω ἢ ἕτερόν τι τοιοῦτον ἐργάσωμαι· ἐγὼ λαβὼν τὰ ῑι, καὶ καθεξόμενος ἐργάσασθαι τὸ συμφωνηθὲν, τοιοῦτόν τι διεπραξάμην οὐδέν. ἐὰν δὲ ἔλθῃ κινῶν κατ' ἐμοῦ ὁ τὰ .ῑ. ῑι δεδωκὼς, καὶ ζητῶν ἀναλαβέσθαι αὐτὰ ἐξ ἐμοῦ, ὡς μὴ τὰ ὑπεσχημένα ποιήσαντος, οὐδέν τι λήψεται ἀπ' ἐμοῦ, τοῦ παρόντος νόμου κωλύοντος. ὅτι τῆς αἰτίας οὔσης καὶ τοῦ δεδωκότος καὶ τοῦ λαβόντι ἐπίσης αἰσχρῶς, νικᾷ ὁ λαβὼν τὰ ῑι καὶ κατέχων αὐτά, κἂν τῶν συμφωνηθέντων οὐδὲν διαπέπραχεν. Θάλπονται μᾶλλον οἱ ἐναγόμενοι, ἤπερ οἱ ἐνάγοντες· ἤγουν βοηθοῦνται καὶ συγγνωμονοῦνται. ΣΧΟ'Λ. Πολλαχῶς τοῦτο θεματίσαι δύνασαι καὶ εἰπεῖν. ὅτι δύο τινῶν περὶ χρέους τυχὸν ἀγωνιζομένων, νικᾷ ὁ ἐναγόμενος ὡς ὑπὸ τοῦ νόμου θαλπόμενος. καὶ ὅτι ἐὰν κεφαλικῶς μέλλῃ τιμωρεῖσθαι τις, καὶ ἔστιν ἀσαφὲς τὸ τοῦ κεφαλικοῦ τιμωρήματος, τὴν ἐλαφροτέραν ποινὴν κατ' αὐτοῦ ὀφείλομεν ὁρίζεσθαι. καὶ ὅτι ἐὰν ἐνάγηταί τις παρά τινος ἐξ ἐπερωτήσεως, καὶ ἔστιν ἡ ἐπερώτησις ἀσαφὴς, ὑπὲρ τοῦ ἐναγομένου καὶ κατὰ τοῦ ἐνάγοντος, δεῖ αὐτὴν ἑρμηνεύεσθαι. καὶ ἕτερα δὲ θέματα εὑρήσεις πολλὰ ἐν διαφόροις βιβλίοις, συμβαλλόμενά σοι πρὸς τὸν τοῦ παρόντος κεφαλαίου θεματισμὸν, ἤτοι ὁρισμὸν τοῦ πράγματος.

## ΠΕΡΙ' ἈΓΩΓΩ͂Ν ΚΑΙ' ΧΡΟ'ΝΩΝ. τίτ. γ΄.

Αἱ ἀγωγαὶ, ἤγουν αἱ κινήσεις τῶν ὑποθέσεων, οὐκ ἀθάνατοι· τουτέστιν οὐκ ἀεὶ καὶ μέχρι τῆς τοῦ κόσμου συστάσεως κινεῖσθαι. καὶ αὐταὶ δύνανται· ἀλλ' ἔχουσι τῆς κινήσεως ὡρισμένον καιρὸν, καὶ μετὰ τὴν τούτου παρέλευσιν, οὐκέτι κινοῦνται. ὥρισται γοῦν χρόνος ταῖς ἀγωγαῖς· καὶ ὁ ὡρισμένος χρόνος, τοιοῦτος ἐστίν. ὥσπερ δὲ καὶ τὰ περὶ τῆς ἀγωγῆς καὶ τὰ περὶ τοῦ χρόνου σαφέστερα εἴη, οὕτω λεκ-

ἀγωγαὶ ἀπὸ τῆς ἄγειν τοὺς ἀγνώμονας εἰς τὸ δικαστήριον.

πίους. Ἐὰν ἀμελήσῃ τις τὸ οἰκεῖον, καὶ κεῖται τοῦτο ὑπὸ δεσποτείαν ἄλλου καὶ κυριότητα, δύναται ὁ ἀμελήσας, ἀνακαλέσασθαι αὐτό· καὶ ἐνδίδοται τούτῳ τὴν περὶ τοῦ ἀμεληθέντος πράγματος κινεῖν ἀγωγήν· πλὴν οὐκ ἀεὶ ἔχει ἐνδεδομένον ἐγκαλεῖν, ὑπὲρ τοῦ πράγματος οὗ ἀπώλεσεν, ἢ ἀγωγὰς ὑπὲρ τούτου κινεῖν, ἀλλ' ἐπὶ τινῶν μὲν πραγμάτων, δίδοται τούτῳ δεκαετία ἵνα μέχρι τῆς συμπληρώσεως τῶν δέκα χρόνων, ἀνακαλέσηται τὸ οἰκεῖον· ἐπὶ τινῶν δὲ καὶ ἕως εἴκοσι χρόνων ζητεῖν αὐτὸ οὐ κεκώλυται. ἐπὶ τινῶν δὲ, καὶ μέχρι τῶν τριάκοντα χρόνων, ἡ ζήτησις ἐπεκτείνεται· καὶ τινὲς μὲν τὴν δεκαετίαν, τὴν εἰκοσαετίαν καὶ τὴν τριακονταετίαν, ἐπὶ τῶν ἐνδημούντων, καὶ τῶν ἀποδημούντων καὶ τῶν αἰχμαλώτων ὑπολαμβάνουσι τάττεσθαι. ἐνδημοῦντας μὲν λέγοντες, τοὺς ὄντας ἐν τῷ τόπῳ ἐν ᾧ ἐστι καὶ τὸ πρᾶγμα περὶ οὗ μέλλουσιν ἐγκαλεῖν, ἢ δέκα χρόνους διδόντες αὐτοῖς, ἵνα ἐντὸς τούτων ἐγκληθεύσωσι καὶ εὕρωσιν ὅπερ ἔχουσι δίκαιον. ἀποδημοῦντας δὲ, τοὺς ὄντας μακρὰν ἀπὸ τοῦ τόπου ἐν ᾧ τὸ πρᾶγμα ἐστὶ, καὶ τούτοις πάλιν διὰ τὴν ἀποδημίαν πλατύτερον διδόντες καιρὸν· καὶ εἴκοσι τάττοντες χρόνους· καὶ γὰρ ἐντὸς αὐτῶν δύνασθαι τούτους ἀνακαλεῖσθαι ὅπερ κέκτηνται δίκαιον. αἰχμαλώτους δὲ καλοῦντες, τοὺς ὑπὸ τῶν πολεμίων κατασχεθέντας· οἷς καὶ διὰ τὴν τῆς τύχης μεταβολὴν, καὶ δὴ τὸ εἰς δουλείαν ὑπὸ ἀλλογενῶν ταχθῆναι αὐτῶν, τριάκοντα χρόνους ἀποδιδόασιν, ὡς ἂν δι' αὐτῶν ἤγουν μέχρι τῆς αὐτῶν συμπληρώσεως, τὸ ἴδιον δίκαιον ἀνακαλεῖσθαι ἰσχύωσι· καὶ τινὲς μὲν οὕτω τὴν δεκαετίαν τὴν εἰκοσαετίαν καὶ τὴν τριακονταετίαν ὡρισμένην εἶναι νομίζουσιν· ἄλλοι δὲ πάλιν οὕτω λέγουσι περὶ τούτων. ὁ νεμόμενος ἀλλότριον πρᾶγμα, ἢ ἐνδημεῖ καὶ διάγει ἐν τῷ τόπῳ ἐν ᾧ καὶ τὸ πρᾶγμα καὶ ὁ κατὰ δίκαιον λόγον ὀφείλων τοῦτο ἔχειν ἐστὶν, ἢ ἀποδημεῖ. καὶ μακρὰν ὢν κατέχει τὸ πρᾶγμα· καὶ πάλιν ὁ ἀλλότριον πρᾶ-

γμα

γμα νεμόμενος, ἢ καλῇ πίστει τοῦτο κατέχει, τουτέστιν οὐκ εἰδὼς τὸ ἀλλότριον τὸ πρᾶγμα, ἀλλ᾽ ἀπατώμενος καὶ νομίζων δικαίως κατέχειν αὐτὸ, ἢ κακῇ πίστει, τουτέστι ξένον εἶναι γινώσκων τὸ πρᾶγμα καὶ φανερῶς ἀδικῶν τε καὶ βιαζόμενος. ὅταν οὖν ὁ τὸ ἀλλότριον πρᾶγμα νεμόμενος, καὶ καλῇ πίστει νέμηται τοῦτο καὶ ἐνδημῇ, δέκα χρόνοι μόνοι δίδονται τῷ βουλομένῳ ἀνακαλεῖσθαι ἀπὸ τοῦ κατέχοντος· ὡς οἰκεῖον μετάγειν πρὸς ἑαυτὸν, καὶ μέχρι μὲν τοῦ συμπληρωθῆναι τοὺς δέκα χρόνους. ἄδειαν ἔχει ὁ στερηθεὶς τούτου, ζητεῖν αὐτό. μετὰ δὲ τὴν τούτων συμπλήρωσιν, οὐκέτι δύναται ἀνακαλεῖσθαι αὐτὸ, οὐ δὲ ἀγωγὴν τὴν περὶ τούτου κινεῖν. ἀλλ᾽ αὐτὸς μὲν ἐκβάλλεται πλέως τῆς δεσποτείας τοῦ πράγματος. ὁ δὲ κατέχων αὐτὸ δεσπότης, κύριος γίνεται· καὶ οὐκέτι ἐγκαλεῖσθαι φοβεῖται, καὶ εἰς δικαστήριον ἕλκεσθαι· καὶ τέτακται τοῦτο παρὰ τοῦ νόμου, διὰ τὸ καλῇ πίστει κατέχειν τὸν νεμόμενον ἀλλότριον· καὶ διὰ τὸ ἐνδημεῖν τοῦτον καὶ δυνατὸν εἶναι τῷ στερουμένῳ εὐχερὲς ἔγκλησιν ποιεῖσθαι· καὶ εἰς τὸ οἰκεῖον ἀποκαθίστασθαι δίκαιον. ὅταν δὲ πάλιν ὁ ἀλλοτρίου δεσπόζων πράγματος ἀποδημῇ, διὰ τὸ μὴ δύνασθαι τὸν στερούμενον κατὰ τοῦ ἀποδημοῦντος διεγκαλεῖν. οὐδεὶς γοῦν κατὰ τοῦ ἀπόντος κινεῖ, δίδονται εἴκοσι χρόνοι, τῷ τὸ οἰκεῖον ἀπολέσαντι πρᾶγμα. εἰκὸς γὰρ ἕως τοῦ πληρωθῆναι τοὺς εἴκοσι χρόνους, ἐπιδημῆσαι τῷ τόπῳ τὸν τὸ πρᾶγμα κατέχοντα, καὶ δυνηθῆναι τὸν ἀφαιρεθέντα αὐτὸ, ἀντικριθῆναι τῷ ἀδικοῦντι, καὶ εἰς ὅπερ ἠδικεῖτο δικαιωθῆναι. ὅταν δὲ πάλιν τὸ ἀλλότριον πρᾶγμα κακῇ πίστει νέμηταί τις, τριάκοντα δίδονται χρόνοι τῷ τὴν στέρησιν τοῦ πράγματος ὑπομείναντι, ἵνα αὐτὸς τούτων ἀνακαλῆται τὸ ἴδιον δίκαιον· καὶ γίνεται τοῦτο διὰ τὴν προφανῆ κακίαν τοῦ οὕτω κατέχοντος τὸ ἀλλότριον, ἢ διὰ τῆς γνώμης ἁρπακτικὸν καὶ φιλόδικον. Δεῖ δὲ γινώσκειν καὶ τοῦτο, ὅταν χρόνοι δέκα ἢ εἴκοσι, ἢ λ'. ἢ πλεί-

ονος, ἢ ἐλάττονος δοθῶσι τινί, ὥστε αὐτὸς τούτων ποιήσῃ τι, καὶ μετὰ τὴν συμπλήρωσιν τούτων οὐκέτι τὸ αὐτὸ ποιεῖν δύνηται· τότε εἴπερ ὁ τοὺς χρόνους λαβών, βλέπει συμπληρουμένους ἤδη καὶ πρὸς τέλος ἐρχομένους αὐτούς, καὶ φοβεῖται μὴ παρελθόντων τῶν χρόνων ἀπολέσῃ τὸ ἑαυτοῦ δίκαιον. ἔχει ἐπ' ἀδείας τῷ δικαστῇ, ἢ τῷ τοῦ δημοσίου ἄρχοντι προσιέναι, ἢ τῷ ἐπισκόπῳ τῆς πόλεως, ἢ τοῖς ἐκκρίτοις τῶν πολιτῶν. καὶ λέγειν τὴν αἰτίαν δι' ἣν περὶ τοῦ πράγματος οὐ κινεῖ, καὶ παριστᾶν φανερῶς ὅτι ἕτοιμός ἐστιν, ἐὰν μὴ ὑπό τινος εὐλόγου ἀφορμῆς ἐμποδισμὸν εὑρίσκῃ, ἐγκλητεύεσθαι καὶ ἀποδεῖξαι, ὅτι ἀδικεῖται εἰς τὸ πρᾶγμα περὶ οὗ βούλεται ἐγκαλεῖν. διὰ δὲ τὴν τοιαύτην αἰτίαν τοῦτο ἀφίησι, καὶ γίνεται τὸ τοιοῦτον, ἐφ' οἷς ἂν εἴπομεν παρασημειώσεις. καὶ ἄρχεται πάλιν ἀπὸ τοῦ χρόνου ἐκείνου, τοὺς δεδομένους ἀριθμεῖν χρόνους, καὶ ἔξεστι τοῦτο ἕως τρίτου ποιεῖν. καὶ καλεῖται ῥῆξις τοῦ χρόνου, ἤγουν τομὴ καὶ διακοπή· διὰ τὸ μὴ ἐᾶν ἀριθμεῖσθαι τοὺς χρόνους κατὰ συνέχειαν, καὶ εἰς τὴν ὡρισμένην συμπληροῦσθαι ποσότητα, ἀλλὰ τέμνειν καὶ διακόπτειν αὐτούς, δι' ἧς εἴπομεν προσελεύσεως, καὶ τῷ ἀριθμῷ τούτῳ διδόναι ἄλλην ἀρχήν.

## ΠΕΡῚ ΚΙΝΗΤΩ͂Ν.

καὶ ταῦτα μὲν περὶ ἀκινήτων πραγμάτων καὶ κοσμικῶν, τινὰ δὲ τῶν κινητῶν πραγμάτων, καὶ μέχρι τριετίας ἀποκαθίσταται. ὅταν γὰρ καλῇ πίστει ὁ νεμόμενος αὐτὸ νέμηται, τρεῖς χρόνοι δίδονται μόνοι τῷ κυρίῳ τοῦ πράγματος, ἵνα αὐτὸς αὐτῷ ἐγκαλῇ, καὶ τὸ ἴδιον πρᾶγμα ἀνακαλῆται. εἰ δὲ κινητὸν μὲν εἴη τὸ πρᾶγμα, ὁ δὲ κατέχων τοῦτο κακῇ πίστει νέμεται, μέχρι τριακονταετίας, ἡ περὶ αὐτοῦ κίνησις ἐπεκτείνεται.

## ΠΕΡῚ ἘΚΚΛΗΣΙΑΣΤΙΚΩ͂Ν.

τὰ δὲ ἐκκλησιαστικὰ πράγματα, ὅταν μὲν ἐκκλησία πρὸς κοσμικὸν πρόσωπον διαμάχηται, ἐνδέδοται κινεῖν τὰ τῆς ὑποθέσεως μέχρι καὶ τριάκοντα χρόνων καὶ τεσσαράκοντα, ἐὰν

δὲ

δὲ ἐκκλησία πρὸς ἐκκλησίαν ἑτέραν περί τινος ἀμφιβαλλομένου πράγματος διαμάχηται, εἰς τριακονταετίαν μόνην ἡ κίνησις ταῖς ἐκκλησίαις ὁρίζεται. σήμερον δὲ καθολικῷ λόγῳ διὰ .μ΄. χρόνων τὰ ἐκκλησιαστικὰ πάντα τέμνονται.

## ΠΕΡῚ ἈΦΗΛΊΚΩΝ.

Ἀφηλίκων τῶν καὶ ἀνηλίκων παρὰ τοῖς κοινοῖς λεγομένων. κατέχεται μὲν τὰ πράγματα πολλάκις παρ᾽ ἑτέρων τινῶν, κατέχεται δέ ποτὲ μὲν καλῇ πίστει, ποτὲ δὲ κακῇ, καὶ δίδονται τοῖς ἀφήλιξι χρόνοι, ἵνα ἐντὸς τούτων τὰ οἰκεῖα διωχθεῖσιν ἀνακαλέσασθαι. δίδονται δὲ ὅταν μὲν καλῇ πίστει νέμηται ὁ κατέχων αὐτὰ, δέκα χρόνοι εἰς τὸ κινεῖν τὴν περὶ τῶν πραγμάτων ὑπόθεσιν, καὶ ψηφίζεται ἡ τοιαύτη δεκαετία, ἀπὸ τοῦ εἰκοστοῦ πέμπτου ἔτους τοῦ χρόνου τῶν ἀφηλίκων. καὶ ἔχουσιν ἄδειαν οἱ ἀφήλικες ἀφ᾽ οὗ εἰκοσιπέντε γίνωνται χρόνων, ἕως οὗ διαβιβασθῶσιν ἕτεροι δέκα χρόνοι, ἐγκαλεῖν περὶ τῶν οἰκείων πραγμάτων, καὶ ἀνακαλεῖσθαι αὐτά. ὅταν δὲ κακῇ πίστει τῶν ἀφηλίκων πρᾶγμα νέμηταί τις, δίδονται τοῖς ἀφήλιξι χρόνοι .λ΄. εἰς τὸ ἀνακαλεῖσθαι τὸ οἰκεῖον. ψηφίζονται δὲ οἱ τριάκοντα, ἀφοῦ ἔφηβοι γίνωνται, ἤγουν μετὰ τὴν ἐκπλήρωσιν τοῦ τεσσαρεσκαιδεκάτου χρόνου τῆς ἡλικίας αὐτῶν· ἕως ἂν ἕτεροι χρόνοι πληρωθῶσι τριάκοντα, καὶ τότε δύνανται κινεῖν καὶ ἀνακαλεῖσθαι τὸ οἰκεῖον πρᾶγμα, κακῇ πίστει παρά τινος κατεχόμενον. ὁ δὲ ἀφῆλιξ ἐὰν, εἰς πρᾶγμά τι περιγραφῇ, ἤγουν ἀπατηθῇ καὶ ζημιωθῇ ἐπὶ πωλήσει ἢ ἐξωνήσει ἢ ἀνταλλαγῇ τινὸς πράγματος, τὴν γοῦν ἐξ ἀπάτης ζημίαν τὴν ἐν τοῖς συναλλάγμασι γινομένην, ἡ περιγραφὴ παρὰ τῷ νόμῳ δηλεῖ, δύναται μετὰ τὸ, εἰκοσιπέντε χρόνων γενέσθαι, ἐπὶ ἄλλοις τέσσαρσι χρόνοις, ἀνακαλεῖσθαι ὅπερ ἐζημιώθη καὶ περιποιεῖσθαι αὐτῷ τὸ ἀζήμιον. μετὰ γοῦν καὶ τὸν εἰκοστὸν πέμπτον χρόνον, ἕτεροι τέσσαρες χρόνοι δίδονται τοῖς ἀφήλιξιν· ἵνα ἐν αὐτοῖς ἐπιδιορθῶνται,

εἶτα φθάσαντες ἔσφαλον, καὶ ἀναλαμβάνονται ἅπερ ἐπώλησαν οἱ ἀφήλικες· ὁπόταν δὲ πληρωθῶσι καὶ οἱ τέσσαρες χρόνοι, οὐκ ἔτι ἔξεστιν ἄδειαν κινεῖν περί τινος πράγματος, εἰς ὃ αὐτοὶ συνάλλαγμα πεποιήκασιν. Εἴπερ δὲ ὁ ἐλάττων τὸν ἐνήλικον διαδέξεται, οὐ πλέον ἐκείνου προνόμιον ἔχει· ἀλλὰ μόνους τοὺς προσβοηθοῦντας τῷ ἀπελθόντι χρόνους, καὶ ἀνεπιφθονήτως τῶν χρόνων τρεχόντων, ἀποκλείεται τῆς κινήσεως, διὰ τὸ τῆς ἡλικίας ἀτελές, οὐδὲν αὐτῷ συμβάλλεται. Αἱ ἀγωγαὶ κατὰ διαφόρους τρόπους γινόμεναι καὶ διαφόρως ὀνομάζονται· τινὲς μὲν αὐτῶν καὶ περὶ ὑφαιρέσεως λέγονται, ἕτεραι δὲ καὶ περὶ κλοπῆς. καὶ ὅταν μὲν ὁ ἀπό τινος κρυφίως καὶ μετὰ δολιότητος πρᾶγμα λαβὼν, ἀπαιτοῦντι καὶ χωρὶς προσθήκης τινὸς, ἀποδιδόναι καὶ ἀντιστρέφειν ἀναγκάζηται· καλεῖται τοῦτο περὶ ὑφαιρέσεως ἀγωγή. ὅταν δὲ εἰς τὸ διπλάσιον ἀπαιτηθῇ ὃ ἔλαβε, τότε καλοῦσι τοῦτο περὶ κλοπῆς ἀγωγήν. εἰ γοῦν καὶ ἐν τοῖς ἄλλοις τὸ ὑφαιρεῖσθαι πρὸς τὸ κλέπτειν οὐκ ἔχει διαφοράν· ἀλλ' ὁ νόμος, ἄλλο τι γινώσκει τὸ κλέπτειν, καὶ τὸ ὑφαιρεῖσθαι πάλιν ἕτερον τίθεται. καὶ τὸ μὲν κλέπτειν, ἐπὶ ξένων δὴ ἀλλοτρίων, καὶ καθ' ὧν ἔξεστι τινὶ, ἄτιμον κινεῖν ἀγωγὴν καί. ἔστι κλέπτων μὲν, ὁ τὰ τῶν ἀλλοτρίων προσώπων ὑφαιρούμενος πράγματα· ὑφαιρούμενος δὲ, ὁ κλέπτων τὰ τῶν οἰκείων, ἤγουν τὰ τοῦ πατρὸς, παῖς· καὶ τὰ τοῦ συζύγου, γυνή· καὶ τὰ τοῦ ἀδελφοῦ, ἀδελφός. Τῶν ἀγωγῶν αἱ μὲν εἰσι πραγματικαὶ, αἱ δὲ προσωπικαί· πραγματικαὶ, αἱ ἀπαίτησιν ἔχουσαι πράγματος ἰδίου· αἵτινες ἀεὶ κατὰ νομέως ἁρμόζουσι. προσωπικαὶ, αἱ κινούμεναι κατὰ ἐνεχομένων εἰς τὸ ποιῆσαί τι ἢ δοῦναι.

ῥωμαϊκὸν

διαίρεσις κλοπῆς καὶ ὑφαιρέσεως.

Καὶ πάλιν τῶν ἀγωγῶν, αἱ μὲν τίκτονται ἀπὸ συναλλάγματος αἱ δὲ ἀπὸ φάκτου· αἱ δέ εἰσιν ἐν ἀποτελέσματι. Ταῦται δὲ αἱ ἀγωγαὶ, ἢ πολιτικαί εἰσιν, ἢ πραιτώρειαι. Πᾶς ἄνθρωπος ἢ πολιτικῶς χρεωστεῖται, ἢ πραιτωρείως· πολιτικῶς μὲν, ἀπὸ πάντων τῶν συναλλαγμάτων, οἷον πράσεως, μισθώσεως, ἀνταλλα-

γῆς

γῆς καὶ τῶν ὁμοίων· πραιτωρία δὲ, ὁ ἀπὸ νόμου χρεωστῶν, εἰσηγηθεὶς παρὰ τοῦ πραιτωρίου, ὁποῖος ἐστὶν ὁ ὑβρίσας τινὰ καὶ χρεωστῶν τὴν ἀποτίμησιν τῆς ὕβρεως, καὶ ἁρπάσας, ἢ βίᾳ ἀφελόμενος πρᾶγμα δι' ἥν ποτε οὖν χρεωστῶν τοῦτο ἀποκαταστῆσαι· ταῦτα γοῦν ὁ πραιτώριος εἰσηγήσατο. Αἱ ποινάλιαι πᾶσαι, μετὰ προκατάρξιν κατὰ κληρονόμων παραπέμπονται. Ἐὰν δύο ἀγωγαὶ πρόκεινται, ἡ μὲν, ποσότητα μείζονα ἔχουσα· ἡ δὲ, ἀτιμοποιός, προτιμᾶται ἡ ἀτιμοποιός· εἰ δὲ δύο ἀτιμοποιοὶ εἰσὶ, κἂν διάφορον ἔχωσι ποσὸν, ἴσαι νομίζονται. Πολλῶν ἀγωγῶν περὶ τοῦ αὐτοῦ συντρεχουσῶν, τὴν μείζονα τις κινεῖν ὀφείλει.

## ΠΕΡῚ ΚΛΟΠΗ͂Σ.

Ἡ κατὰ τῶν ὑφελομένων δημόσια, ἢ ἱερὰ χρήματα καταδίκη, τουτέστιν ὁ περιορισμὸς, μετὰ πενταετίας τοῦ ἁμαρτηθῆναι οὐ κινεῖται. Ὅτι οὐδὲ ἁρπαγῇ γυναικὸς, καὶ ἐξωτικὸς κατηγορεῖ, καὶ οὐκ ἀντίκειται ἡ τῆς πενταετίας παραγραφή. Ἡ περὶ ὕβρεως ἀγωγὴ, ἐὰν ἕως συμπληρώσεως χρόνου σιωπηθῇ καὶ οὐ κινηθῇ, σβέννυται, καὶ οὐκέτι δύναται κινεῖσθαι. Ἡ περὶ ὕβρεως ἀγωγὴ, καὶ αἱ ἐξ ἁμαρτήματος αἰσχραὶ, τῇ κεφαλῇ ἕπονται. περὶ ὕβρεως

## ΠΕΡῚ ΔΙΑΚΑΤΟΧΗ͂Σ.

Διακατοχή ἐστι, δίκαιον τοῦ ἐξεῖναι κρατεῖν τὴν οὐσίαν ἢ τὰ πράγματα τοῦ τελευτήσαντος. Ἡ διακατοχή ἐστιν, ὅτε καταλείψει με τις κληρονομίαν, καὶ προσέρχομαι τῷ πραίτωρι, καὶ αἰτοῦμαι πεμφθῆναι με εἰς τὴν διακατοχήν, τουτέστι καταστῆσαι με κληρονόμον, καὶ δοῦναι μοι τὰ πράγματα. Κινεῖται δὲ παρὰ μὲν τῶν ἐκ πλαγίου συγγενῶν, ἐντὸς ἑκατὸν ἡμερῶν, παρὰ δὲ τῶν κατιόντων, ἐντὸς ἐνιαυτοῦ. Οὐ περικλείεται τῇ πενταετίᾳ, ἡ κατὰ βίαν γινομένη φθορὰ ἀνδρὶ ἢ γυναικὶ, ἀπροσδιορίστως γοῦν κινεῖται, ἐπειδὴ καὶ δημοσίᾳ βίᾳ πλημμελεῖται. Ἡ περὶ βίας ἀγωγὴ, τετραπλασιάζεται εἰς τὸ διάφορον.

Ἡ περὶ βίας ἀγωγὴ, ἐντὸς μὲν ἐνιαυτοῦ κινουμένη, ἐὰν μὴ ἀπο-

δοθῇ διὰ τὴν βίαν ὑπομείναντα τὸ πρᾶγμα, τὸ τετραπλάσιον ἀπολήψεται, ἀναδιδοὺς δηλονότι ὃ τίμημα ὅπερ ἔλαβε, μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς τὸ ἁπλοῦν δοθήσεται αὐτῷ. Ἡ περὶ βίας ἀγωγὴ, ὡς ἐπὶ τὸ πολὺ, ἐντὸς χρόνου κινεῖσθαι δύναται.

ΠΕΡΙ ΚΛΟΠΗΣ.

Ἡ περὶ κλοπῆς ἀγωγὴ, εἰς τὸ διπλοῦν, ἀπαιτεῖται. Ἡ ἀποκαταστατικὴ ἀγωγὴ, καὶ ἡ κατὰ τοῦ προστήσαντος ἀγωγὴ, δικαίως εἰσὶν ἁρμόζουσαι κληρονόμοις καὶ κατὰ κληρονόμων. Ἐπὶ τῇ καλῇ πίστει ἀγοραστῶν ἀπὸ ὑποθήσεως, χρεωστεῖται τόκος. Ὅτι ἡ τὰ ἴδια ἐκδικοῦσα ἀγωγὴ, οὐ κινεῖται κατὰ τοῦ ἀλλοτρίου πεπρακότος, ἀλλὰ κατὰ τοῦ ἀγοραστοῦ νεμομένου τὸ πρᾶγμα. ἐναγόμενος δὲ ὁ ἀγοραστὴς, οὐ καλῶς ἀπαιτεῖ τὸν δεσπότην τοῦ πράγματος, κινῆσαι κατὰ τοῦ πράτου, τὴν τὰ ἴδια ἐκδικοῦσαν ἀγωγὴν, αὐτὸς γάρ ἐστιν ὁ νεμόμενος, οὐχ ὁ πράτης.

ΠΕΡΙ ἈΝΤΙΦΩΝΗΣΕΩΣ.

Ἐπὶ τῇ ἀντιφωνήσει ἀγωγῇ, οὐ μόνον κατὰ σοῦ, ἀλλὰ καὶ κατὰ τῶν κληρονόμων τῶν σῶν δικαίως ἁρμόζει. Ὅτι τὰ ἐγκλήματα εἰκοσαετίᾳ σβέννυνται.

ΠΕΡΙ ΔΑΝΕΙΟΥ.

ῥωμαϊκόν Ὅτι ἐπὶ τῶν προσωπικῶν ἀγωγῶν, ἐὰν ἔσχατος δανειστὴς ἀπολάβῃ τὸ δάνειον, καὶ παραδράμῃ τελεία σιωπηρὰ, καὶ οὐ γινώσκῃ τοῦτο ὁ πρῶτος δανειστὴς, οὐ μετακινεῖ τὸν προλαβόντα.

περὶ ὅρων. Ἡ διάταξις βούλεται, τῇ περὶ τῶν ὅρων ζητήσει, μήτε τὴν τῆς τριακονταετίας, μήτε τὴν τῆς δεκαετίας παραγραφὴν ἀντικεῖσθαι, ἀλλὰ μόνον τῶν τεσσαράκοντα ἐνιαυτῶν. Ἐν ταῖς περὶ ὅρων ζητήσεσι, δεῖ τὸν δικαστὴν ἀκολουθεῖν ἢ τοῖς ὑπομνήμασιν, ἢ τῇ δημοσίᾳ ἀπογραφῇ τῇ πρὸ τῆς καταρξεως συστάσῃ. εἰ μὴ ἄρα τῇ ποικίλῃ τῶν κτητόρων διαδοχῇ, ἢ τῇ κρίσει τῶν κατὰ καιροὺς νεμομένων ἀλλαχθέντες οἱ ὅροι ἀποδειχθῶσι, τότε γὰρ τούτοις τοῖς ὅροις προσεκτέον, τοῖς ὑπὸ τῶν κτητόρων ὁρισθεῖσι, καὶ οὐχὶ τοῖς παλαιοτέροις.

ΠΕΡΙ ἘΚΚΛΗΣΙΑΣΤΙΚΩΝ.

πᾶσα

πᾶσα ἀγωγὴ προσήκουσα σεπτῷ οἴκῳ, εἴτε προσωπικὴ, εἴτε ὑποθηκαρία ἐστὶν, οὐχ ὑπερβαίνει τὰ τεσσαράκοντα ἔτη, τῶν ἁρμοζουσῶν ἑκάστῳ τοιούτῳ εὐαγεῖ οἴκῳ προσκαίρων παραγραφῶν, φυλαττομένων μέντοιγε τῶν οἰκείων χρόνων. ΣΧΟΛ.

Ὁ νομοθέτης βουλόμενος φιλοτιμήσασθαι καὶ δοῦναι μείζονα ταῖς ἐκκλησίαις βοήθειαν, καὶ τοῖς εὐαγέσιν οἴκοις, διωρίσατο ταύτην ἀγωγὴν ἁρμόζουσαν αὐτοῖς, εἴτε ὑποθηκαρία ἐστὶν ἰν ρέμ, οἷον ἐδάνεισεν ἐκκλησία προσώπῳ τινὶ, καὶ ἔλαβεν εἰς ὑποθήκην ἀκίνητον τοῦ δανεισαμένου· εἴτε προσωπικὴ ὡς ἐπὶ τοῦ αὐτοῦ θέματος δανείσασα, οὐκ ἔλαβεν εἰς ὑποθήκην ἀκίνητον, καὶ ἔχει ἔνοχον τὸν δανεισάμενον, τῇ προσωπικῇ μόνῃ ἀγωγῇ ἤτοι τῷ δανειακῷ κονδικτικίῳ, τεσσαρακονταετίᾳ καὶ μόνῃ κλείεσθαι. καίτοιγε ἐπὶ τῶν προσώπων πᾶσα ἀγωγὴ προσωπικὴ, τῇ τριακονταετίᾳ ἀποκλείεται· κινοῦσα δὲ ἐκκλησία, ἢ εὐαγὴς οἶκος κατά τινος προσώπου, κατέχοντος δὲ ὑποτεθέμενον αὐτοῖς ἀκίνητον, ἰν ρέμ ὑποθηκαρίαν, ἢ προσωπικὴν τινὰ ἀγωγὴν κατὰ προσώπου, οὐκ ἐκβάλλεται παραγραφῇ διετίας, εἰ εἰκοσαετίας, ἢ τριακονταετίας· ἀλλὰ τῇ τεσσαρακονταετίᾳ καὶ μόνῃ. ἐναγομένη δὲ παρά τινος προσώπου ἡ ἐκκλησία, ἢ εὐαγὴς οἶκος, ἀντιτίθεασι τῷ ἐνάγοντι, τὴν τῆς διετίας καὶ εἰκοσαετίας καὶ τριακονταετίας παραγραφὴν, καὶ τὰς λοιπὰς προσκαίρους παραγραφάς. ὥσπερ γὰρ ἐναγουσῶν αὐτοῖς τοῖς εὐαγέσιν οἴκοις, τὸν χρόνον τῶν ἀγωγῶν ἐξήπλωσεν ὁ νομοθέτης, ἵνα μὴ τῇ συστολῇ βλάπτωνται καὶ ἀπολλῶσι τὰ προσόντα αὐτοῖς, οὕτως ἐναγομένοις συνέστειλε τὸν χρόνον τῆς ἀγωγῆς τοῦ κινοῦντος· ὥστε διὰ τῆς ἀντιθέσεως τῆς δεκαετίας, ἢ εἰκοσαετίας, ἢ τριακονταετίας, καὶ τῶν λοιπῶν προσκαίρων παραγραφῶν, ἀπωθῶσι τὸν ἐνάγοντα καὶ τὴν ἀγωγὴν ἐκβάλλωσι, καὶ ἔχωσιν ἀσφαλῶς τὰ κατεχόμενα παρ' αὐτῶν. τοῦτο δὲ βούλεται τὸ ῥητὸν τὸ λέγον οὕτως, τῶν ἁρ-

μεζουσῶν ἑκάστῳ οἴκῳ τοιούτῳ εὐαγεῖ, προσκαίρων παραγραφῶν· φυλαττουσῶν μέντοιγε τοὺς οἰκείους χρόνους. οὕτω μὲν οὖν ἑρμηνεύουσι τινὲς τὴν παροῦσαν νεαράν, καὶ οἶμαι καλῶς αὐτοὺς ἑρμηνεύειν. ἄλλοι δὲ τῶν ῥημάτων ἐπιλαμβανόμενοι, προσκαίρων παραγραφῶν μνημονευόντων, λέγουσι προσκαίρους παραγραφὰς τὴν νεαρὰν λέγειν, τὰς ἐντὸς τῆς δεκαετίας· διὰ τῆς ἀναργυρείας, ἥτις ἐντὸς διετίας προτίθεται καὶ μόνη, τὴν τοῦ οὐσουκαπίονος, ἥτις ἐντὸς τριετίας προβάλλεται, καὶ τὰς λοιπὰς τὰς ὁμοίας. καὶ ἐνίστανται τὰς τοιαύτας παραγραφὰς, εἴτε παρὰ τῶν εὐαγῶν οἴκων εἰσάγονται κατά τινων κινούντων κατ' αὐτῶν· εἴτε παρὰ προσώπων ἑλκομένων περὶ τῶν εὐαγῶν οἴκων, ἀντιτίθενται τοῖς εὐαγέσιν οἴκοις· φυλάττειν τοὺς οἰκείους χρόνους, καὶ μὴ ἐκτείνεσθαι εἰς τεσσαρακονταετίαν. καὶ οἶμαι μὴ καλῶς αὐτοὺς λέγειν, ὅσον ἐπὶ τοῖς ἑλκομένοις προσώποις, ἐπὶ τῶν εὐαγῶν οἴκων. σὺ δὲ γίνωσκε ὅτι ἀπὸ κανόνος ἡ ἐκκλησία, ἢ ὁ εὐαγὴς οἶκος, κατὰ ἐκκλησίας κινοῦσα, ἢ κατὰ εὐαγοῦς οἴκου, ἐκβάλλεται τριακονταετίᾳ. Ὁ ἐνάγων τινὶ περὶ ἀκινήτου πράγματος, μὴ ἀπὸ δικαίας αἰτίας νεμηθέντος· καὶ μηδέπω ἀποκλεισθεὶς τῇ τριακονταετίᾳ, μὴ δὲ ἀπολέσας τὴν ἰδίαν ἐναγωγήν, εἰς τὸ ἴδιον δίκαιον ἀποκαθίσταται. Ἡ μὴ τριακονταετίᾳ ἀναιρουμένη ἀγωγή, τῇ τεσσαρακονταετίᾳ σβέννυται. Οὔτε περὶ καταστάσεως μετὰ τεσσαράκοντα ἔτη τις ἐνάγεται. Περὶ παρελθόντων δημοσίων, ἤτοι ὀπισθοτελῶν οὐκ ἐνάγεταί τις μετὰ τεσσαράκοντα ἔτη.

Ὁ χρόνος οὔτε τὸν δημόσιον ἀποκλείει κανόνα, οὔτε τὴν περισσοπραξίαν βεβαιοῖ. Ὁ μετὰ ἐναγωγὴν ἡσυχάσας τεσσαράκοντα ἔτη, οὐκέτι δύναται κινεῖν· ἀλλ' οὐ δὲ ὁ κληρονόμος αὐτοῦ. Ἡ περὶ τοῦ τιμήματος τοῦ πραθέντος, καὶ ἡ τοῦ χρέους ἀγωγή, τῇ τριακονταετίᾳ σβέννυται. Ὅτι ἐπὶ τῶν λαμβανόντων δημόσια χρήματα, ὁ χρόνος οὐ σβέν-

νυσι

νουσι τὴν ἀγωγήν, εἰ γὰρ παρακατάσχωσί τι τῶν δημοσίων, οὐκ ἔχουσι χρόνον βοηθόν, ἢ ἀποκλείουσι τοὺς ἐνάγοντας· ἀλλὰ καὶ αὐτοὶ ἐὰν πλουτήσωσιν, οἱ παῖδες τούτων κἂν μηδὲν ἐξ αὐτῶν ἐκέρδησαν, ἢ εἰς κλῆρον ἔλαβον, κρατούμενοι ἀπολογοῦνται τοῖς ἐνάγουσι.

## ΠΕΡΙ ΔΑΝΕΙΟΥ.

Ἡ περὶ δανείου ἀγωγή, εἰ προσωπικῶς τὴν ἀρχὴν χρηματίσθῃ, τῇ παραγραφῇ τῶν τριάκοντα ἐνιαυτῶν, σβέννυται.

Ἡ ὑποθηκαρία ἀγωγή, τοῦ χρεώστου νεμομένου τὸ πρᾶγμα, τῇ τεσσαρακονταετίᾳ σβέννυται· εἰ δὲ ὁ μεταγενέστερος δανειστὴς κινήσει κατὰ τοῦ προγενεστέρου, τῇ τεσσαρακονταετίᾳ κέχρηται, ἐφόσον ζῇ χρόνον ὁ χρεώστης· εἰ δὲ τελευτήσει, τότε ἰδίῳ ὀνόματι κινεῖ, καὶ ἀποκλείεται τῇ δεκαετίᾳ, καὶ εἰκοσαετίᾳ. περὶ ὑποθήκης.

Ὁ τὸν οἱονδήποτε ἀγρὸν νεμηθεὶς τεσσαράκοντα ἔτη, οὐκέτι ἐνάγεται, εἰ μὴ εἰς τὸ δοῦναι τὸν κανόνα. Ἐάν τις ἐντὸς ἐνιαυτοῦ κινήσῃ μετὰ τὸ μετατεθῆναι τὸ κτῆμα ἀπ' αὐτοῦ, καὶ παραδοθῆναι ἑτέρῳ, ἀναλαμβάνων τὴν κτῆσιν δικάζεται.

Τὸ κωλῦσαί τινα τὸν δεσπότην ἐρχόμενον ἐπὶ ξύλα τῶν ἰδίων ὅρων, ἅπαξ ἢ πολλάκις διακεκομμένα, οὐκ ἀφαιρεῖται τὴν νομήν· ἀλλὰ τὸ τῇ τριακονταετίᾳ συναπτῆ τοῦτο ποιῆσαι. ῥωμαϊκὸν

## ΠΕΡΙ ΚΑΡΠΩΝ ΤΩΝ ΕΠΙ ΚΤΗΜΑΤΩΝ.

Οἱ καρποὶ τῶν δοθέντων κτημάτων ἐπὶ νομῇ προστάξει δικαστοῦ, οὐκ ἀπαιτοῦνται· ἀλλ' εἰ μὴ ἐντὸς ἐνιαυτοῦ κινήσει ἐκεῖνος, ὅστις δι' ἀπείθειαν κληθεὶς εἰς δίκην, ἀφαίρεσιν τοῦ κτήματος ὑπέστη· παραδοθήσεται τῷ ἐγκαλοῦντι ἐπὶ νομήν, καὶ ἀναλαμβάνων τὸ οἰκεῖον, ἀγωνίζεται καὶ ἐπαναγκάζεται κινῶν δεικνύειν. εἰ δὲ μετὰ ἐνιαυτὸν κινήσει, ἡ μὲν νομὴ αὐτῷ ἀποκαθίσταται, ἐγγυμνάζει δὲ τοὺς οἰκείους ἀγῶνας. περὶ δὲ χρόνου τοῦ μετασχηματίζοντος τὴν ἐπὶ νομῇ παράδοσιν εἰς δεσποτείαν, ὁ νόμος ῥητῶς οὐκ εἶπε. καὶ διὰ τοῦτο ὁ Πατείκιος ἔλεγε, φιλαγάθως τὸν διηνεκῆ χρόνον ἀρκεῖν, τουτέστι τὴν τρι-

ἀκονταετίαν· πλὴν ἐὰν διʼ ὑπέρθεσιν ἢ ἑτέραν τινὰ αἰτίαν πεμφθῇ τις εἰς νομὴν, καὶ τοὺς καρποὺς ἀντιστρέφει, καὶ οὐδὲ τρέφεται ἐξ αὐτῶν.

## ΠΕΡΙ ΜΟΙΧΕΙΑΣ.

Ἡ περὶ μοιχείας ἀγωγὴ, ἐντὸς πέντε ἐνιαυτῶν κινεῖται.

τὸ συνεζευγμένον τῇ μοιχείᾳ ἀθέμιτον, οὐ σβέννυται τῇ πενταετίᾳ. Εἴσω δύο ἐνιαυτῶν κινεῖται ἡ περὶ δόλου ἀγωγή.

## ΠΕΡΙ ΔΟΛΟΥ.

Ἡ τοῦ δόλου παραγραφὴ διηνεκής ἐστι, καὶ οὐχ ὡς ἡ τῆς δόλου ἀγωγῆς χρόνῳ περικλείεται. Ἡ περὶ δόλου τοιαύτη ἐστὶν, διʼ ἐδελέασας τυχὸν μεθύσας με, ἢ καὶ ἑτέρως πως ἀπατήσας, καὶ παρασκευάσας τὸ ἐμὸν παραδοῦναι σοι· τελευταῖον ἐγὼ ἀναλαβὼν ἐμαυτὸν, καὶ συνεὶς τὸ γενόμενον, κινῶ κατὰ σοῦ τὴν περὶ δόλου. καὶ εἰ πρὸ καταδίκης ἀποκαταστήσεις μοι τὸ πρᾶγμα, ἐκφεύγεις τὴν καταδίκην, καὶ τὴν ἐντεῦθεν ἐπαγομένην ζημίαν. Ἡ διάταξις κελεύει καὶ ἄρχεσθαι καὶ περαιοῦσθαι τὸ περὶ δόλου δικαστήριον, ἔσω δύο συναπτῶν ἐνιαυτῶν, ἐξότου γέγονεν ὁ δόλος, εἴτε πάρεστιν ὁ τὸν δόλον ὑπομείνας, εἴτε ἄπεστιν. Ἡ διάταξις κελεύει πᾶσαν ἀγωγὴν μὴ σβεννυμένην τῇ τριακονταετίᾳ, ἀλλὰ παρατεινομένην, τεσσαράκοντα ἐνιαυτῶν παρατρεχόντων, ἀπόλλυσθαι, μηδενὸς προσώπου ταύτης τῆς παραγραφῆς ὑπεξαιρουμένου, εἴτε ἰδιωτικοῦ εἴτε δημοσίου· ἄνευ μέντοι τῶν δημοσίων συντελειῶν, αἷς οὐδεμία χρόνου παραγραφὴ ἀντίκειται.

## ἈΝΑΤΡΟΠΗ τῆς τεσσαρακονταετίας. ΠΕΡΙ ΔΥΝΑΣΤΕΙΑΣ.

Ἡ δὲ νεαρὰ νομοθεσία τοῦ καίσαρος βασιλείου τοῦ πορφυρογεννήτου, ἀνατρέπει τὴν τεσσαρακονταετίαν ἐν τούτοις· μηδὲν ὠφελεῖσθαι τοὺς δυνατοὺς ἀδικοῦντας καὶ πλεονεκτοῦντας τοὺς πένητας τῇ τεσσαρακονταετίᾳ· μηδὲ τοὺς πένητας ὑπὸ τούτων τῶν δυνατῶν ἀδικουμένους, ἀποκλείεσθαι τῇ τεσσαρακονταετίᾳ. μηδὲ ἰσχύειν τοὺς περιορισμοὺς εἰ καὶ χρυσοβούλλον

ἐντὸς

ἐντός εἰσιν, ἀδίκως καὶ πλεονεκτικῶς κεκινημένους· μὴ δὲ τὴν δημόσιον ἀποκλείεσθαι χρόνῳ· ἀλλὰ ἀνακαλεῖσθαι τὸ ἴδιον δίκαιον ἀπὸ Αὐγούστου καίσαρος, καὶ δικαιοῦσθαι περὶ τὴν τούτου ἀνάληψιν. οὐκ ἀπρεπὲς καὶ τοῦτο ἔδοξεν ἡμῖν διορίσασθαι· ἵνα οἱ ἐπὶ ἐγκλήματι περιοριζόμενοι, καὶ ἐν τῷ ἰδίῳ οἴκῳ μὴ περιγράφωνται χρόνῳ. Ἀλλὰ μὴ δὲ τοῖς διὰ δουλείαν βασιλικὴν ἀπολιμπανομένοις συμψηφιζέσθω χρόνοις, ἐφόσον διάγουσιν ἐν τῷ τόπῳ τῆς λειτουργίας, μέχρις ὅτου ὑποστρέψωσι· φησὶ γὰρ καὶ ὁ καῖσαρ. Ἡ ἀπουσία τοῦ διὰ πρᾶγμα δημόσιον ἀπόντος, οὔτε αὐτῷ, οὔτε ἄλλῳ γίνεται ἐπιζήμιος.

ΣΧΟΛ.

Σαφὴς ὁ τοῦ παρόντος κεφαλαίου σκοπός· βούλεται γὰρ τὸν χάριν δημοσίας δουλείας ἀποδημοῦντα, τυχὸν ὑπὲρ τοῦ τῶν ῥωμαίων δήμου πρεσβεύοντα, μὴ ζημιοῦσθαι καὶ τὸ προσὸν αὐτῷ δίκαιον ἀπολλεῖν. οὔτε δὲ πάλιν τοὺς κατ᾽ ἐκείνου ἔχοντας ἀγωγάς, καὶ μὴ δυναμένους ταύτας κινεῖν κατ᾽ αὐτοῦ· διὰ τὴν ἀπουσίαν αὐτοῦ ζημιοῦσθαι καὶ ἀπολλεῖν αὐτάς. ἀλλ᾽ ὅτε ὁ πρεσβευτὴς πρᾶγμα κατάσχῃ ἀλλότριον, καὶ τοῦτο νεμόμενος ἀπὸ δημοσίου, οὐκ ἀπολέσει αὐτὸ ὁ ἀληθὴς δεσπότης αὐτοῦ, κἂν πολὺς παρέλθῃ καιρός· ὡς μὴ δυνάμενος τὸν κατασχόντα πρεσβευτὴν ἀπὸ τῶν νόμων ἐξηοισούμενον, καὶ ἀπόντα ἑλκύσαι εἰς δικαστήριον. εἴγε πάλιν ἀπόντος τοῦ πρεσβευτοῦ, κατάσχῃ τις τὸν ἀγρὸν αὐτοῦ· οὐ κατά τι βλαβήσεται οὗτος ἀπὼν, ἀλλὰ μετὰ τὴν τούτου ἐπάνοδον ἀκέραια φυλαττόμενα καὶ τὰ προσόντα αὐτῷ δίκαια καθ᾽ ἑτέρου, καὶ αὖθις ἐκείνοις κατ᾽ αὐτοῦ, γυμνασθήσονται καὶ λυθήσονται. ἐκεῖνος δὲ λέγεται ἀπεῖναι διὰ πρᾶγμα δημόσιον· ὁ πεμφθεὶς ἐπὶ πρεσβείαν, ἢ ἐπὶ τὸ κτίσαι κάστρον, ἢ ἐπὶ τοῖς ὁμοίοις. ὁ δὲ κριτὴς οἱ διοικηταὶ τε οἱ στρατηγοὶ ἢ οἱ τὰς τοῦ δήμου ἐγκεχειρισμένοι δουλείας· οὐ δοκοῦσιν ἀπεῖναι διὰ δημόσιον. οὐ δὲ

ὠφελοῦνται εἰς τὸ κτήσασθαι νομὴν, ἢ ἄλλοις· διότι πάντες θέλοντες ταύτας τὰς ὑπηρεσίας ὑπεισέρχονται, παρέχοντες καί τινα. Ὁ κουφὸς ὁ ἄλαλος ὁ μαινόμενος ὁ ἄφρων καὶ ὁ αἰχμάλωτος, οὐ περιγράφονται χρόνῳ. τότε δὲ ὁ χρόνος αὐτοῖς ἄρχεται τρέχειν, ὅτε ὁ μὲν ἐπανέλθοι, οἱ δὲ τοῦ πάθους ἀπαλλαγῶσιν.

## ΠΕΡΙ ΔΙΚΑΣΤΙΚΗΣ ΨΗΦΟΥ ΚΑΙ ἈΠΟΦΑΣΕΩΣ. ΤΙΤΛ. Δ.

Οὐ δύναται δικαστὴς εἶναι ὁ μήτε δικαιοδοσίαν ἔχων· μήτε ἀπὸ βασιλέως ἐξουσίαν λαβών· μήτε δοθεὶς ἀπὸ τοῦ δυναμένου δοῦναι δικαστήν· μήτε ἀπὸ νόμου βεβαιούμενος· μήτε αἱρετὸς ὤν. Μηδεὶς ἑαυτῷ δικαζέτω ἢ δικαιοδοτείτω· τοῦτο γὰρ ἄδικόν ἐστιν. ΣΧΟΛ. Οἷον ὡς ἐπὶ θέματος ἐκίνησα κατὰ τοῦ Πέτρου· καὶ ἐξενίκησα τὸν κατεχόμενον οἶκον παρ᾽ ἐκείνου, ὡς ἐμοὶ διαφέροντα. ἐτελεύτησεν ὁ Πέτρος μήπω τῆς ὑποθέσεως λυθείσης· καὶ ἔγραψε κληρονόμον, τὸν δικαστὴν τὸν δικάζοντα τὴν ὑπόθεσιν. παύεται τοῦ κρίνειν περαιτέρω τὴν δίκην ὁ δικαστής. γέγονε γὰρ ἀντίδικός μου· ὁ οὐκ ὀφείλει αὐτὸς ἑαυτὸν κρίνειν· καὶ δίδοται ἕτερος καὶ δικάζει κἀμὲ καὶ τὸν δικαστήν. τοῦτο γάρ ἐστι τὸ μηδεὶς ἑαυτῷ δικαζέτω. τὸ δὲ μὴ δικαιοδοτείτω, τοιοῦτόν· ὁ αὐτὸς δικαστὴς ὁ κρίνων ἐμὲ καὶ τὸν Πέτρον· ἐγράφη κληρονόμος παρὰ τοῦ Πέτρου τελευτήσαντος· καὶ πρινὴ εἰσέλθοι καὶ κατάσχῃ τὴν νομὴν τῶν τῆς κληρονομίας πραγμάτων, προέλαβέ τις καὶ κατέσχεν αὐτὰ συγγενὴς τυχὸν τοῦ Πέτρου, οὐκ ὀφείλει ὁ δικαστὴς αὐτὸς δι᾽ ἑαυτοῦ, ἐκβάλλειν ἐκ τῆς νομῆς τὸν κατέχοντα τὴν κληρονομίαν· καὶ ἀντεισάγειν ἑαυτὸν, καὶ πέμπειν εἰς τὴν διακατοχὴν τῶν κληρονομιαίων πραγμάτων. οὐδεὶς γὰρ ἑαυτῷ δικαιοδοτεῖ. τὸ γὰρ διδόναι διακατοχὴν δικαιοδοσίας ἐστίν· ὀφείλεις οὖν ἑτέρῳ προσέρχεσθαι ἄρχοντι, καὶ παρ᾽ ἐκείνου τῆς αἰτί-

ας

ας ζητουμένης, πέμπεσθαι εἰς διακαδοχήν. Ὁ ἥττων τῶν εἰκοσιπέντε ἐτῶν, οὐ δύναται δικάζειν. Ἐν τῷ καιρῷ τοῦ θέρους καὶ τῆς τρύγης, οὐδεὶς ἀναγκάζεται δικάσασθαι. Ἐν τῇ κυριακῇ, καὶ ταῖς λοιπαῖς ἑορταῖς· καὶ οἱ δικασταὶ δὲ πάντες ἀργείτωσαν, πλὴν τῶν γεωργῶν. Ἡ δὲ νεαρὰ τοῦ καίσαρος λέοντος· κολάζειν κατὰ τὴν κυριακὴν καὶ τοὺς γεωργοὺς διορίζεται. Ἐν τῇ τεσσαρακοστῇ τοῦ πάσχα, μηδεμία παντελῶς ἐγκληματικὴ δίκη γυμναζέσθω, παρὰ μηδενὶ ἄρχοντι. Ἡ διάταξις βούλεται τοὺς λῃστὰς, καὶ τοὺς † ἰσαύρους· ἐν τῇ τεσσαρακοστῇ καὶ ἐν οἵᾳ δήποτε ἡμέρᾳ τοῦ πάσχα ἐξετάζεσθαι· καὶ βασάνοις ὑποβάλλεσθαι. ΤΟΥ ΑΥΤΟΥ.

† ἅρπαι τε φονεῖς δὲ οὓς χοσιαεῖ φασίν

Τῇ πρώτῃ τῶν πασχαλίων ἡμερῶν, καὶ βασιλικῆς ἐπὶ τούτῳ μὴ καταλαβούσης κελεύσεως, πάντες οἱ ἐν φυλακῇ ἀπολυέσθωσαν. εἰ μὴ ἄρα ἱερόσυλός τις εἴη· ἢ μοιχὸς· ἢ παρθένων ἅρπαξ· ἢ τυμβωρύχος· ἢ γόης· ἢ φαρμακὸς, ἢ φονεὺς, ἢ πατροκτόνος· ἢ κατὰ βασιλέως· ἢ πόλεως εὑρέθη μηχανησάμενος.

Πρὸ μιᾶς ἡμέρας ὀφείλει προλέγειν ὁ μέλλων περί τινος ποιῆσαι ἐξέτασιν, ὅτι ἔσται ἐξέτασις· ἵνα μὴ οἱ κατηγορούμενοι τῷ αἰφνιδίῳ, εἰς φόβον καὶ θόρυβον ἐμβάλλωνται. Ἐπὶ δέκα ἡμέρας ἔδικτον, ἤτοι παράγγελμα ἄρχοντος προτίθεσθαι ὀφείλει, κατὰ τοῦ προτεθέντος μετὰ προκατάρξιν ἀπολιμπανομένου ἕως τριῶν. ἡ δὲ μετὰ τὸν κώδικα νεαρὰ, τριάκοντα ἡμέρας παρέχει ἑκάστῳ ἐδίκτῳ· ἤτοι παραγγέλματι ἕως τριῶν. Ἡ ἀπρόθεσμος ἀντιφώνησις, δέκα ἡμέρας ἔχει προθεσμίαν. Πᾶσα δίκη προγυμναζομένη κατὰ τὸν διαδεχθέντων ἀρχόντων· εἴτε ἐγκληματικὴ, εἴτε χρηματικὴ, ἐντὸς εἴκοσιν ἡμερῶν ὀφείλει πληροῦσθαι· ἀφοῦ προκατήρξατο. εἰ δὲ ῥαθυμήσει ὁ ἄρχων τοῦ τεμεῖν αὐτὴν, αὐτὸς μὲν ζημιοῦται· ἡ δὲ δίκη σβέννυται. Πᾶσα χρηματικὴ δίκη, ὑπεξαιρουμένων τῶν εἰς δημοσίαν αἰτίαν ἀνηκουσῶν, περαιτέρω τριῶν ἐτῶν οὐκ

ὀφείλει

ὀφείλει μηνύεσθαι. Ἄρχων δοὺς δικαστὴν, τὴν ψῆφον αὐτοῦ ἐκβιβαζέτω. ΣΧΟΛ. Οἷον δέδωκεν ὁ μέγας δρουγγάριος, ἢ ἕτερός τις ἔχων δικαιοδοσίαν καὶ ἀρχὴν, δικαστὴν ἐπὶ τῷ δικάσαι δύο τινάς. ἔκρινεν ὁ δικαστὴς, καὶ δέδωκε καὶ ἀπόφασιν, καταδικάσας τὸν ἕνα τῶν μερῶν· λόγου χάριν. φ. ῑι. τὸν ἐκβιβασμὸν ἤτοι τὴν ἀπαίτησιν τῶν τοιούτων ῑι. ὁ ἄρχων ὀφείλει ποιῆσαι, ὁ δοὺς τὸν δικαστήν. Ὅσα παρὰ τῶν δικαζομένων, ἢ τῶν συνηγόρων παραλιμπάνεται· ταῦτα παρὰ τῶν δικαζόντων, ἀναπληρούσθωσαν. ΣΧΟΛ.

* Σαφές ἐστι τὸ παρὸν *νέατον κελεύει γοῦν ἵνα ὁ δικαστὴς ἀναπληροῖ τὰ ἐλαττώματα τῶν ἀντιδίκων καὶ τῶν συνηγόρων. καὶ ἐὰν παραλείψῃ τυχὸν εἷς μέρος τῶν δικαζομένων νόμον τὸν βοηθοῦντα αὐτῷ, τὸν δικαστὴν κελεύει λέγειν τοῦτον, καὶ ἀναπληροῦν τὸ τοῦ δικαζομένου ἐλάττωμα, φανερὸν δὲ ἤτοι πρᾶξιν, οὐχί· οὐ γὰρ ἀπαιτεῖται ὁ δικαστὴς γινώσκειν, ἃ καθ' ἑαυτοὺς οἱ δικαζόμενοι πράττουσι. καὶ τυχὸν ἐὰν ὁ Πέτρος δικαζόμενος μετὰ τοῦ Παύλου περὶ Μάρκῳ δικαστῇ, περὶ βιβλίου διελύσατο. εἶτα μετὰ καιρὸν ἐνήχθη πάλιν ὁ αὐτὸς Πέτρος περὶ τοῦ αὐτοῦ Παύλου περὶ τοῦ αὐτοῦ βιβλίου, περὶ δικαστῇ Ἰωάννῃ, καὶ οὐκ ἀντέθηκεν ὁ Πέτρος τῷ Παύλῳ τοὺς τῆς διαλύσεως λόγους. οὐκ ἀπαιτεῖται ὁ δικαστὴς ἀναπληρῶσαι τὸ ἐλάττωμα τοῦ δικαζομένου, καὶ εἰπεῖν ὅτι ἀλλὰ διελύσω ὦ Παῦλε. νόμους γὰρ γινώσκειν οὐ φανερὰ ὁ δικαστὴς ἀναγκάζεται.

ΝΟΜΟΣ. Οὐ δεῖ τοὺς δικαστὰς ἢ κωλύειν, ἢ ὑβρίζειν τοὺς ἐγκαλουμένους. εἰ γάρ τι τοιοῦτον γένηται, προσέρχονται τῷ βασιλεῖ. ΣΧΟΛ. Τὸ παρὸν νόμιμον σαφές ἐστιν· ἐπιτάττει γὰρ τοῖς δικασταῖς δέχεσθαι τὰς ἐγκλήσεις πρᾴως καὶ ἄνευ τινὸς κωλύσεως, καὶ μὴ ὑβρίζειν τοὺς ἐγκαλουμένους. εἰ δέ τι τοιοῦτον διαπράξουσι, δίδωσιν ἄδειαν τοῖς κωλυθεῖσι ζητῆσαι τὴν ἔγκλησιν· ἢ καὶ ὑβρισθεῖσι, προσέρχεσθαι τῷ βασιλεῖ.

σιλεῖ καὶ ἀναφέρειν τὰ περὶ τούτου· καὶ οὗτος μανθάνων τὰ γινόμενα, τιμωρεῖ τοὺς ταῦτα πλημμελήσαντας δικαστάς. ὑπόκεινται δὲ καὶ τῷ περὶ βίας δημοσίῳ ἐγκλήματι, οἱ ὑβρίζοντες δικασταὶ τοὺς ἐγκαλουμένους· καὶ ἀφαιρούμενοι παρὰ τοῦ δημοσίου πᾶσαν ἣν ἔχουσι περιουσίαν, ἀτιμοῦνται. Οἱ στρατιωτικοὶ ἄρχοντες, δικάζουσι τοῖς στρατιώταις, οὐδὲ μόνον τὴν στρατιωτικὴν αἰτίαν, ἤγουν τὴν στρατιωτικὴν ὑπόθεσιν· ἐπὶ δὲ τῶν ἄλλων ζητημάτων, οἱ κατὰ τόπους τὰ τοῦ δημοσίου διενεργοῦντες ἢ ἄλλως τινῶν τόπων ἄρχοντες, καὶ τοῖς στρατιώταις δικάζουσιν. Ὅτι καὶ πρὸ πέρατος τῆς δίκης χρὴ τὰς δίκας ἐκφέρεσθαι, ὅτε ἀποδιδράσκων τὴν δίκην ὁ ἐναγόμενος διατελεῖ. οὐ μέντοιγε ἁπλῶς κατεδίκαζεν ὁ μάγιστρος τὸν μὴ βουλόμενον ἐπελθεῖν μέχρι πέρατος τῆς δίκης· ἀλλ' ὅρον ἐδίδου τῆς παραστάσεως, καθ' ὃν εἰ μὴ ἀπήντα αὐτοπρόσωπος τὴν κατὰ δίκην ἐπήνεγκε, κρίνας γάρ τινα καὶ εἰς τέλος ἀγαγὼν τὴν αὐτοῦ δίκην· εἶτα τοῦ καταδικασθέντος ἀποχωροῦντος ἀσυντάκτως, ἐσημειώσατο οὕτως. δεδικαίωται ὁ πρωτοσπαθάριος νικηφόρος κατὰ νομῆς λόγον ἀπολαβεῖν κτῆμα τόδε, ἵνα δὴ τῷ τρόπῳ τούτῳ μαθὼν ὁ ἀντίδικος ὡς οὐδὲν ὤνησεν αὐτὸν ἡ ἀναχώρησις, ἀποχωρήσαντα τοῦ δικαστηρίου ἀσυντάκτου, ἢ ταχέως ἀπαντήσῃ μετὰ ὧν ἔχει δικαιωμάτων μηνῶν ἄχρι τεσσάρων μετὰ τὴν οὐδὲ νομὴν παράδοσιν, καὶ τῶν νόμων καὶ τῶν δικαίων τύχῃ δικασίμων· ἢ οὐδὲ τῆς αὐτῆς ἀπειθείας μένων καὶ ὅρους τεταγμένους ὑπερεκπίπτων, τελείαν δέξηται κατὰ δίκην κατὰ μίαν μοῖραν τῆς ὑποθέσεως δικαζομένης, ὥσπερ τοῖς περὶ τῶν τοιούτων διηγορεύουσι νόμοις. Ἀπὼν τις οὐ καταδικάζεται μεγάλῳ ἐγκλήματι, ἀλλὰ γίνεται ἀναζητούμενος διὰ γραμμάτων· ἀφ' οὗ δὲ γνῷ, ἕως ἐνιαυτὸν ἔχει πρὸς τὸ ἑαυτὸν καθαίρειν. καὶ ἐὰν εἴσω τοῦ ἐνιαυτοῦ ἔλθῃ καὶ ἀσφαλίσηται ἢ ἀποθάνῃ, οὐ δημεύεται ἡ οὐσία αὐτοῦ, ἀλλὰ τοῖς κληρονόμοις ἁρμόζει. εἰ δὲ εἴσω ἐνιαυτοῦ διαστήμα-

τος μὴ βουληθῇ παραγενέσθαι ἐν τῷ δικαστηρίῳ, καὶ τὰ πράγματα αὐτοῦ δημεύεται· καὶ αὐτὸς εὑρεθεὶς, αὐστηροτέρᾳ ἀποφάσει ὑποβάλλεται. εἰδὲ καὶ ἐλέγχοις φανεροῖς, καὶ ἀποδείξει διωγεῖ τὴν ἀθώωσιν τὴν ἰδίαν καθάραι σπουδάσει, μηδὲν ἧττον αἱ ὑποστάσεις αὐτοῦ τῷ δημοσίῳ μενέτωσαν.

οὔτε ἐξ ὑπονοίας, οὔτε ἀπών τις καταδικάζεται, εἰ μὴ ὁ μετὰ πολλὰς ὑπομνήσεις καὶ † προθέματα μὴ παραγενόμενος, καὶ αὐτὸς δὲ μέχρι χρηματικῆς ποινῆς, ἢ ἀτιμίας, ἢ ἐξορίας· ὁ δὲ κατήγορος ἀπὼν καταδικάζεται, καὶ πλέον ἔσθ' ὅτε, ἤπερ ἀπαιτεῖ τὸ συκοφαντῶν δόγμα.

† προγραφάς

οὐ χρὴ τὸν ἄρχοντα ταῖς τῶν † δημοσίων ἐκβοήσεσι πείθεσθαι ὅτε· βούλονται, ἢ τὸν ὑπεύθυνον ἀπολυθῆναι, ἢ τὸν ἀνεύθυνον τιμωρηθῆναι.

† καὶ δημοτῶν

μὴ προχείρως ὁ ἄρχων, κεφαλικὴν τιμωρίαν φερέτω, εἰ μὴ πρότερον ὁ ἐναγόμενος διὰ τῆς οἰκείας ὁμολογίας, ἢ τῆς τῶν μαρτύρων ἐρωτήσεως, ἢ τῶν βασάνων οὕτως ἐλεγχθῇ· ὥστε σχεδὸν μὴ δὲ ἑαυτῷ δύνασθαι ἐναντιοῦσθαι.

ὁ αὐθαιρέτως ὁμολογήσας περὶ ἁμαρτήματος, οὐκ εὐχερῶς πιστεύεται· πολλάκις γὰρ ἢ διὰ φόβον, ἢ δι' αἰτίαν ἄλλην τινὰ καθ' ἑαυτοῦ ψεύδεται.

## ΠΕΡῚ ΔΑΠΑΝΗΜΆΤΩΝ ὯΝ ἈΔΊΚΩΣ ΔΑΠΑΝᾼ ΤΙΣ.

Ἡ διάταξις κελεύει· ὥστε πάντα δικαστὴν ἐν τῇ ἀποφάσει αὐτοῦ, κελεύειν τὸν ἡττηθέντα, διδόναι πάντα τὰ δαπανήματα τὰ ἐν τῷ δικαστηρίῳ γενόμενα· εἰ δὲ μὴ τοῦτο ποιήσει ὁ δικαστὴς αὐτὸς τὴν ζημίαν ταύτην ἀναγκάζεται θεραπεῦσαι τῷ νενικηκότι μέρει. Ἔξεστι τῷ δικαστῇ, τῷ ἡττωμένῳ ἐκ τῶν ἀντικρινομένων μερῶν, τὰ δαπανήματα τὰ εἰς τὸ δικαστήριον ὑπὲρ τῆς ὑποθέσεως καταβληθέντα, ἐπιτιθέναι καὶ αὐτὸν ἀναγκάζειν ἀποδιδόναι αὐτὰ, καὶ ὑπὲρ τὰ δαπανηθέντα δὲ καταβαρύνειν αὐτὸν, ἕως καὶ τῆς δεκάτης μοίρας τῶν δαπανημάτων· ταῦτα δὲ τὰ ἐπέκεινα τῶν δαπανημάτων, ἀποδίδονται

ἢ

μὲν ὡς ἐπὶ τὸ πλεῖστον, τῷ δημοσίῳ· σπανίως δὲ εἴπερ ὁ δικαστὴς βούλοιτο, καὶ τῷ νικήσαντι μέρει, ἀνθ' ὧν κατετρίβη ἀδίκως, ἀλλὰ τούτων δίδοται· πρὸς ὃ ἂν διακρίνοι ὁ δικαστής.

Τὰ μεταξὺ ἀλλήλων κριθέντα, οὔτε ὠφέλειαν οὔτε βλάβην ἐπιφέρει τῷ μὴ παρόντι. τοῦτο κρατεῖ καὶ ἐπὶ ἐγκλημάτων, καὶ ἐπὶ κληρονομιῶν. Ἐάν τις βούληται καταδίκην ἀναψηλαφῆσαι προφάσει ἀναλογαριασμοῦ, οὐ δύναται. ΣΧΟΛ.

Δικαστής τις δικάζων τὸν Πέτρον καὶ τὸν Παῦλον λόγου χάριν, καὶ κεφαλαίων διαφόρων προτεθέντων, δέδωκεν ἀπόφασιν. καὶ κεφάλαιον ἓν περὶ λίθων, ἢ μαργαριτῶν ποιησάμενον εἰς διατίμησιν νομισμάτων σ. αὐτὸς δὲ τιμήσατο νομισμάτων ρ. καὶ βούλεται μετὰ τὴν ἀπόφασιν ἀναλογισάμενος ὅτι κακῶς εἰς τοσοῦτον ποσὸν ἀνήγαγε τὸ κεφάλαιον, ἀναψηλαφῆσαι τὴν ἰδίαν ἀπόφασιν. φησὶν οὖν ἡ διάταξις μὴ δύνασθαι τοῦτο ποιεῖν τὸν δικαστήν· εἰ γὰρ δοθῇ τοῦτο, οὐκ ἔσται ποτὲ πέρας τῶν δικαστῶν· τοῦ δικαστοῦ λέγειν δυναμένου, ὅτι κακῶς ἀπεφηνάμην, καὶ ὀφείλω ἀναψηλαφῆσαι τὴν ἀπόφασίν μου. ἢ οὕτως εἰπέ· ὅτι ὁ ἐναγόμενος ἀπαιτούμενος παρὰ τοῦ ἐνάγοντος ῑι ρ. καὶ χρεωστούμενος καὶ αὐτὸς παρὰ τοῦ ἐνάγοντος ἰσόμετρον ποσότητα, οὐκ εἶπε καταδικαζόμενος ὅτι χρεωστεῖς καὶ σὺ ἐμοὶ ρ ῑι. καὶ λογίσασθαι ταῦτα καὶ ἐλευθεροῦμαι τῆς ἐναγωγῆς· ἀλλ' ἐφησύχασε καὶ κατεδικάσθη, καὶ μετὰ ταῦτα ἀναλογισάμενος ὅτι ὤφειλεν εἰσαγαγεῖν ἀντέλογον, ἢ βούλεται ἀναψηλαφῆσαι τὴν ἀπόφασιν, ἵνα εἰσάξῃ τὸν ἀντέλογον. φησὶν οὖν ἡ διάταξις, ὅτι οὐκ ἔστι τοῦτο δυνατὸν, ἵνα μὴ ἐντεῦθεν ἄλυτα μένῃ τὰ δικαστήρια· ἀλλὰ δότω μὲν τὰ ρ. εἰς ἃ κατεδικάσθη· κινησάτω δὲ καὶ αὐτὸς μετὰ ταῦτα περὶ τῶν ἑκατὸν ὧν χρεωστεῖται, καὶ τεύξεται τοῦ δικαίου.

Ἐπὶ προσχήματι καινῶν συμβολαίων μετὰ ταῦτα εὑρεθέντων, τὰς ἀποφάσεις ἀνανεοῦσθαι, εἰς ὑπόδειγμα βαρύ ἐστι. ΣΧΟΛ. Πέτρος τις

ἐνήγαγε κατὰ Μάρκου ἐκνικῶν ἐξ αὐτοῦ οἶκον· καὶ ἀπέδειξε τὸν οἶκον ἑαυτῷ διαφέρειν, καὶ ὁ δικαστὴς δέδωκεν ἀπόφασιν προσδικαιοῦσαν τὸν οἶκον τῷ Πέτρῳ. καὶ μετὰ τὴν ἀπόφασιν εὗρεν ὁ Μάρκος διάλυσιν τοῦ Πέτρου γεγενημένην πρὸς τὸν πατέρα αὐτοῦ δὴ τοῦ Μάρκου, περὶ τοῦ τοιούτου οἴκου, καταπαύουσαν πᾶν δίκαιον τῷ Πέτρῳ· καὶ προκομίζων αὐτήν, ἐξῄτει διαπεσεῖν τὴν ἀπόφασιν, ἀνηνέχθη τὸ περὶ τούτου εἰς βασιλικὰς ἀκοάς, καὶ ἀντέγραψεν ὁ βασιλεύς, ὅτι οὐκ ὀφείλει ἡ διάλυσις προσδεχθῆναι, οὔτε ἡ ἀπόφασις ἀνατραπῆναι, διὰ τὸ μετ᾽ αὐτὴν εὑρεθῆναι καινὸν ἤτοι νέον δικαίωμα· ὅπερ ἐν ὅλῳ τῷ πρώτῳ δικαστηρίῳ οὐκ ἐνεφανίσθη, βαρὺ λογισάμενος τὸ δοῦναι ἀφορμὴν τοῖς καταδικαζομένοις, ἀνατρέπειν τὰς ἀποφάσεις, προφάσει καινῶν δικαιωμάτων εὑρέσεως. Ἐὰν ὁ νικήσας ἐν τῇ ἀποφάσει, καὶ λαβὼν πράγματα ὡς ἐν τάξει ἐνεχύρου, μὴ εὑρίσκῃ ἀγοραστὴν ἀπὸ σπουδῆς τῶν ἐναγομένων, πέμπεται αὐτὸς ἐπὶ νομὴν τῶν πραγμάτων ἵνα δεσπότης αὐτῶν. Γίνωσκε δὲ ὅτι παντὶ καταδικαζομένῳ ζητοῦντι καιρὸν εἰς καταβολὴν τῶν ἀπὸ τῆς καταδίκης, δίδοται τετράμηνος. πολλάκις δὲ καὶ πλείων προθεσμία, καὶ εἰ διελθούσης τῆς προθεσμίας ἀγνωμονεῖ καὶ ἔτι, καὶ οὐ δίδωσι τὰ ἀπὸ τῆς καταδίκης, ἀναλαμβάνονται ἀπὸ τῆς οὐσίας αὐτοῦ ἐνέχυρα τοῦ δικαστοῦ τῇ αὐθεντίᾳ, καὶ παρέχονται τοῖς νικήσασι. καὶ εἰ ἐντὸς δύο μηνῶν δραμόντων μετὰ τὴν τῶν ἐνεχύρων ἀνάληψιν, οὐ δώσουσιν οἱ καταδικασθέντες τὰ τῆς κατὰ δίκης, πιπράσκονται τὰ ἐνέχυρα, καὶ ἐκ τῆς τούτων τιμῆς, πληροῦνται τὸ χρέος οἱ νικήσαντες. ἐὰν δὲ ὁ νικήσας καὶ λαβὼν τὰ ἐνέχυρα, οὐχ εὑρίσκῃ ἀγοραστὴν ἐκ περιδρομῆς τοῦ καταδικασθέντος· ἴσως γὰρ οὗτος περιτρέχει πάντας, καὶ παρασκευάζει μὴ ἀγοράσαι τὰ ἐνέχυρα, φησὶν ἡ παροῦσα διάταξις, ὅτι προσκυρούσθωσαν τὰ ἐνέχυρα κατὰ δεσποτείαν τῷ νικήσαντι. Ὁ τῆς κατηγορίας χωρὶς ἀπολύσεως ἀφιστάμενος, τιμωρεῖται. οἷα γὰρ ἂν ἐπενεχθῇ κατηγορία,

τῇ

τῇ αὐθεντίᾳ τοῦ δικαστοῦ, οὐ μὴν τῇ βουλήσει τοῦ κατηγόρου ὀφείλει ἀπαλείφεσθαι. Ἡ διάταξις κελεύει, μηκέτι τὸν δικαστὴν ἀκολουθεῖν ἑτέρᾳ ψήφῳ γεγενημένῃ· ἀλλὰ σκοπεῖν τί κατὰ τοὺς νόμους ἀκόλουθον, καὶ οὕτως ἀποφαίνεσθαι. Ἐὰν ἀπόφασις λεχθῇ μόνον, μὴ μέντοι γραφεῖσα πρότερον ἀναγνωσθῇ, ἀνίσχυρος ἔστω. Ἡ παρὰ τὸν τύπον τῶν δικαστηρίων ἐξενεχθεῖσα ἀπόφασις, ἀνίσχυρός ἔστω. τὸ ἔξω τῆς δικαιοδοσίας ἐκ τοῦ δικαστικοῦ γινόμενον, οὐκ ἔρρωται. Αἱ ἐφέσεις αἱ ἀπὸ τῶν δικαστηρίων, δύο μόνων ἔχουσι προθεσμίαν πρὸς τὴν κυρίαν. Μετὰ διετίαν κυροῦται ἡ ψῆφος, ἐκκλήτου μὴ παρακολουθησάσης· εἰ μὴ φανερῶς ἐστι παράνομος. Μετὰ ψῆφον, ἤγουν ἀπόφασιν τοῦ κριτοῦ καὶ τελείαν ἀποκατάστασιν, οὐδεὶς παραδέχεται καινά τινα καὶ νέα πειρώμενος προβάλλεσθαι δικαιώματα. ὡς τότε μὲν οὐκ ἔχων τινὰ, ὕστερον δὲ εὑρὼν, δηλ᾽ ὁ τοῦτο βουλόμενος ποιεῖν, παντελῶς ἐστιν ἀπρόσδεκτος. χωρὶς τῆς ὑπὲρ δημοσίου πράγματος τελούντων τοῦτο ποιεῖν· τούτοις γὰρ σπανίως ὁ νόμος κελεύει τοῖς δικασταῖς παραδέχεσθαι. ΠΕΡΙ͂ τῶν *ζητουμένων ἀδικῶν ὡς χρή. *

Οἱ μέχρις εὐπορείας καταδικαζόμενοι, οὐκ ἀπαιτοῦνται πᾶν ὅσον ἔχουσιν, ἵνα μὴ πτωχεύσωσιν. Ἐν τοῖς πολιτικοῖς λογοθεσίοις, ἡ κατὰ τὴν ψῆφον πλάνη, καλῶς ἀναψηλαφᾶται, μετὰ δέκα καὶ εἴκοσιν ἐνιαυτῶν. Ὅτι κατὰ ψήφου παντὸς δικαστικοῦ μετὰ τὴν ἀνάγνωσιν ταύτης, ἔκκλητος δίδοται ἐντὸς δέκα ἡμερῶν· κατὰ δὲ ψήφου βασιλέως, ἢ συγκλήτου, οὐ δίδοται ἔκκλητος.

Οὐ δοκεῖ κατακεκρίσθαι ὁ ἐκκαλεσάμενος, ὅτε ὁ καταδικασθεὶς ἀπὸ τοῦ μὴ ἔχοντος δίκαιον καταδικάζειν.

Ἐὰν ἐξενεχθῇ ἀπόφασις κατά τινος ἀπόντος· ὁ δὲ, γνοὺς μὴ ἐκκαλέσηται, οὐκέτι δύναται προφάσει τῆς ἰδίας ἀπουσίας, τὴν ἀπόφασιν ἀνατρέπειν.

ΠΕΡΙ͂ ΤΩΝ ἐκταγιατικῶν νεαρὰ τοῦ καίσαρος κωνσταντίνου.

θεσπίζομεν, μηδένα τῶν πολιτικῶν δικαστῶν μὴ ὑπὲρ οἱασδὴ ποτοῦν ἀφορμῆς, τι λαμβάνειν· ἀλλὰ καθαρὰς ἔχειν τὰς χεῖρας, καὶ παντὸς χρυσίου ὑπερφρονεῖν. κελεύομεν τοὺς θεματικοὺς κριτὰς, ἐφ' ἑκάστῃ τοῦ χρυσίου λίτρᾳ, μὴ περαιτέρω τείων γι λαμβάνειν· δηλονότι ἐπὶ τῶν εὐπορούντων ὑπέρτε νοταρίων καὶ τῶν ὑπηρετουμένων αὐτοῖς, καὶ μηδὲν ἕτερον. μὴ ὑπερβαινέτω δὲ ἡ ἀπαίτησις τῶν ἐκταγιατικῶν, τὰ ρ΄ ιι΄. ὅση ἂν ἡ ἀπαιτηθεῖσα περιουσία τυγχάνοι· εἴγε καὶ ἑκατὸν λιτρῶν οὖσα τυγχάνει, καὶ περαιτέρω· εἰ μὴ καθόσον ὑπὲρ τροφῆς τῆς ὁδοιπορείας ἐπιξενούμενος ὁ ἐκβιαστὴς ἐδαπάνησεν.

## ΠΕΡῚ ΑἹΡΕΤΩ͂Ν ΚΡΙΤΩ͂Ν.

Εἴτε δικαία εἴτε ἄδικος ἂν ἡ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφασις, ἐμμένειν αὐτῇ δεῖ. ΣΧΟΛ. οἱ ποιήσαντες αἱρετὸν δικαστὴν, ἀναγκάζονται ἐμμένειν τῇ τούτου διαγνώσει· κἄντε δικαία ἐστὶ κἄντε ἄδικος. καὶ ὁ μὴ ἐμμένων, ἀπαιτεῖται τὸ πρόστιμον, καὶ μεμφέσθω ἑαυτόν· διότι τοιοῦτον ᾑρετίσατο λαβεῖν διαγνώμονα. τοῦτο μὲν οὖν ὀφείλεις νοεῖν, ὅτε ἐξ ἰδίας ἀγνοίας ὁ αἱρετὸς δικαστὴς, τὴν ἄδικον ἐξενήνοχεν ἀπόφασιν, ἄπειρος ὢν νόμων. εἰ γοῦν ἢ * δεινόμους καὶ πρὸς χάριν ἑνὸς τῶν ἀντιδίκων ἀποβλέπων, ἢ δώροις διαφθαρεὶς ἐξενήνοχεν ἐν εἰδήσει τὴν ἀπόφασιν, ὁ καταδικασθεὶς καὶ μὴ ἐμμένων, οὐκ ἀπαιτεῖται τὸ πρόστιμον· εἰ μὴ πρὸς χάριν σὴν, ἢ διὰ τὰ δῶρα κατεδικάσθη τὰ σά. οἱ αἱρετοῖς κριταῖς δικασθέντες, μὴ ἐκκαλείσθωσαν. κἂν πλανηθῇ ὁ αἱρετὸς δικαστὴς ἐν τῷ ψηφίζεσθαι, οὐ διορθοῦται· ψηφισάμενος γοῦν, πέπαυται εἶναι δικαστής. ΣΧΟΛ. Ὁ αἱρετὸς δικαστὴς, ἐὰν φθάσῃ δοῦναι ἀπόφασιν, ὅτι ἐφάνη μοι χρεωστῶν πέτρος τῷ παύλῳ ι΄. καὶ δοῦναι ταῦτα ἀποφαίνομαι τῷ παύλῳ, οὐ δύναται ἐκ τότε τὴν οἰκείαν ψῆφον, ἢ ἐναλλάξαι, ἢ διορθῶσαι· κἂν ἴσως ἐπλανήθη, καὶ μὴ ὀφείλοντα καταδικάσαι τὸν πέτρον· ἀλλὰ δι

καιῶ

κωλῦσαι, κατέκρινε· δοὺς ἅπαξ ἀπόφασιν, ἐπαύθη εἶναι δικαστής. Ὁ καταλιπὼν τὸν αἱρετὸν, καὶ ἐνάγων ἐνορδίνως, ἀποπίπτει τῇ ποινῇ τῆς δίκης, κατὰ τὴν ἰδίαν τάξιν παρὰ τοῦ δικαστοῦ κινουμένης. ΣΧΟΛ. Πέτρος καὶ Παῦλος ἀγωγὰς ἔχοντες κατ᾽ ἀλλήλων, εἵλοντο αἱρετὸν δικαστὴν τὸν Μάρκον, καὶ συνεφώνησαν ἐπὶ τὸ αὐτοῦ προθεῖναι ταύτας καὶ λῦσαι, καὶ ἐπηρώτησαν ἀλλήλους καὶ πρόστιμον, ἐκ τοῦ μὴ ἐμμεῖναι τοῖς ψηφισθεῖσι παρὰ τοῦ Μάρκου, ἢ ἀθετῆσαι τι τῶν συμπεφωνημένων. Ὅτι κατὰ τὴν τοιαύτην αὐτῶν συμφωνίαν, προσῆλθον τῷ Μάρκῳ, καὶ ἤρξαντο παρ᾽ αὐτοῦ δικάζεσθαι· καὶ μή πω λυθεισῶν τῶν ἀμφιβολιῶν, ἐκ τούτων ὁ εἷς ὁ Πέτρος, καταλιπὼν δικάζεσθαι παρὰ τῷ αἱρετῷ κριτῇ, ἀπῆλθεν εἰς ἐνόρδινον δικαστήριον, ἤγουν ἔμβαθμον καὶ κύριον· τυχὸν εἰς τὸ τοῦ δικαιοδότου, ἢ τὸ τοῦ δρουγγαρίου, καὶ δέδωκεν ἐκεῖσε λίβελλον περὶ τῶν αὐτῶν ἀγωγῶν περὶ ὧν καὶ ὁ αἱρετὸς δικαστὴς ἐδίκαζεν. ἀπαιτεῖται τοίνυν τὸ πρόστιμον, ὡς ἀθετήσας τὴν ἰδίαν συμφωνίαν, καὶ μὴ ἐμμείνας τῷ πρώτῳ δικαστῇ, ὡς λυθῆναι τὰς ἀμφιβολίας, καὶ παύεται ὁ αἱρετὸς δικαστὴς τοῦ δικάζειν, ὡς ἤδη τοῦ προστίμου ἀπαιτηθέντος, καὶ τηροῦνται αἱ ὑποθέσεις παρὰ τοῦ ἐμβάθμου δικαστοῦ, κατὰ τὴν ἰδίαν τάξιν, ἤγουν κατὰ τὴν φύσιν αὐτῶν καὶ τὴν ἀκολουθίαν τῶν νόμων· ὅτι λύονται παντελῶς, καὶ ἀπόφασιν νόμιμον δέχονται. Αἱρετὸς δικαστής ἐστιν, ὁ δικαστοῦ τάξιν ἀναδεξάμενος, καὶ ἐπαγγειλάμενος ψήφῳ τεμεῖν τὸ φιλονεικούμενον· οὐ μὴν ὁ παρεμβαλὼν συμβουλῇ, ἐφ᾽ ᾧ τὴν δίκην ἀπαλλάξαι. Ὁ αἱρετὸς δικαστὴς, καὶ δι᾽ ἀγγέλου, ἤτοι τινὸς τῶν ὑπηρετούντων αὐτῷ, καὶ δι᾽ ἐπιστολῆς, ἤτοι πιττακίου, δύναται καλεῖν τοὺς δικαζομένους παρ᾽ αὐτῷ, κατὰ τήν δε τὴν ἡμέραν παραφυλάξαι, ἔτι συνελθεῖν καὶ δικασθῆναι. Τὸ αἱρετὸν δικαστήριον, ἐκκλήτῳ οὐχ ὑπόκειται, οὐδ᾽ ἀναψηλαφᾶται ὑφ᾽ ἑτέρου, οὐδ᾽ ἐπανακρίνεται

ται

ἐται ὑφ' ἑαυτοῦ. ψηφισάμενος γὰρ ὁ αἱρετὸς δικαστὴς, πέπαυται τοῦ εἶναι δικαστὴς, καὶ οὐ διορθοῦται τὴν ψῆφον, εἰ καὶ πλανηθῇ.

Τὸ αἱρετὸν δικαστήριον, ἔοικε κυρίῳ δικαστηρίῳ· καὶ ἀνήκει πρὸς τὸ περατοῦσθαι τὰς δίκας· οὐχ ἁρμόζει δὲ ἐξ αὐτοῦ παραγραφὴ, ἀλλὰ κοινῆς ἀπαίτησις. ΣΧΟΛ. Ὁ παρὼν τίτλος διδάσκει περὶ αἱρετῶν δικαστῶν. αἱρετὸς δέ ἐστι δικαστὴς ὁ μήτε δικαστηρίου προκαθήμενος, μήτε ἔχων δικαιοδοσίαν, ἀλλ' ἁπλῶς ὢν ἰδιώτης ἢ καὶ συγκλητικὸς, ἢ καὶ εἰδὼς γράμματα. διδάσκει καὶ περὶ μεσιτευόντων, καὶ τινὲς μὲν λέγουσι μεσιτεύοντας, τοὺς αἱρετοὺς δικαστὰς, ἐκ τοῦ μεσάζειν καὶ εἰσέρχεσθαι μέσον δύο τινῶν ἐχόντων φιλονεικίας ἢ καὶ πλειόνων, καὶ ὑποσχομένων λῦσαι αὐτὰς, διὰ τῆς οἰκείας διαγνώσεως. καὶ ἑρμηνεύουσι τὴν ἐπιγραφὴν οὕτως, περὶ δοκιμασίας μεσιτευόντων,
* ἤτοι αἱρετῶν δικαστῶν· τὸ * καὶ, ἀντὶ τοῦ ἤτοι ἐκλαμβανόμενον, τινὲς δὲ διαστέλλουσιν αὐτοὺς, καὶ λέγουσι μεσιτεύοντας, τοὺς δοκιμαστάς· ὡς ὅταν συμφωνήσωσι δύο τινὲς ποιῆσαι κοινωνίαν, ἢ κτίσαι οἶκον, δοκιμασίᾳ τοῦ πέτρου. διαφέρουσι δὲ ἀλλήλων οἱ δοκιμάζοντες, καὶ οἱ αἱρετοὶ δικασταί· τοῖς γὰρ παρὰ τῶν μεσιτευόντων ὁριζομένοις, ἀναγκαζόμεθα ἐμμένειν, ὅτι ὡς ἄνδρες ἀγαθοὶ δοκιμάσωσι· τοῖς δὲ παρὰ τῶν αἱρετῶν, ἀδιαστίκτως ἔχομεν ἀνάγκην ἐμμένειν· εἰ μὴ βουλόμεθα δοῦναι τὸ πρόστιμον. Ὁ αἱρετὸς δικαστὴς, τὸ δοκοῦν αὐτῷ ψηφίζεται, καὶ οὐ πολυπραγμονεῖ τὴν ψῆφον ὁ πραίτωρ.

Ἡ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφασις, οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται. Ἡ προφανῶς γενομένη παράνομος ψῆφος ἤτοι ἀπόφασις, καὶ χωρὶς ἐκκλήτου, ἄκυρός ἐστι καὶ ἐντὸς τριακονταετίας, καὶ οὕτως διωκομένη, ἀκυροῦται καὶ οὐ κρατεῖ. ἡ δὲ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφασις, οὐκ ἔχει ἔκκλητον· εἴτε δικαία εἴτε ἄδικός ἐστιν, ἀλλ' ἐμμένειν αὐτῇ δεῖ. Μὴ χρείαν ἐχέτω ἐκκλήτου, ἡ τοῦ αἱρετοῦ δικαστοῦ ἀπόφασις. Ἐὰν δύο

ὦσιν

ὦσιν οἱ αἱρετοὶ δικασταὶ καὶ διαγνῶσιν, ἀναγκάζονται καὶ τρίτον τινὰ ἐπιλέξασθαι, καὶ τῇ αὐτοῦ ἐμμεῖναι δοκιμασίᾳ.

Τριῶν ὄντων αἱρετῶν δικαστῶν, ἀρκοῦσιν οἱ δύο συναινοῦντες, εἴγε καὶ ὁ ἄλλος πάρεστιν· εἰ γὰρ ἄπεστι μακρὰν ἐπεὶν ὁ εἷς, οὐκ ἔρρωται τὸ παρὰ τῶν δύο ψηφιζόμενον. διὰ αὐτὸ γὰρ καὶ ἐπὶ δικαστῶν ἐστι, καὶ τότε τὸ παρὰ τοῦ πλείονος μέρους ψηφιζόμενον ἐπικρατεῖ, ὅτε πάντες ψηφίζονται. Εἰ μὴ ἔγκειται ποινὴ τῷ αἱρετῷ δικαστηρίῳ, ὁμολογήσει δέ τις ἐμμένειν τῇ ψήφῳ, ἐνάγεται ἀορίστως· πληρέστατον δέ ἐστι τὸ μνημονεῦον τοῦ κεφαλαίου τοῦ δόλου. Οὐ γίνεται αἱρετὸς δικαστὴς μετὰ τῆς τῶν ὅρκων ἀσφαλείας, ἀλλὰ μετὰ ποινῆς αὐτὸν οἱ δικαζόμενοι ἐπιλεγέσθωσαν· καὶ ἀνάγκην ἐχέτωσαν, ἢ ἐμμένειν τῇ ψήφῳ ἢ τὸ πρόστιμον διδόναι, ὁπότε ἂν τὰ μέρη ἀμφότερα συμφωνήσωσιν. Κεκώλυται αἱρετὸν ἐπὶ ἀτιμοποιῷ τῶν ἁμαρτημάτων μὴ ψηφίζεσθαι ἀγωγῇ, ἢ περὶ καταστάσεως ἐλευθερίας καὶ εὐγενείας, καὶ ἔτι καὶ ἐκ περιουσίας περὶ ὀρφανικῆς ἀγωγῆς.

Τοῖς εἰσάπαξ ἐκκληθεῖσι, καὶ ἐν οἵῳ δήποτε ἐφετικῷ δικαστηρίῳ, ἄκυρος εἰς τὸ ἑξῆς παντὸς δικαστοῦ, καὶ ἡ αὐτοῦ τοῦ αἱρετοῦ ψῆφος. ΝΟΜΟΙ. Ἔσθ' ὅτε οὐκ ἀναγκάζεται ὁ αἱρετὸς δικαστὴς ψηφίσασθαι τυχόν, ἐὰν ἠτιμάσθη παρὰ τῶν δικαζομένων, ἢ ἔχθραν κεφαλικὴν ἔχει πρός τινα αὐτῶν, ἢ ἐγήρασεν, ἢ ἐνόσησε μετὰ ταῦτα, ἢ πράγμασιν οἰκείοις ἐνασχολεῖται, ἢ μέλλει ἀποδημεῖν, ἢ δημοσίᾳ λειτουργεῖν. ΣΧΟΛ.

Εἴπομεν ὅτι ὁ αἱρετὸς δικαστής, ἅπαξ καταδεξάμενος καὶ ὑποσχόμενος λῦσαι διὰ τῆς οἰκείας διαγνώσεως, τὰ μέσον τῶν μερῶν ἀμφίβολα, οὐ δύναται ἔτι τότε μεταμέλεσθαι καὶ ἀφιέναι τὸ δικάσαι· ἀλλὰ καταναγκάζεται παρὰ τοῦ ἄρχοντος, ἤτοι τοῦ ἔχοντος δικαιοδοσίαν καὶ προκαθημένου δικαστηρίου, κρῖναι τὰ μέρη, καὶ λῦσαι τὰς ἀμφιβολίας. ἐὰν δὲ πολλάκις οἱ δικαζόμενοι ὕβρεισαν αὐτὸν ὕβρεις τραχείας, ἢ εἷς τῶν αὐτῶν

ἔχει μετ' αὐτοῦ ἔχθραν κεφαλικήν· τυχὸν ἐκίνησε κατὰ τοῦ αἱρετοῦ δικαστοῦ, ἔγκλημα ἐπάγον δήμευσιν ἢ ἀτιμίαν, ἢ πολλάκις εἰς γῆρας συνηλάθη, ἢ εἰς ἀῤῥωστίαν κατεκλίθη, ἢ ἐγράφη παρά τινος πλουσίου καὶ ἐνδόξου, κληρονόμος· καὶ ἐνασχολεῖται εἰς διοίκησιν τῶν τῆς κληρονομίας πραγμάτων, ἢ μέλλει ἀποδημῆσαι, ἢ εἰς δημοσίαν λειτουργίαν πεμφθῆναι· διὰ εἰς ἐξώνησιν σίτου λόγῳ διατροφῆς στρατιωτῶν, οὐκ ἀναγκάζεται ἐνασχοληθῆναι τῇ λύσει τῶν ἀμφιβολιῶν· ἀλλὰ συγγινώσκεται.

ΝΟΜΟΣ. Δύνασθαι καὶ χωρὶς αὐτεναγωγῆς ἐπὶ μόνῃ ἐναγωγῇ, αἱρετὸν δικαστήριον ποιεῖν. ΣΧΟΛ. Οἷον ὡς ἐπὶ θέματος· εἶχον ἐγὼ κατὰ σοῦ περὶ δανείου ἀγωγήν· καὶ σὺ κατ' ἐμοῦ περὶ παρακαταθήκης, ἐδυνάμεθα ποιῆσαι σύμφωνον ἵνα προσέλθωμεν τῷ Πέτρῳ, καὶ τηρήσῃ τὴν ἀπ' ἐμοῦ κατὰ σοῦ κινουμένην ἀγωγὴν περὶ τοῦ δανείου μόνην, καὶ πρόστιμον ἐπερωτηθῆναι, ἐκ τοῦ μὴ ἐμμεῖναι τοῖς διαγνωσθησομένοις, καὶ ἐῤῥῶσθαι τὸ τοιοῦτον σύμφωνον, καὶ εἰ τοῦ αἱρετοῦ δικαστοῦ δικαιώσαντός με λαβεῖν τὸ δάνειον, σὺ οὐκ ἐμμείνῃς τῇ ἐκείνου διαγνώσει· ἀλλὰ φιλονεικεῖς καὶ εἰς δικαστήριον ἀπέρχῃ ἔνβαθμον, καὶ ζητεῖς ἐξ ὑπαρχῆς δικασθῆναι, ἀπαιτηθήσῃ πρόστιμον, καὶ οὐκ ἀρκέσει σοι εἰς ἀποφυγὴν τῆς ἀπαιτήσεως, τὸ μὴ καὶ τὴν σὴν αὐτεναγωγὴν τὴν περὶ παραθήκης κριθῆναι. δύνασθαι γὰρ καὶ ἐπὶ μόνῃ ἀγωγῇ συνίστασθαι αἱρετὸν δικαστήριον. ΝΟΜΟΣ. Δύναται προστιμᾶν τὸν κατὰ προπέτειαν ἀπολειφθέντα τῷ ἀντιδίκῳ αὐτοῦ· οὐ μέντοι τὸν μὴ πειθαρχήσαντα αὐτῷ, περὶ τὴν ἔκδοσιν τῶν ὀνομάτων τῶν μαρτύρων. ΣΧΟΛ.

Ἄδεια δίδοται παρὰ τῶν νόμων τῷ αἱρετῷ δικαστῇ, ἐπιτιθέναι πρόστιμον, τῷ κατὰ προπέτειαν ἀπολιμπανομένῳ ἀπὸ τῶν ἀντιδίκων· καὶ μὴ συνδιαγομένῳ παρ' αὐτῷ καὶ δικαζομένῳ, καὶ ἀπαιτεῖν τοῦτο καὶ ἀποδιδόναι τῷ προσεδρεύοντι ἀντιδίκῳ. τοῦτο δὲ εἶπεν ὁ νομοθέτης, ἵνα μὴ ὑ-

πὲρ βι-

προβιβάζωσιν οἱ δικαζόμενοι, κἀντεῦθεν ἐμποδίζηται ὁ αἱρετὸς δικαστὴς εἰς τὴν διάγνωσιν. εἰ μέντοι πολλάκις διελάλησεν ὁ αἱρετὸς δικαστὴς, καὶ παρεκελεύσατο τινὶ τῶν δικαζομένων, προκομίζοντι δικαίωμα εἰς σύστασιν τῆς οἰκείας ἐναγωγῆς, ἐκδοῦναι τὰ ὀνόματα τῶν μαρτύρων τῶν ἐν αὐτῷ ὑπογεγραμμένων· κἀκεῖνος οὐχ ὑπήκουσε, διατηρηθήσεται ἀζήμιος, καὶ καταδικασθῇ εἰς πρόστιμον δόσιν παρὰ τοῦ αἱρετοῦ δικαστοῦ, οὐκ ἀπαιτηθήσεται τοῦτο. διότι οὐ καταναγκάζει τινὰ ὁ νόμος, ἢ τὸν χρόνον τῆς ποιήσεως τῶν ἰδίων δικαιωμάτων, ἢ τὰ ὀνόματα τῶν μαρτύρων ἐκδοῦναι· ἵνα μὴ ταῦτα μανθάνων ὁ ἀντίδικος, κακουργήσῃ τι, τυχὸν διαφθείρῃ τοὺς μάρτυρας, ἢ ποιήσῃ μεταγενέστερον ἔγγραφον ἀνατρεπτικόν.

ΠΕΡΙ ΤΟΥ ΔΙΔΟΜΕΝΟΥ προθεσμίας τοῖς χρεώσταις.

Ἡ περὶ τῆς ἀποπληρώσεως τῆς καταδίκης ἱκανοδοσία παραχρῆμα μὲν τοῦ ψηφισθῆναι βεβαιοῦται· ἔχει δὲ περὶ τὸ ἀπόδειγμα τοῦ ἐνισταμένου, τὴν προθεσμίαν εἰς ὑπέρθεσιν. Ὁ πατρίκιος ἔλεγε, τότε δεῖ διδόναι τῷ χρεώστῃ τὴν προθεσμίαν πρὸς τὸ καταβαλεῖν τὸ χρέος, ὅτε ἐστὶν εὔπορος, τοῖς κτήμασι καὶ τοῖς πράγμασιν, ἵνα ταῦτα ἐπ' ἀδείας καὶ μὴ κατεπειγόμενος πωλήσῃ, ἢ καὶ τυχὸν ἐνεχυριάσας, ἐπιπορίσῃ τὸ χρυσίον. ὅτε δὲ ὁ χρεώστης τῶν ἀπόρων ἐστὶν, οὐ χρὴ δίδοσθαι τὴν προθεσμίαν. οὐδεμία γὰρ ἔστι τῷ χρεώστῃ, οὔτε τῷ ὀφειλέτῃ ὠφέλεια, εἰ μὴ καὶ μᾶλλον βλάβη, ὡς δαπανῶντος τοῦ ἀπαιτουμένου ἀπὸ νῦν ἔχει· μικρὰν οὖν ἔλεγε χρῆναι δίδοσθαι τὴν προθεσμίαν, καὶ τέμνεσθαι τὴν δίκην. ἵνα μὴ καὶ πάλιν φιλονεικίαι ἐπ' ἀνονήτων γίγνοιντο, καὶ ἡ τῆς δίκης ὑπέρθεσις ἐπὶ πλέον ἐκτείνοιτο.

Οἱ εἰς μέταλλον ἀποδιδόμενοι εἰ κατὰ ἀπειρίαν τοῦ δικαστοῦ οὐχ ὡρίσθη ὁ χρόνος ἐν αὐτοῖς, δέκα ἐνιαυτοὺς δοκοῦσιν ὁρίζεσθαι τῇ καταδίκῃ αὐτῶν. ΝΟΜΟΣ. Ἡ διάταξις κελεύει καὶ τοῖς ἰδιώταις, οὐ πλέον τῆς προθεσμίας ὑπερτιθεμένοις,

τόκον ἑκατοστιαῖον τῆς καταδίκης καταβαλεῖν· ἀφορίζεσθαι δὲ τὴν τετράμηνον, μετὰ τὴν ἀπόφασιν, ἢ ἐὰν ἔκκλητος ἐπεδόθη, μετὰ ὁ ἔκκλητος ἐβεβαιώθη. ΣΧΟΛ. Ἵνα μή τις ὑπολάβῃ, ὅτι τὸ ἀπαιτεῖσθαι μετὰ τὴν τετράμηνον τῆς καταδίκης παρὰ τοῦ δημοσίου τόκον ἑκατοστιαῖον, ἤτοι ιβ´ τι. ἐδίδαξεν ὁ νομοθέτης προνόμιον ἐστὶ τοῦ δημοσίου καὶ μόνου, εὐθὺς ἐπήγαγεν, ὅτι καὶ ὁ ἰδιώτης τὸν ἀντίδικον αὐτοῦ, ἐπὶ πλέον τῆς τετραμήνου ὑπερτιθέμενον, τὸν τοιοῦτον ἀπαιτεῖται τόκον. σαφηνίζει δὲ καὶ ἀφ' οἵου καιροῦ ἀφορίζεται ὁ δρόμος τῆς τετραμήνου· καὶ φησὶν ὅτι μετὰ τὴν τελείαν ἀπόφασιν, ἢ ἐὰν ἔκκλητος ζητηθῇ, καὶ τοιουτοτρόπως ἀναρτηθῇ ἡ ἀπόφασις, μετὰ ὁ ἔκκλητος βεβαιωθῇ. ΝΟΜΟΣ. Ὁ κατακριθεὶς, οὐκ ἀπαιτεῖται μὴ πρὸ τῆς τετραμήνου. εἰ δὲ βούλεται καὶ πρὸ ταύτης ἐλευθεροῦσθαι· ὑπὲρ αὐτοῦ γάρ ἐστιν ὁ χρόνος. ΣΧΟΛ. Παντὶ καταδικαζομένῳ δίδωσιν ὁ νόμος προθεσμίαν τετράμηνον, εἰς ἀνακοχὴν καὶ ἀνάρτησιν τῆς ἀπαιτήσεως· ὡς ἂν διὰ τοῦ τοιούτου καιροῦ φροντίσῃ καὶ εὑρήσῃ τι. καὶ ἀποπληρώσῃ τὸ χρέος. τοῦτο δὲ ὑπὲρ τῶν καταδικαζομένων ἐπενοήθη, ἵνα μὴ κατέχωνται ἀπεντεῦθεν, καὶ ἀναγκαζόμενοι δοῦναι τὰ τῆς καταδίκης, ζημιῶνται πωλοῦντες τὰ ἄξια πολλῶν, ὀλίγου. εἰ δὲ πολλάκις ὁ καταδικασθεὶς εὐπορεῖ τι, καὶ βούλεται καὶ προθυμεῖται δοῦναι τὸ χρέος, εἰς ὃ κατεδικάσθη καὶ ἔσωθεν τῆς τετραμήνου, σπουδάζων ἀπαλλαγῆναι τοῦ χρέους, οὐ δύναται λέγειν ὁ νικήσας· οὐ λαμβάνω τὰ προσαγόμενα, εἰ μὴ διέλθοι ἡ τετράμηνος. διότι τὸ τετράμηνον οὐχ ὑπὲρ τοῦ νικήσαντος, ἀλλ' ὑπὲρ τοῦ καταδικασθέντος ἐπενοήθη, καὶ ἔξεστι παντὶ τῶν ὑπὲρ αὐτοῦ εἰσενεχθέντων καταφρονεῖν. ΝΟΜΟΣ.

Τὸν πρὸς καταβολὴν ὑπέρθεσιν ζητοῦντα, ἐφησυχάζειν τῇ ἀποφάσει φανερῶς ἀποδείκνυται. ὥσπερ ἐκεῖνον ὅστις οἵῳ δήποτε τρόπῳ τῇ ἀποφάσει ἐφησύχασεν, οὐ δὲ γὰρ ἀνακαινίζε-

θαι τὰ ἀποφανθέντα, ἡ τῶν διατάξεων ἀνέχεται αὐθεντία.

ΣΧΟ´Λ. Ἐμάθομεν ἐν διαφόροις κεφαλαίοις, ὅτι παντὶ καταδικαζομένῳ καὶ νομίζοντι ἀδικηθῆναι ἐκ τῆς ἀποφάσεως, ἔξεστι ζητεῖν ἔκκλητον, καὶ δι' αὐτῆς ἀναρτᾷν καὶ τὴν ἀπόφασιν καὶ τὴν ἀπαίτησιν τῆς καταδίκης, εἴγε ἐντὸς δέκα ἡμερῶν ἐζήτησε τὴν ἔκκλητον. Φησὶν οὖν ἡ παροῦσα διάταξις, ὅτι ἐάν τις καταδικασθεὶς οὐκ ἐζήτησεν ἔκκλητον, ἢ ἐζήτησε μὲν, μὴ δὲ ταῦτα ἐζήτησε τὴν διδομένην τοῖς καταδικαζομένοις ὑπέρθεσιν, ἤτοι τὸ τετράμηνον εἰς καταβολὴν τῶν ἀπὸ τῆς καταδίκης, δοκεῖ στέργειν τῇ ἀποφάσει, καὶ μὴ ζητεῖν ἔκκλητον, ἢ τὴν ταύτης δοκιμασίαν· καὶ ἐκ τότε ἤγουν μετὰ τὴν αἴτησιν τῆς τετραμήνου καὶ παραδρομὴν, ἀπαιτεῖται τὰ ἀπὸ τῆς καταδίκης, καὶ οὐκ εἰσακούεται βουλόμενος τὴν ἔκκλητον γυμνάζειν. ἔδοξε γὰρ καταδέχεσθαι τὴν ἀπόφασιν. καὶ ἡγεῖσθαι δικαίαν. δι' ὃν ἐζήτησε καιρὸν χάριν τῆς καταβολῆς, τὸ αὐτὸ κρατεῖ καὶ ἐπὶ τῶν καταδικαζομένων καὶ διδόντων ἐνέχυρα, ἢ ἐγγυητὰς, καὶ ὁμολογούντων δοῦναι τὰ ἀπὸ καταδίκης. ἀπαιτοῦνται γοῦν κἀκεῖνοι, καὶ οὐ παραδέχονται καταφεύγοντες εἰς τὴν τῆς ἐκκλήτου βοήθειαν. ὡς δόξαντες διὰ τῆς δόσεως τῶν ἐνεχύρων, ἢ τῶν ἐγγυητῶν, καταδέξασθαι τὴν ἀπόφασιν ὡς δικαίαν· ἅτινα οὖν διὰ τῆς καταδοχῆς τῆς αἰτήσεως τῆς τετραμήνου, ἢ τῆς δόσεως τῶν ἐνεχύρων ἢ τῶν ἐγγυητῶν ἐκύρωσαν, ἀνακαινίζειν καὶ ἀνατρέπειν οὐ παραδέχεται ἡ τῶν διατάξεων αὐθεντία.

## ΠΕΡΙ` ΜΗΝΥΤΩ͂Ν. ΤΙ´ΤΛ. Ε.

Μηνυτὴς λέγεται ὁ ἀρχηγὸς καὶ αἴτιος γνωρισμοῦ τινὸς ὑποθέσεως ἢ πράγματος ἀγνοουμένου μὲν πρότερον, μηνυομένου δὲ ὕστερον παρ' αὐτοῦ. ἀπαιτεῖται δὲ ἐξ ἀνάγκης ὁ μηνυτὴς ἀποδεῖξαι, ἅπερ ἐποίησεν ὁ καταμηνυθεὶς δηλονότι, μανδάτωρ δὲ λέγεται ὁ τῷ μηνυτῇ ὑπουργήσας, εἰς τὸ τοῦ πράγματος καταμήνυσιν. Γυνὴ οὐ καταμηνύει, οὐδὲ οἱ λαμπρότα-

τι, ὅτι οἱ κατακριθέντες μετὰ τὸ κατακριθῆναι, καὶ ἀπεστρατευμένοι καὶ στρατιῶται κωλύονται καταμηνύειν, ὅτι οἱ γενόμενοι ἐπίτροποι τινῶν ἢ κουράτωρες ἢ διοικηταὶ πραγμάτων καταμηνύουσιν αὐτούς, καὶ ὁ πωλῶν πρᾶγμα, οὐ καταμηνύει αὐτὸ δι' ἑαυτοῦ, ἢ διὰ μέσου, ἀλλὰ ποινὴν ὑφίσταται ἀξίαν τοῦ ἰδίου προσώπου.

Ὁ μηνυτὴς βαρεῖται ταῖς ἀποδείξεσι, καὶ οὐχ ὁ καταμηνυόμενος πόθεν ἔχει. Οἱ μηνυταὶ ἐὰν διελέγξωσι τὰ μηνυθέντα, τὴν ὀγδόην μοῖραν τῶν προσαγγελθέντων λαμβανέτωσαν. Τοὺς καταμηνύσαντας δὲ μὴ ἀποδείξαντας, διὰ τοῦ ἄρχοντος σιδήρῳ κολαζέσθω.

## ΠΕΡΙ ΜΑΡΤΥΡΩΝ. ΤΙΤΛ. ϛ.

Ἀξιόπιστοι ἔστωσαν οἱ μάρτυρες, καὶ μή τινες ἐπιδίφιοι, μὴ δὲ χαμαιπετεῖς, μὴ δὲ παντελῶς ἄσημοι. Οἱ ἄγνωστοι τῶν μαρτύρων, καὶ βασανιζέσθωσαν εἰ δεήσει. Οἱ μαρτυροῦντες περὶ χρεῶν ἐγγράφων, εἰπάτωσαν ὡς τῇ καταβολῇ παρῆσαν, ἢ ἐπ' αὐτοῖς νομίμως κατετέθη· ἐπὶ τούτῳ μόνῳ προσκληθέντες δηλονότι, ἐὰν ὦσι πέντε τὸν ἀριθμόν. Ὅτε οἱ μάρτυρες ἢ ἑαυτοῖς ἐναντιοῦνται, ἢ ἄλλοις μάρτυσι, τότε δεχέσθω ὁ δικαστὴς τοὺς ἐξ αὐτῶν ἀξιοτέρους, καὶ κολαζέτω τοὺς ὑπόπτους, ἐπείπερ ἐξεπίτηδες φανεῖεν κακουργοῦντες. Δυνατὸν καὶ ἀπὸ πόλεως εἰς πόλιν ἐν διαλαλιαῖς ὁ δικαστὴς, στεῖλαι τὰς μαρτυρίας πραττομένων μέν τοιγε κατὰ νόμους, ἐν μὲν ταῖς ἐπαρχίαις παρὰ τοῖς ἄρχουσι, ἐν δὲ τῇ Κωνσταντινουπόλει, παρὰ τοῖς θείοις δικασταῖς. Ἐπὶ τῶν ἐγκλημάτων, ἀνάγκη πάντως παραχθῆναι καὶ τοὺς μάρτυρας, καὶ μὴ τὰς φωνὰς αὐτῶν.

Ἐπὶ τῶν μαρτύρων ζητεῖται ἡ ἀξία, καὶ ἡ πίστις, καὶ τὰ ἤθη καὶ ἡ στερρότης· διόπερ οὐκ ἀκούονται οἱ ἐναντιούμενοι τοῖς ἐν ἐκμαρτυρίῳ ὑφ' ἑαυτῶν εἰρημένοις. Ἐπὶ ἑκάστου μάρτυρος, ὀφείλει ζητεῖσθαι πότερος τίμιος καὶ ἄμεμπτος ἐστὶν, ἢ ἄτιμος καὶ ἐπίψογος, εὔπορος ἢ ἐνδεὴς, ὥστε διὰ κέρδος τι πλημ-

μελλῆσαι· φίλος τοῦ παράγοντος, ἢ ἐχθρὸς τοῦ καθ' οὗ παράγεται, ὅταν γὰρ ὑποψίας ἐστέρηται μαρτυρεῖ. τὰ δὲ περὶ τούτου διακρίνει ὁ δικαστὴς, εἰ ἁπλῶς μαρτυροῦσιν, ἢ μίαν μεμελετημένην ὁμιλίαν προφέρουσιν, καὶ εἰ πρὸς τὰς πεύσεις, πιθανῶς ἀποκρίνονται, καὶ ποῖα τεκμήρια ὀφείλει παραδέχεσθαι. Ἐπὶ μὲν πράσεως καὶ ἀγορασίας, καὶ λοιπῶν συμφώνων ἀγαθῇ πίστει συνισταμένων καὶ μελέτῃ, ζητεῖται ἡ τῶν μαρτύρων πίστις, καὶ ὑπόληψις· καὶ ἐλεγχομένων τῶν μαρτύρων ὡς μὴ δεκτῶν, ἀσθενεῖ τὸ ἔγγραφον. ἐπὶ δὲ μαρτύρων ἐπὶ βίας μαρτυρούντων, ἢ ὕβρεως, καὶ τῶν ἄλλων ποιναλικῶν, ὡς ἐπίπαν οὐ ζητεῖται ὁ τρόπος τῶν μαρτύρων καὶ ὁ βίος, ὡς ὁ μάγιστρος ἔλεγεν. Οἱ μῖμοι καὶ οἱ θηριομάχοι, καὶ οἱ ὀρχησταὶ, καὶ οἱ ἐπὶ τῆς θυμέλης ἀναστρεφόμενοι, καὶ οἱ κατακριθέντες ὡς συκοφάνται, ἢ μοιχοὶ, ἢ κλέπται, ἢ ἕτερον ἀτόπημα ἐργασάμενοι, καὶ οἱ πάνυ πένητες, καὶ αἱ γυναῖκες, καὶ οἱ ἄνηβοι, ἀπείργονται μαρτυρεῖν· αἱ δὲ γυναῖκες μαρτυροῦσιν, ἔνθα ἡ τῶν ἀνδρῶν βία ἀπείργεται. εἰσὶ δὲ καὶ ἕτερα τινὰ πρόσωπα, ἃ ἑκουσίως μὲν δύνανται μαρτυρεῖν, ἀκουσίως δὲ οὐχ ἕλκονται, δι' ὃ πρωτοσπαθάριος καὶ οἱ ἐπάνω τούτων, καὶ οἱ ἱερεῖς, καὶ οἱ περὶ τὴν θείαν λειτουργίαν ἀσχολούμενοι. οἱ δὲ ἀρχιερεῖς, οὔτε ἑκόντες, οὔτε ἄκοντες μαρτυροῦσιν, ἀλλ' εἴπερ δεηθεῖεν ὅλως τῆς αὐτῶν μαρτυρίας, προκειμένων τῶν θείων λογίων, οἴκοι ἐρωτῶνται. Αἱρετικὸς, ἢ Ἑβραῖος κατὰ ὀρθοδόξου οὐ μαρτυρεῖ· κατ' ἀλλήλων δὲ μαρτυροῦσιν. Ὁ μισθωτὸς εἰς μαρτυρίαν ἐρχόμενος τοῦ μισθωσαμένου, ἀπεβλήθη, καὶ ὁ δικαστὴς ἔφη, καθαρεύειν ὑποψίας τοὺς μάρτυρας δεῖ· ὁ φίλος δὲ, οὐ καθαρὸς ὑποψίας, μεστὸς ἄρα ταύτης ὁ μισθωτὸς, καὶ διὰ τοῦτο ἀπόβλητος. Πάντες οἱ καλούμενοι πρὸς μαρτυρίαν ἐν τῇ πρὸς βασιλέα φερομένῃ καθοσιώσει, τοῦ πράγματος ἀπαιτοῦντος, βασανίζονται καὶ οἱ ἥττονες τῶν δε-

ῥωμαϊκόν

ῥωμαϊκόν

ῥωμαϊκόν

ῥωμαϊκόν

καπεσα'

καπεσσάρων ἐτῶν, καὶ οἱ μείζονες. περὶ ὅρων ζητήσεως δὲ καινοτομίας κτίσματος, καὶ ἐξ ἀκοῆς μαρτυροῦντας, δεχόμεθα μάρτυρας. τοῖς μάρτυσι καὶ οὐ τοῖς ἐκ μαρτυρίοις πιστευτέον, αὐτοπροσώπως γὰρ ἐρωτῶνται παρὰ τῶν δικαστῶν ἐπὶ τῶν ἐγκληματικῶν, καὶ ὁ μὴ δεικνὺς τὸ παρ' αὐτοῦ προτεθὲν, ὑβρίζεται. Ἄλλη ἐστὶν αὐθεντία τῶν παρόντων μαρτύρων, καὶ ἄλλη ἡ τῶν ἀναγινωσκομένων ἐκ μαρτυρίων, ὁ γοῦν θέλων ἐπάγειν τοὺς μάρτυρας, δαπάνας αὐτοῖς διδότω,

οἱ μάρτυρες δεκαπέντε μόνον ἡμέρας ἀναγκάζονται παραμένειν τῷ δικαστηρίῳ, ἐν ταῖς χρηματικαῖς δίκαις. πατὴρ καὶ υἱὸς ὑπεξούσιος, καὶ δύο ἀδελφοὶ συνυπεξούσιοι, δύνανται μαρτυρεῖν ἐν πράγματι· οὐδὲν γὰρ βλάπτει ἐξ ἑνὸς οἴκου πολλοὺς ἐν ἀλλοτρίῳ πράγματι μαρτυρεῖν. Ἐὰν τοιοῦτον ἐστὶ τὸ πρᾶγμα, ὥστε δέξασθαι μαρτυροῦντα κυνηγὸν, ἢ τοὺς ὁμοίους, χωρὶς βασάνων οὐ πιστεύονται. Ἐὰν πάντες οἱ μάρτυρες τῆς αὐτῆς τιμῆς καὶ ὑπολήψεως ὦσι, καὶ ἐναντιῶνται ἀλλήλοις, οὐ πάντως τὸ μεῖζον μέρος πιστεύεται, ἀλλὰ τὸ συμβαῖνον τῇ φύσει τοῦ πράγματος, δὲ ὑπονοίας ἔχθρας ἢ φιλίας ἐστερημένον, καὶ βεβαιούμενον ἀπὸ τῆς ψυχῆς τοῦ δικαστοῦ καὶ τεκμηρίων· οὔτε γὰρ τῷ πλήθει δεῖ πιστεύειν, ἀλλὰ τῇ πίστει καὶ τῇ ἀκεραιότητι τῶν μαρτύρων. Δεῖ τοὺς μάρτυρας, πρότερον ὀμνύναι πρινὴ μαρτυρήσωσι, δεῖ δὲ τοῖς τιμιωτέροις μᾶλλον πιστεύειν. ἑνὸς δὲ μαρτυρία οὐκ ἔστι δεκτὴ, ἐν οἵᾳ δήποτε δίκῃ, κἂν συγκλητικὸς εἴη. Ἐπὶ τριάκοντα χρυσίου λίτρας, δὲ δύο ἀρκοῦσι πρὸς μαρτυρίαν, καὶ μέχρι δὲ πεντήκοντα, τρεῖς ἀρκοῦσιν. ἰστέον ὅτι ἀρκεῖ μόνος ὁ ταβελλίων ὁ γράψας τὸ σύμβολον πρὸς μαρτυρίαν, ἐν τῇ συγκείσει τῶν προφερομένων συμβολαίων· ὁμοίως καὶ ἐπὶ τῶν τραπεζιτῶν λόγων, ἀρκεῖ ὁ γράψας, καίτοιγε εἷς νοεῖται· ἀλλὰ καὶ ἐπὶ τῶν ἐμφυτεύσεων, καὶ εἷς μόνος μάρτυς δεκτός ἐστιν. Ὁ προάγων

ῥωμαϊκὸν

ῥωμαϊκὸν

ἀγαγὼν μάρτυρας ἔν τινι δίκῃ, ἐὰν ὕστερον ἐν ἑτέρᾳ δίκῃ κατ᾽ αὐτοῦ φέροιντο, μὴ ἐχέτω ἐξουσίαν παραιτήσασθαι αὐτούς, τυχὸν ὡς εὐτελεῖς, ἢ τι τοιοῦτον. εἰ μέντοι γε δείκνυσιν ἐν τῷ μεταξὺ ἢ ἔχθραν γεγενημένην αὐτῷ δεκτὴν τοῖς νόμοις, καὶ περιουσίαν ὑπόπτους τοὺς μάρτυρας, ἢ πολλάκις ἐλεγχθῇ φανερῶς, ἐπὶ λήμματι γενομένην τὴν μαρτυρίαν, ἐξέστω αὐτῷ παραιτεῖσθαι τοὺς μάρτυρας. εἰ δὲ ὁ δύναται ψευδῆ τὰ παρ᾽ αὐτῶν λεγόμενα δεῖξαι, καὶ τοῦτο ποιείτω. Ὁ τρίτον παραγαγὼν μάρτυρας, οὐκέτι προφέρει κατὰ τὴν ἔκδοσιν τῶν παραγραφῶν. ἐὰν δὲ μὴ ἐξέλαβε μήτε ἐνέτυχε δι᾽ ἑαυτοῦ, ἢ διὰ τοῦ ἰδίου συνηγόρου ταῖς μαρτυρίαις, τότε δύναται πρὸ ἐκδόσεως τῶν παραγραφῶν, καὶ μαρτυρίαν τετάρτην παραγαγεῖν ὀμνύων, ὅτι οὐ κατὰ δόλον ζητεῖ τὴν τῶν μαρτύρων παραγωγήν.

Τὰς ματαίας καὶ ἐκ τοῦ παρήκοντος γινομένας μαρτυρίας, μηδενὶ παντάπασι λόγῳ κρατεῖν βουλόμεθα· τοὺς τοιούτους τινὰς πλάττειν μαρτυρίας, ὡς δι᾽ ἄλλην τινὰ χρείαν παρατυχὼν ἀκούσει τοῦδε λέγοντος, εἰληφέναι παρὰ τοῦδε χρυσίον, ἢ ὀφείλει τόδε· αὗται γὰρ σαφῶς ἡμῖν ὕποπτοι καθεστᾶσι, καὶ οὐδενὸς ἄξιαι λόγου. Εἰς ἀπόδειξιν τοῦ γεγονότος, καὶ ὁ μὴ προσκεκλημένος ὢν μαρτυρεῖ· τοῦτο δὲ οὐκ ἐπὶ συμφώνου φησὶν, ἀλλ᾽ ἐπὶ τῶν συμβεβηκότων καὶ πρακτικῶν.

Ὁ ἅπαξ ἢ δὶς παραγαγὼν μάρτυρας, ἐὰν ἀποτάξηται καὶ διασκέψηται, διὰ τῆς ἐκδόσεως τῶν παραγραφῶν τῶν μαρτύρων, καὶ μάθῃ τὰς μαρτυρίας, οὐ δύναται οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς, ἄλλους παράγειν μάρτυρας. Ἐὰν δὲ ἀπείθειαν οὐ παραγένηταί τις εἰς τὸ δικαστήριον, ἐπὶ τῷ ἀκοῦσαι τῶν μαρτύρων, καὶ μονομερῶς δέχωνται οἱ μάρτυρες. ὕστερον δὲ ἔχει πάσας τὰς παραγραφὰς ἃς ἔμελλεν ἔχειν κατ᾽ αὐτῶν εἰ παρὼν ἐτύγχανεν· πρὸς τοῦτο δὲ μόνον ἡττᾶται, τὸ μὴ ἀπαιτεῖν πάλιν ἐλθεῖν τοὺς μάρτυρας, καὶ ἐνώπιον αὐτοῦ μαρτυ-

ρεῖν. Ὁ μαρτυρῶν περί τινος, ὀφείλει προέχειν τοῦ πράγματος, εἰ μὲν ἐγκληματικὸν εἴη, εἴκοσι χρόνοις· εἰ δὲ χρηματικὸν, χρόνοις δεκαοκτώ, οὐ γὰρ πιστευτέον τῷ μαρτυροῦντι ἐλάττονι ὄντι τῶν ὡρισμένων καιρῶν, ἀτελεῖ γε ὄντι τὴν φρόνησιν, καὶ μὴ δὲ τῶν αὐτοῦ ῥαδίως τυχὸν συνιέναι δυναμένῳ, μήτοιγε μὴν τῶν τοῦ πέλας. Ὁ ἐγκληματικῶς τινὸς κατηγορήσας, οὐ δύναται αὖθις μαρτυρεῖν κατ' αὐτοῦ· ὁ γὰρ χρηματικῶς τινὰ αἰτιασάμενος, οὐ κωλύεται μὲν μαρτυρεῖν κατ' αὐτοῦ, πλὴν ὑπούσης εὐλόγου αἰτίας, κωλύεται.

## ΠΕΡῚ ΚΕΚΩΛΥΜΈΝΩΝ ΜΑΡΤΎΡΩΝ.

Ὁ μεσάσας τισὶν ἐν πράγματι, οὐ μαρτυρεῖ αὐτοῖς ἐν τῇ αὐτῇ ὑποθέσει· δηλονότι παρ' ἄλλῳ δικαστῇ, εἰ μὴ ἄρα συναινέσωσι τὰ δύο μέρη τῇ μαρτυρίᾳ αὐτοῦ. Οἱ πένητες, οὐ μαρτυροῦσι· πένης δὲ ἐστὶν ὁ μὴ ἔχων πεντήκοντα ῑι πλούτου, σίκλ. Οὐ μαρτυρεῖ ἀπελεύθερος κατὰ πάτρωνος, ἢ παίδων αὐτοῦ. Οὐ μαρτυρεῖ ὁ ἥττων τῶν κε̄ ἐτῶν. Οὔτε ὁ ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθεὶς, καὶ μὴ ἀποκαταστάς. ἢ ἐν δεσμοῖς, ἢ ἐν φουρᾷ βληθείς. Οὔτε ὁ ἐλεγχθεὶς λαβεῖν χρήματα ὑπὲρ τοῦ μαρτυρῆσαι, ἢ μὴ μαρτυρῆσαι. Οὐκ ἔστιν ἀξιόπιστος μάρτυς, ὁ κελεύεσθαι δυνάμενος ὑπὲρ τοῦ μαρτυρῆσαι. Ὁ καταδικασθεὶς περὶ μοιχείας, οὐ μαρτυρεῖ.

Υἱὸς πατρὶ, ἢ πατὴρ υἱῷ, οὐ μαρτυρεῖ· οὔτε οἰκεῖος δήποτε ἐν ἰδίῳ πράγματι. Δοῦλος οὐ μαρτυρεῖ. Γυνὴ οὐ μαρτυρεῖ ἐν διαθήκῃ· ἐν ἄλλοις δὲ μαρτυρίας νέμει, ἐν οἷς ἄνδρες οὐ προσκαλοῦνται. Αἱ γυναῖκες κἂν ὑπὲρ σεμνότητι καὶ εὐσεβείᾳ γνωρίζωνται, ὑπὲρ μὲν ἄλλοις κεφαλαίοις οὐ μαρτυροῦσιν, αἷς ἀπείρηται μὴ δὲ διδάσκειν, ἀλλ' ἐν τῇ τῶν ἀκροωμένων τάξει καθεστάναι· ὑπὲρ μὲν τοίγε τούτου, αἱ τὸν εἰρημένον τῆς σεμνότητος τρόπον φυλάττουσαι, δύνανται μαρτυρεῖν. Οἱ δέ γε παλαιοὶ νόμοι τὰς γυναῖκας, ἐν μὲν ταῖς συστατικαῖς μαρ-

τυρίαις

τυρίαις, μὴ μαρτυρεῖν αὐτὰς, ἀποφαίνονται· ἐν δὲ ταῖς ἀποδεικτικαῖς, καλῶς μαρτυρεῖν· συστατικὰς μὲν λέγοντες, διαθήκην, κωδίκελλον, δωρεὰν αἰτία θανάτου· ἀποδεικτικὰς δὲ, τὰς λοιπάς. Ὅτι ἐπὶ τῆς καθοσιώσεως, καὶ ἀνὴρ κατὰ γυναικὸς, καὶ γυνὴ κατὰ ἀνδρὸς, καὶ δοῦλος κατὰ δεσπότου, ὁ υἱὸς κατὰ πατρὸς μαρτυρεῖ· καὶ ὁ τῆς ὑπεξουσιότητος ἐνταῦθα οὐ προσίσταται λόγος, ὅτι πρὸς τὸ τοῦ βασιλέως κράτος, οὐδέν ἐστιν ὁ τῆς φαμηλίας πατὴρ· ἀλλὰ καὶ οἱ ὑπεξούσιοι τούτου συνυπεξούσιοι αὐτῷ εἰσιν. Ὁ κατά τινος ἤδη μαρτυρήσας, οὐ μαρτυρεῖ πάλιν ὑπὲρ αὐτοῦ. Ὁ συνηγορήσας ἢ ἐκβιβάσας ἐν ὑποθέσει, οὐ μαρτυρεῖ ἐν αὐτῇ. Οὐδεὶς ἀπαιτεῖται καθ' ἑαυτοῦ μάρτυρας παραγαγεῖν· ἀλλὰ χρὴ τὸν ἐνάγοντα ὡς βούλεται συστῆσαι τὰς ἰδίας δικαιολογίας. Αἱ οἰκεῖαι ἢ μαρτυρίαι ἀποδοκιμάζονται, ὅταν δηλονότι μέλλῃ τι κτᾶσθαι, ὁ τὴν μαρτυρίαν προφέρων. Κωλύεται ἐν διαθήκῃ μαρτυρεῖν, ὁ ἐν διαθήκῃ τινὸς ὑπογράψας, καὶ μὴ ἀναγκαζόμενος μαρτυρῆσαι· ὃς οὐδὲ ἀναγκάζεται παρὰ τοῦ νόμου μαρτυρῆσαι, κωλύεται δὲ ἐν ἑτέρᾳ διαθήκῃ μαρτυρῆσαι, ἀλλὰ καὶ διαθέσθαι, ἢ ἐξ ἑτέρας διαθήκης κερδᾶναι. Κοινωνὸς ὑπὲρ κοινωνοῦ μαρτυρῶν, οὐκ ἐδέχθη ἕως οὗ ἡ κοινοπραξία ἐλύθη. Κωλύεται μαρτυρεῖν ἄνηβος, καὶ κωφὸς, οἰκέτης, ἄλαλος, μαινόμενος, ἄσωτος, υἱὸς ὑπεξούσιος, ὅτε ὁ πατὴρ αὐτοῦ παρ' ἄλλου γραφῇ κληρονόμος. Καὶ ὁ συνυπεξούσιος ὑπὲρ τοῦ γραφέντος ἐν διαθήκῃ κληρονόμου.

Καὶ ὁ συνυπεξούσιος διατιθεμένου τοῦ ὑπεξουσίου, εἰς τὰ ἰδιόκτητα αὐτοῦ πράγματα. Δυνατὸς κατὰ πενήτων ἐξ ἀγράφου μαρτυρίας δεικνύειν οὐ συγχωρεῖται. Ἐάν τις ἐνὸς ἀνθρώπου κατάθεσιν ἐν ἐκσφραγίσματι προφέρῃ, οὐκέτι δεκτὴ ἡ τοιαύτη μαρτυρία. ΠΕΡΙ' ἈΓΡΑ'ΦΟΥ ΜΑΡΤΥΡΙ'ΑΣ.

Τὸ ἄγραφον διὰ μαρτύρων γινόμενον, ἰσχύει ὥσπερ τὸ ἔγ-

γράφον, καὶ οὐδὲν δύναται ἧττον. Ἄγραφος μαρτυρία κατὰ ἐγγράφου μαρτυρίας, ἰσχύειν οὐ δύναται. Ὅταν ἕτερον μὲν ἡ παράθεσις τῶν γραμμάτων εἴπῃ, ἕτερον δὲ αἱ μαρτυρίαι, τηνικαῦτα ἡμεῖς μὲν οἰόμεθα τὰ παρὰ ζώσης λεγόμενα φωνῆς καὶ μεθ' ὅρκου, ταῦτα ἀξιοπιστότερα τῆς γραφῆς αὐτῆς, καθ' αὐτὰ τυγχάνειν. πλὴν ἀλλὰ ἔσω τούτου, τῆς τοῦ δικάζοντος ἀγχινοίας τε καὶ θεοφιλείας, τὸ τοῖς ἀληθέσι μᾶλλον ἀντὶ τῶν ὑπόπτων πιστεῦσαι. ΣΧΟΛ. Ὁ ἔνδικος ὅρκος τοιοῦτος ἐστὶν, ὅταν τις ἀπελεγχθῇ ἢ βιαίως ἁρπαγὴν ποιησάμενος πραγμάτων, ἢ ἐπέλευσιν κατὰ οἰκίας τινὸς, ἢ κλοπὴν, ἢ ζημίαν ἄδικον, τότε ὀμνύει ὁ ἀντίδικος, ὅτι τόσα ἐζημιώθην ἢ ἀπώλεσα ἐν τῇ γενομένῃ κατ' ἐμοῦ ἐπιθέσει, ἢ βίᾳ, ἢ κλοπῇ, ἢ ἀναισχύντῳ ζημίᾳ, καὶ ἀπολαμβάνει ταῦτα εἰς τὸ ἁπλοῦν ἀπὸ τοῦ ἀντιδίκου. πλὴν οὐκ ἀβασανίστως πάντα ὁμόσει λαμβάνει, ἀλλὰ μετὰ ταξατίωνος ἤγουν δικαίας διατιμήσεως. ὁρίζει γὰρ ὁ δικαστὴς, καὶ τυποῖ τὴν ἀξίαν τοῦ ἐνάγοντος καὶ τὸν τόπον, ἐν ᾧ ἡ ἀπώλεια γίνεται, καὶ κατ' ἐκεῖνο πολυΐστᾳ τὸ ποσὸν, καὶ τότε προτρέπει αὐτὸν, ἐπομόσασθαι ὅτι οὐχ ἧττονα τῶν τοσούτων ἀπώλεσεν. Οἱ πλαστῶς ἢ ἐναντίως ἑαυτοῖς, ἢ ὑπὲρ τῶν δύο μερῶν μαρτυρήσαντες, ὑπὸ τῶν προσφόρων ἀρχόντων τιμωροῦνται.

## ΠΕΡΙ ὈΡΚΟΥ. ΤΙΤΛ. Ζ.

Ὁ ὅρκος ἐν ἀπορίᾳ τῶν ἀποδείξεων, παρὰ τῶν δικαστῶν ἐπιφέρεται· καὶ ἐπὶ τῶν ἀγροικῶν αἵ τινες οὐκ ἔχουσι δῆλον ἄλλοθεν τὴν ἀλήθειαν. Ἐν τοῖς ἀμφιβόλοις εἴωθεν ὁ δικαστὴς ὅρκον ἐπιφέρειν, καὶ οὕτω ψηφίζεσθαι. ἐὰν οὖν ὁ καταδικασθεὶς εὑρηκέναι λέγῃ μετὰ ταῦτα δικαιώματα, οἷς μόνοις αὐτοῖς θέλῃ χρήσασθαι, ἄνωθεν κινεῖ. εἰ δὲ ὁ ἀντίδικος ἐπαγάγοι τὸν ὅρκον, οὐκ ἀναψηλαφᾶται ἡ ὑπόθεσις. Ὁ ὅρκος ἐπιφερόμενος εἴτε παρὰ τοῦ ἀντιδίκου, εἴτε παρὰ τοῦ δικαστοῦ, τέ-

μνει τὴν ἀμφισβήτησιν, ἔοικε γὰρ διαλύσει, ἡ μείζων ἐστὶ ψήφου. Ὁ ἐξ ἐπιφορᾶς ἐμῆς ὀμνύμενος ὅρκος, οὐκ ἀναψηλαφᾶται, εἰ καὶ προφανὴς ἐπιορκία δείκνυται, ὅτι ὁ ὅρκος, λύσιν φιλικῆς ἐνοχῆς καὶ διάλυσιν μιμεῖται. Ὁ μηδενὸς ἐνάγοντος ὀμνὺς, οὐκ ὠφελεῖται. Ἐπενεχθέντος τοῦ ὅρκου, ὀφείλει ἐναγόμενος, ἢ ὀμόσαι, ἢ καταβαλεῖν, ἢ ἀντεπαγαγεῖν. εἰ μὴ ἄρα ὁ ἐνάγων ἐμποδίζει, μὴ ἀνεχόμενος αὐτὸς τὸν περὶ συκοφαντίας ὅρκον, τὸ οὐχ ὡς συκοφαντῶν σε βούλομαι λαβεῖν παρὰ σοῦ τὸν ὅρκον, ἀλλ' ὡς νομίζων δικαίως ἐνάγειν.

Ἐάν τις τῶν δικαζομένων ὀμόσῃ μὴ δεδωκέναι ἢ ἐπαγγείλασθαι, εἰ ἐντὸς τεσσάρων μηνῶν μετὰ τὸ προσενεχθῆναι τὴν ψῆφον ἀριθμουμένων, δειχθῇ δεδομένον ἢ ὑποσχεθὲν τετραπλοῦν ἀπαιτεῖται· μετὰ δὲ τοὺς τέσσαρας μῆνας, οὐκέτι τοιοῦτόν τι ζητεῖται. Ἐάν τις ἐπαγαγὼν ὅρκον τινὶ, πρὶν ὀμοθῆναι τὸν ὅρκον μεταμεληθεὶς μηκέτι βουληθείη δοθῆναι τὸν ὅρκον, ὡς εὐπορήσας ἑτέρων ἀποδείξεων, μηκέτι ἐξέστω αὐτῷ ἐκ δευτέρου, ἐπιφέρειν τὸν ὅρκον, ἐπειδὴ ἅπαξ ἀπηγόρευσεν. Ὁ ἐπάγων, πρῶτον ὄμνυσι τὸν περὶ συκοφαντίας. Ὁ ἐπαγαγὼν ὅρκον καὶ μὴ ὀμνὺς τὸν τῆς συκοφαντίας, ἔοικε τῷ παραχωροῦντι τὸν ὅρκον, καὶ ἐκπίπτει τῆς ἀγωγῆς.

## ΠΕΡΙ ΑΝΗΒΩΝ.

Ἄνηβος παραχωρεῖν ὅρκον οὐ δύναται. Ὅρκος οὐκ ἐπιφέρεται ἀνήβῳ, οὔτε συνήγορος, οὔτε διοικητὴς ἀναγκάζεται ὀμόσαι. Ὁ ἄσωτος καὶ οἱ ἐοικότες αὐτῷ, οὐκ ἐπάγουσιν ὅρκον· μόνοι δὲ ἐπάγουσιν οἱ δυνάμενοι συμφωνεῖν, ἢ καταβάλλειν ἢ δικάζεσθαι. Εἰ δὲ οἵας δήποτε ἡλικίας, ἢ φύσεως εἴη ὁ ὀμόσας, ἔρρωται· δοκεῖ δὲ μὴ ἐπιορκεῖν ὁ ἄνηβος, ἐπειδὴ ἐν εἰδήσει οὐ δοκεῖ ἀπατᾶν. Ἐὰν ὀμόσω χρεωστεῖσθαι ἐξ ἀγωγῆς διπλασιαζομένης τῇ ἀρνήσει, τὸ ἁπλοῦν μόνον ἐκ τοῦ ὅρκου ἀπαιτῶ. Ὁ ὀμόσας μὴ χρεωστεῖν, εἰ καταβάλλοι, ἀνα-

λαμβάνει. οὐδεὶς κατὰ τοῦ θεοῦ ὀμόσας κινδυνεύει· ἱκανὸς γὰρ ὁ ὅρκος ἔχειν τιμωρὸν τὸ θεῖον, εἰ κατὰ τοῦ θεοῦ γέγονεν. εἰ δὲ κατὰ βασιλέως κατά τινα θερμότητα ὤμοσέ τις, συγχωρεῖται. Ὁ ἐπὶ χρήμασι κατὰ τοῦ βασιλέως ὀμόσας καὶ ἐπιορκήσας, ῥοπαλίζεται. Ὁ ἐκ δικαστικῆς ψήφου, ἢ ἐξ αἰτήσεως τοῦ ἀντιδίκου ὅρκον ἐπέχων ἐν ἐκκλησίᾳ, τῶν ἀχράντων ἐφαπτόμενος εὐαγγελίων· ἐπιορκεῖν δὲ μετὰ ταῦτα ἐλεγχθείς, γλωσσοκοπείσθω· τὸ αὐτὸ καὶ ἐπὶ μαρτύρων.

## ΠΕΡῚ ΣΥΜΒΟΛΑΙ΄ΩΝ. Τίτλ. η΄.

Συμβόλαιόν ἐστιν, ὑπόμνημα ἤτοι καταγραφὴ τῶν συμφωνηθέντων καὶ στοιχηθέντων, μεταξὺ ἑκατέρων τῶν συμφωνούντων καὶ συμβαλλόντων. τὸ δὲ μίγμα τῶν βουλημάτων καὶ τῶν συμβαλλόντων προσώπων, συμβολὴ καλεῖται· καὶ τὸ ἀπὸ ταύτης ἔγγραφον σύνταγμα, συμβόλαιον ὀνομάζεται. Ἐν τοῖς συναλλάγμασι, ἡ τῶν πραγμάτων ἀλήθεια σκοπείσθω μᾶλλον, ἤπερ τὸ ἔγγραφον. τῷ συμβολαίῳ δεῖ καὶ μάρτυρας τρεῖς παρεῖναι, ἵνα τὸ πιστὸν ἔχῃ, καὶ πάσης εἴη ἀντιλογίας ἐκτὸς καὶ διαβολῆς. Ἐπὶ παντὸς συμβολαίου, ζητοῦμεν πρότερον τὰς ἀποδείξεις ἐκ τοῦ προσενεγκόντος, καὶ μετὰ ταῦτα ἐκ τοῦ λέγοντος πλαστὸν εἶναι τὸ συμβόλαιον. Εἴπερ τις ἔν τινι συμβολαίῳ, ἑτέρου ποιήσεται μνήμην συμβολαίου, μηδεμίαν ἐκ ταύτης τῆς μνήμης ἀπαίτησιν γίνεσθαι· πλὴν εἰ μὴ καὶ δι' ἕτερον συμβόλαιον οὗ τινος μνήμη κατὰ τὸ δεύτερον γέγονε προκομισθείη, ἢ ἑτέρα παραχθείη κατὰ νόμους ἀπόδειξις, ὅτιπερ καὶ ἡ ποσότης ἧς μνήμη γέγονε, ταῖς ἀληθείαις ἐποφείλεται.

Ὁ ἐν ὑπομνήμασιν ὁμολογήσας μὴ κεχρῆσθαι συμβολαίῳ, οὐκέτι αὐτῷ χρῆται. Ἡ τῶν συμβολαίων ἀπώλεια, οὐκ ἀναιρεῖ τὰς ἀρχὰς, ἐν ᾧ δυνατόν ἐστιν ἑτέρως δειχθῆναι τὸ ἀληθές. οὐδεὶς ἀπὸ τῶν οἰκείων συμβολαίων, ἢ τῆς ἑαυτοῦ ὑπομνήσεως, ἀξιόπιστον ποιεῖ τοῦ χρέους τὴν μαρτυρίαν.

οὔτε ὁ δημόσιος, οὔτε ἰδιώτης ἐκ τῶν ἰδίων ὑποσημειώσεων, δύναται ποιεῖσθαι χρέους ἀπόδειξιν κατά τινος, δι' ὧν γράψαι ἐν δημοσίοις χάρταις· ὅτι ὁ δεῖνα χρεωστεῖ τόσα· εἰ ἢ ἀπὸ τὸν ἰδιώτην ἐντάξαι ἐν τοῖς ἰδίοις λόγοις, ὅτι ὁ δεῖνα μοι χρεωστεῖ.

## ΠΕΡΙ ἸΔΙΟΧΕΙΡΩΝ.

Ἐξ ἰδιοχείρων μηδεμίαν γίνεσθαι σύγκρισιν, εἰ μὴ ἄρα τριῶν ὑπογραφὰς μαρτύρων ἔχωσι τὰ χειρόγραφα, καὶ αὐτοὶ οἱ μάρτυρες συνομολογήσωσιν, ὅτι ὑπέγραψαν· ἢ ἀρνούμενοι περὶ τῆς ἰδίας χειρὸς, ἀπὸ συγκρίσεως τῶν ἰδίων γραμμάτων ἐλεγχθῶσιν, ἀλλ' ἐκ μόνων τῶν ἀγοραίων. εἰ δὲ τῆς αὐτῆς χειρὸς ὅπερ ὁ ἐναντίον μέρος προκομίσειε γράμματα, τότε μὴ διαβάλλεσθαι, ᾧ γὰρ ὁ ἐναντίος πιστεύει, καὶ ὃ προκεκόμικε, καὶ διὰ τοῦ τὰ οἰκεῖα ἐπιρρώννυσι, τοῦτο οὐκ ἂν διαβάλλοι, καὶ τὸ ἐκ τῶν δημοσίων προκομιζόμενον, καὶ δημοσίαν ἔχον μαρτυρίαν αὐτόχειρον, καὶ τοῦτο δεκτὸν εἶναι πρὸς τὰς συγκρίσεις τίθεμεν.

## ΠΕΡΙ ὍΡΚΩΝ.

Ὅτι καὶ μὴ παρόντων μαρτύρων, διὰ ὅρκων πιστοῦται τὰ αὐτόχειρα. Ὁπόσα ἄν τις ὑπὲρ ἑαυτοῦ ἐν ἰδίᾳ φήσειεν ἢ γράψειε διαθήκῃ, ταῦτα μηδὲν ὠφελεῖν αὐτὸν, μήτε τοῖς δανεισταῖς προκρίνειν, ἀλλ' ἐκείνοις ἄδεια ἔστω πάντα [illegible] ὃν ἂν βούλοιντο τρόπον. Ὅτι ἐπὶ τῶν ἀγράφων συναλλαγμάτων, ἢ τὴν διὰ μαρτύρων ἢ τὴν δι' ὅρκου δεχόμεθα πίστιν· τοῦ μὲν ἐνάγοντος, τοὺς μάρτυρας παράγοντος, τοῦ φεύγοντος δὲ ὀμνύντος ἢ καὶ ἀντεπάγοντος, καθάπερ ἂν ὁ δικαστὴς τὴν ὑπόθεσιν τάξειεν. Ὁ τὴν ἰδίαν συγγραφὴν, ἢ τὴν ἐπ' αὐτῇ γινομένην καταβολὴν ἀρνούμενος, τὸ διπλάσιον μετ' ἐλέγχου καταθήσει· ὁ δὲ παραυτὰ τοῦ ἀρνήσασθαι διὰ τῆς ἐπιφορᾶς ὅρκου τὴν ἀλήθειαν φανερῶν, ἐκφεύξεται τὴν καταδίκην τοῦ διπλασίονος, βραδέως δὲ ὁμολογῶν, καταθήσει τὰς δαπάνας τῆς δίκης ὅρκῳ τοῦ ἀντιδίκου.

## ΠΕΡΙ ΣΥΜΦΩΝΩΝ. Τίτλ. θ.

Σύμφω-

Σύμφωνόν ἐστι, δύο τινῶν ἢ καὶ πλειόνων ἀρέσκεια, καὶ ἐς ταυτὸ συγκατάθεσις, ἐπὶ τῷ συστῆναί τινα γενέσθαι, ἢ διαλυθῆναί τι. εἰσὶ δὲ σύμφωνα, καὶ ἴδια καὶ δημόσια· ἴδια μὲν τὰ ἐν τοῖς καθ' ἕκαστον ἄνθρωπον γινόμενα. δημόσια δὲ, τὰ περὶ ἐξουσιαστῶν καὶ ἡγεμόνων ἐθνῶν, πρὸς εἰρήνην τυχὸν, ἢ ἄλλο τι τοιοῦτον. ὍΡΟΣ ΣΥΜΦΏΝΟΥ καὶ διαλύσεως.

Σύμφωνόν ἐστιν, ὁμολογουμένου χρέους συγχώρησις· διάλυσις δὲ, ἀμφιβαλλομένου χρέους συμβιβασμός. Συμφωνεῖ τις καὶ ἀπὼν καὶ παρὼν, καὶ δι' ἐπιστολῆς καὶ ἀγγέλου, καὶ σιωπηρῶς. ὅταν ἀποδῷ τῷ χρεώστῃ τὸ γραμματεῖον. ἔχει γὰρ τῷ χρέει τὴν παραγραφήν. Δύναται συμφωνία καὶ ἀγράφως καὶ ἐγγράφως συνίστασθαι. οὐ δυνατὸν συμφωνεῖν οὕτως, ὥστε ἀπὸ τῶν δύο μερῶν τῶν ποιούντων τὰς συμφωνίας τὸ μὲν, μόνον τὸ κέρδος ἔχειν· τὸ δὲ, τὴν συμφωνίαν μόνην.

ΠΕΡῚ ΨΙΛΟΥ͂ ΣΥΜΦΏΝΟΥ.

Τῶν συμφώνων ὅσα μὲν ἔχουσι πρόστιμα καὶ ἀνάγκην τοῦ πληροῦσθαι, ταῦτα κρατοῦσι καὶ ψηφίζεται ὁ χρόνος ἀπὸ τῆς ποιήσεως τοῦ συμφώνου. ὅσα δὲ οὐκ ἔχει πρόστιμον, οὐδὲ ἀνάγκην τοῦ πληρωθῆναι, τούτων οὐδὲ ὁ χρόνος τῆς ποιήσεως ψηφίζεται.

Τὸ ψιλὸν σύμφωνον, ἀγωγὴν οὐ τίκτει, ἀλλὰ παραγραφήν. ψιλὸν δὲ σύμφωνόν ἐστιν, ἡνίκα μὴ προσγένηται δόσις, ἀλλὰ μόνον συστῇ ἐπὶ δόσει· ἐν ἀρχῇ δὲ γινόμενον, τίκτει τὴν ἀγωγὴν, ὡς ἐπὶ τῶν καλῇ πίστει δικαστηρίων. εἰ δὲ μετὰ χρόνου συμφωνηθῇ τι, τῷ μὲν ἐνάγοντι οὐ συμβάλλεται· τῷ δὲ ἐναγομένῳ τίκτει παραγραφήν. Ἡ δὲ τριακοστὴ ὀγδόη νεαρὰ τοῦ καίσαρος Λέοντος, οὕτω φησί· θεσπίζομεν ἐν παντὶ συμφώνῳ, ἐν ᾧ ἂν τὸ ἐκ τῶν θείων συναλλάξεων ἐχέγγυον, πρὸς τὴν ἀξιοπιστίαν προσῇ, τὴν ἰσχὺν παρεῖναι κραταιάν τε καὶ ἄλυτον, κἂν μηδεὶς λόγος προτιμήσεως συνεγέγραπτο. Μεταξὺ πατρὸς καὶ υἱοῦ ὑπεξουσίου, σύμφωνον οὐ συνίσταται. Τὸ πα-

ρὰ

ρὰ φύσιν τοῦ συναλλάγματος, εἰ μὴ σύγχρονόν ἐστι συμφωνούμενον, οὐ συμβάλλεται τῷ ἐνάγοντι τῷ δὲ ἐναγομένῳ, τίκτει παραγραφήν. ὅσα δὲ κατὰ τὴν φύσιν τοῦ συναλλάγματος πράγματος μὴ τυχόντα συμφωνεῖται, ταῦτα τῷ ἐνάγοντι καὶ τῷ ἐναγομένῳ, ὡς ἐνόντα συμβάλλεται. Παρὰ τὰ κοινὰ νόμιμα συμφωνεῖν οὐκ ἔξεστιν, οὐ δὲ λεγατεύειν· καὶ ἐάν τις ὀμόσῃ ἐπὶ τοῖς τοιούτοις μὴ ἐνάγειν, οὐκ ἔρρωται. τοῦ δὲ συμφώνου παρανόμου ὄντος, οὔτε ἐπερώτησις γενομένη κρατεῖ. Διὰ ἰδιωτικοῦ συμφώνου, τὸ κοινὸν νόμιμον οὐκ ἐναλλάσσεται.

Ὅσα σύμφωνα γίνεται, ἢ ὑπεναντία νόμων, ἢ ὑπεναντία τῶν καλῶν τρόπων, ταῦτα μηδεμίαν ἔχειν ἰσχύν, ἀναμφιβόλου νομίμου ἐστίν. Οὐ δύναταί τις πρόσιμον ἐπερωτᾷν, ὑπὲρ τὴν τῶν νομίμων τόκων ποσότητα. Ἀπὸ ἰδιωτικοῦ συμφώνου, τὸ κοινὸν νόμιμον οὐκ ἐναλλάσσεται, εἰ καὶ τὰ μάλιστα κατ' ἀρχὰς αἱ ἀγωγαὶ ἀπὸ συμφώνου ἐναλλάσσονται, τῷ αὐτῷ δικαίῳ, ἢ διὰ παραγραφῶν. ἘΠΕΞΗΓΗΣΙΣ.

Σκοπὸς τῷ νομοθέτῃ τὰς κοινὰς νομοθεσίας, τουτέστι τὰς κοινῶς καὶ χρησίμως παντὶ εἰσαχθείσας, μὴ ἀνατρέπεσθαι ἀπὸ ἰδιωτικῶν συμφώνων, τουτέστιν ἀπὸ τῶν ἀρεσκειῶν τοῦ καθ' ἕκαστον. διότι λέγω κοινὸν νόμιμον ἐστί, τὸ ἕνα ἕκαστον ὅτε πλουτεῖ ἐξουσίαν ἔχειν, γράφειν ὃν βούλεται κληρονόμον, καὶ διαιρεῖν τὴν κληρονομίαν ὡς βούλεται, καὶ ληγάτα καταλιμπάνειν οἷς θέλει, καὶ τοῦτο πᾶσι συμφέρει. εἰ ποιῶ μετά τινος ὅτι σύμφωνον κατατίθεμαι, ἵνα ἐξάπαντος ὅτε πλουτῶ γράψω σε κληρονόμον, καὶ ὅτι οὐκ ἔξω ἐπ' ἀδείας ἄλλον τινὰ γράφειν κληρονόμον, εἰ μὴ σε· καὶ ἐὰν οὐ γράψω σε κληρονόμον, ἵνα δίδωμι ἔτι ὁ ἐμὸς κληρονόμος τι τόσα, ἢ ἵνα γένηται τόδε. καὶ πλουτῶν οὐ κωλύεται ἀπὸ τοῦ τοιούτου συμφώνου, γράψαι ὃν βούλεται κληρονόμον, καὶ διανεῖμαι τὰ αὐτοῦ ὡς θέλει. καὶ ἐὰν προβάλληται ὁ λαβὼν τὸ σύμφωνον, ὅτι ἐγώ εἰμι κληρο-

νόμος ἀπὸ τοῦ συμφώνου, ἀκούσει γὰρ τὸ τοιοῦτον σύμφωνον, οὐ κρατεῖ. κοινὸν γὰρ νόμιμον καὶ κοινωφελὲς, διὰ ἰδιωτικοῦ συμφώνου, οὐκ ἀναιρεῖται. καὶ πάλιν λέγει ὁ νόμος, ὁ ἀνὴρ τῇ γυναικὶ, ἢ ἡ γυνὴ τῷ ἀνδρὶ ἐν συνεστώσῃ τῷ γάμῳ δωρεῖσθαι οὐ δύναται· καὶ ἔστι τοῦτο κοινὸν καὶ πᾶσι χρήσιμον· εἰ γοῦν συμφωνήσει ἅτερος ἐκ τούτων δωρήσασθαι τῷ ἑτέρῳ· εἰ δὲ μὴ δωρήσεται δοῦναι πρόστιμον, οὐδὲν ποιεῖ. τὸ γοῦν τοιοῦτον σύμφωνον ὡς εἴρηται, ἀνίσχυρόν ἐστι, καὶ τὸ μὲν κοινὸν νόμιμον, διὰ συμφώνου οὐκ ἐναλλάσσεται· αἱ δὲ ἀγωγαὶ ἐναλλάσσονται διὰ συμφώνων, καὶ τῶν νόμων τὴν ἀγωγὴν ταύτην τοιάνδε λεγόντων, δύνανται οἱ συναλλάσσοντες ἐναλλάσσειν αὐτὴν διὰ συμφώνου· διὰ τί λέγω. λέγει ὁ νόμος γὰρ ἐπὶ τῆς πράσεως, ἀναγκαίως ἕπεται ἡ διπλᾶ, τουτέστι, τὸ ἐπερωτᾶσθαι τὸν πωλοῦντα, γὰρ ἐὰν ἐκνικηθῇ τὸ πρᾶγμα, ἵνα δώσω τὸ τίμημα εἰς τὸ διπλοῦν· ἐγὼ οὖν πωλῶν πρᾶγμα, δύναμαι ἐναλλάσσειν τὴν ἀγωγὴν καταρχὰς, καὶ λέγειν ἐν τῇ πράσει οὕτως, πωλῶ τὸ πρᾶγμα, ἵνα ἀπὸ τοῦ ἐντεῦθεν εἰμὶ ἀνένοχος, καὶ οὐκ ἀναγκασθήσομαι δεφενδεῦσαι, ἢ ἐὰν ἐκνικηθῇ τὸ πρᾶγμα, οὐ δώσω τὸ οἱονοῦν, οὐ διπλοῦν οὐχ ἁπλοῦν. εἰ δ' ἴσως τοῦ νόμου λέγοντος τοιῶσδε γίνεσθαι τὰς πράσεις, καὶ ἀγωγὴν εἶναι ταύτας ἀναγκάζουσαν τὸν πράτην δεφενδεύειν καὶ ἐπερωτᾶσθαι τὴν διπλᾶν, τὸ σύμφωνον ἐνήλλαξε ταῦτα καὶ κρατεῖ ἐνταῦθα ἡ μετατύπωσις, καὶ ἐναλλαγή. καλῶς δὲ εἶπε τὸ κεφάλαιον, τὸ καταρχάς· οὕτως ἀπαιτεῖ ἡ ἀκρίβεια. εἰ μὲν γὰρ ἐν τῇ ἀρχῇ καὶ τῇ τυπώσει τῆς ἀγωγῆς συμφωνηθῇ τι, μετατυποῖ τὴν ἀγωγήν. δι' ἐὰν πωλῇ τις πρᾶγμα ὡς εἴπομεν ἀπὸ τῶν νόμων καὶ τῆς φύσεως τῆς ἀγωγῆς, ἀναγκάζεται ἐπερωτηθῆναι τὴν διπλᾶν, οὐ μὴν καὶ ἐγγυητὴν διδόναι. εἰ δὲ ἐν ἀρχῇ θελήσει καὶ δώσει ἐγγυητὴν, κρατεῖ τὸ σύμφωνον καὶ ἐνέχεται ὁ ἐγγυητής. τοῦτο δὲ οὐκ ἐπὶ μόνης πράσεως, ἀλλ' ἐπὶ πάσης ἀγωγῆς καλῇ πίστει. δι' ἐὰν εἰς

χρῆσιν

χρῆσιν δῶσω τινὶ πρᾶγμα, ἢ εἰς παραθήκην, ὁ νόμος ἀπὸ αὐτοῦ τοῦ παραθηκαρείου δηλαδὴ οὐκ ἀπαιτεῖ μεγάλην ἐπιμέλειαν· οὐ δὲ λέγει κινδυνεύειν ἐπὶ τοῖς τυχηροῖς τὸν χρησάμενον. ἀλλ᾽ ἐὰν τῇ ἀρχῇ ὅτε τὸ πρᾶγμα δίδωμι εἰς χρῆσιν συμφωνήσῃ κινδυνεύειν ἐπὶ τοῖς τυχηροῖς, κινδυνεύει. κρατεῖ γὰρ τὸ σύμφωνον, καὶ μετατυποῖ τὴν ἀγωγήν, καὶ τὰ μὲν ἐν ἀρχῇ γινόμενα σύμφωνα, ἐναλλάσσουσι τὴν ἀγωγὴν αὐτῷ τῷ δικαίῳ τέλος ἀπὸ αὐτοῦ τοῦ νόμου γνωρίζοντος τὴν μετατύπωσιν, ὅπερ ῥωμαϊστὶ ἰπσοίουρε λέγεται· ὅτε δὲ ἐν ἀρχῇ σύμφωνον οὐ γίνηται, γίνηται δὲ μετὰ ταῦτα, τότε ἐναλλάσσει μὲν τὴν ἀγωγήν, πλὴν τῷ μὲν ἐνάγοντι οὐ συμβάλλεται· τῷ δὲ ἐναγομένῳ δίδωσι παραγραφήν. δι᾽ νόμος ἐστὶ τὰ κινητὰ τῆς προικὸς δίδοσθαι μετὰ ἐνιαυτόν. εἰ γοῦν μετὰ τὸ λυθῆναι τὸν γάμον συμφωνήσῃ ἡ γυνὴ λαβεῖν τὰ κινητὰ ἀπεντεῦθεν, οὐδὲν ὠφελεῖ αὐτὴν τοῦτο τὸ σύμφωνον, διὰ τὸ μὴ ἐν ἀρχῇ γενέσθαι τοῦ συναλλάγματος. εἰ δὲ μετὰ τὸν γάμον συμφωνήσῃ ἡ γυνὴ καὶ τὰ ἀκίνητα μετ᾽ ἐνιαυτὸν λαβεῖν, συμβάλλεται τοῦτο τῷ ἀνδρί, καὶ ἐναλλάσσει τὴν περὶ προικὸς ἀγωγήν, ὡς ἐξ ἀρχῆς συμφωνηθεῖσαν καὶ ἀμείψασαν τὴν φύσιν τοῦ συναλλάγματος· πῶς γὰρ ὁ καιρὸς τοῦ γάμου, ἀρχὴ τυγχάνει τοῦ συναλλάγματος, ὥστε ἐὰν κινῇ ἡ γυνὴ καὶ κατὰ τὴν φύσιν τῆς περὶ προικὸς ἀγωγήν, καὶ ἀπαιτῇ τὰ ἀκίνητα μετὰ τὴν λύσιν τοῦ γάμου, ἀπεντεῦθεν ἀπαιτοῦσα ἐκβληθήσεται, εἴποι γάρ· ἀλλ᾽ εἰ μὴ συνεφώνησας ὦ γύναι, καὶ τὰ ἀκίνητα μετ᾽ ἐνιαυτὸν ἀπαιτῆσαι· οὕτως οὖν ἐναλλάσσονται αἱ ἀγωγαὶ αὐτῷ τῷ δικαίῳ, ἢ διὰ παραγραφῆς, τουτέστιν, εἰ μὲν ἐν ἀρχῇ τοῦ συναλλάγματος γίνηται ἡ ἐναλλαγή, ἐπιγινώσκει ταῦτα ὁ νόμος, καὶ συμβάλλεται καὶ τῷ ἐνάγοντι καὶ τῷ ἐναγομένῳ· ὡς αὐτῷ τῷ δικαίῳ ἤτοι ἰπσοίουρε ἐναλλασσομένης τῆς ἀγωγῆς, καὶ ὠφελούσης καὶ ἀμφοτέρους. εἰ δὲ μετὰ ταῦτα γίνηταί τι μετὰ τὴν ἀρχήν, τῷ μὲν ἐνάγον-

ζει ὁ συμβάλλεται. περὶ δὲ ἐναγομένου τίκτει παραγραφὴν, καὶ ἐν τούτῳ ἐναλλάσσεται ἡ ἀπαγωγὴ διὰ παραγραφῆς.

οὐδεὶς συμφωνῶν ἢ ἐπερωτῶν, ἀσφάλειαν ἑτέρῳ προσποιεῖται. ΣΧΟΛ. Ἴσθι ὡς ἐν προθεωρίᾳ, ὅτι ὅταν αἱ κέραμοι τῆς ἐμῆς κατοικίας τοὺς σταλαγμοὺς κατὰ τῆς αὐλῆς τοῦ γείτονός πέμπωσιν ἢ παράθυρον ἔχω ἐξάγοντα εἰς τὴν αὐλὴν τοῦ γείτονος, δουλείαν λέγομαι ἔχειν κατὰ τῆς οἰκίας τοῦ γείτονος. τοῦτο εἰδὼς, ὅρα τὸ προκείμενον. ῥέπων τις εἶχε δύο οἰκίας, ὧν ἑκάστη κατὰ τῆς ἑτέρας ἠφίει τοὺς σταλαγμοὺς, καὶ παραθύρους εἶχε κατοπτευούσας τὴν ἑτέραν, ἐπώλησε πρός με τὴν μίαν, παρακατασχὼν τὴν ἑτέραν, καὶ ἐν τῇ πράσει ἔγραψε οὕτως. οἱ σταλαγμοὶ τῶν κεράμων καὶ αἱ παράθυροι, ὡς εἰσὶν σήμερον ἔστωσαν. παρέδωκέ μοι τὴν διαπραθεῖσαν, καὶ ἐπιχειρεῖ τὰς θυρίδας τῆς παρακατασχεθείσης παρ' αὐτοῦ οἰκίας, ἀνοίγειν καὶ κατοπτεύειν με. καὶ κωλύω τοῦτον ἐγὼ, κινεῖ κατ' ἐμοῦ ὁ πωλήσας μοι, καὶ ζητεῖ παραχωρηθῆναι παρὰ τοῦ δικαστηρίου ἀνοίγειν τὰς θυρίδας αὐτοῦ· χρώμενος εἰς βοήθειαν τοῖς ῥήμασι τῆς πράσεως, τοῖς λέγουσιν, ὡς εἰσὶ σήμερον αἱ παράθυροι καὶ οἱ σταλαγμοὶ τῶν κεράμων ἔστωσαν. ἀντιμάχομαι ἐγὼ καὶ λέγω, μᾶλλον ἀπὸ τῶν ῥημάτων τῆς πράσεως καταδικάζεσθαι τὸν πράτην, ὄντων ἀμφιβόλων, καὶ μὴ δηλούντων περὶ ποίων παραθύρων καὶ σταλαγμῶν ταῦτα συνεφώνησαν· ἆρα περὶ τῶν παραθύρων τῆς κατασχεθείσης οἰκίας παρὰ τοῦ πράτου, ἢ περὶ τῶν παραθύρων τῆς διαπραθείσης πρὸς ἐμέ. τῆς γοῦν ζητήσεως οὔσης τοιαύτης καὶ τῶν ῥημάτων ἀμφιβόλων, ὁ νομοθέτης λύει τὸ ζήτημα, καὶ φησὶ κατὰ τοῦ πράτου νοεῖσθαι καὶ ἑρμηνεύεσθαι τὰ ἀμφίβολα σύμφωνα, καὶ καταναγκάζεται ἀποφράξαι τὰς ἰδίας θυρίδας, τῶν ἐμῶν μενουσῶν ἀνεῳγμένων. ἔξεστι γὰρ αὐτῷ εἴπερ μὴ πρὸς ἀπάτην ἀφορᾷ τοῦ ἀγοραστοῦ, καθαρῶς συμφωνῆσαι καὶ εἰπεῖν, τὸ ὀφείλουσιν μένειν καὶ αἱ τοῦ ἐμοῦ πα-

κραζομένης οἰκίας παράθυροι ἠνεῳγμέναι. κύριος γὰρ αὐτὸς ἦν τοῦ μὴ ἀποκτήσασθαι τὴν διαφέρουσαν αὐτῷ οἰκίαν. ἐπὶ μὲν οὖν τοῦ πράτου τὸ ἀσαφὲς σύμφωνον, κατ' ἐκείνου ἑρμηνεύεται· ὡσαύτως καὶ ἐπὶ τοῦ μισθώσαντος διὰ τὴν αὐτὴν αἰτίαν. ἐπὶ δὲ τῆς ἐναγωγῆς, τὸ ἀνάπαλιν λέγομεν, ἀμφιβολίας οὔσης. οἷον ἐπὶ θέματος, εἶχέ τις δύο δούλους πέτρους· τὸμ μὲν, ἰατρὸν· τὸμ δὲ, μή τινα τέχνην ἐπιστάμενον· ἐκίνησα κατ' αὐτοῦ ζητῶν δοῦλον πέτρον, καὶ καταδικάζειν αὐτὸν ἔμελλον. ἐζήτουν οὖν λαβεῖν τὸν ἰατρὸν, ὁ δὲ ἐναγόμενος ἐδίδου τὸν ἕτερον, καὶ ἦν μέσον ἡμῶν ἀμφιβολία, ἐμοῦ μὲν λέγοντος ὅτι περὶ τοῦ ἰατροῦ κεκίνηκα, καὶ περὶ αὐτοῦ ἐνεθυμούμην· τοῦ δὲ ἐναγομένου τὰ ῥήματα τῆς ἐναγωγῆς προτεινομένου ἁπλᾶ τυγχάνοντα καὶ μὴ μνημονεύοντος τοῦ ἰατροῦ. λύει τοίνυν ὁ νομοθέτης τὴν διαμάχην, καὶ φησὶ τὴν ἀμφίβολον ἐναγωγὴν, μὴ βλάπτειν τοὺς ἐναγαγόντα, ἀλλὰ μᾶλλον ὑπὲρ ἐκείνου νοεῖσθαι, καὶ οὕτως δέχεσθαι καὶ τῷ δικαστηρίῳ, ὥσπερ καὶ παρ' ἐκείνου ἑρμηνεύεται. λέγει γὰρ καὶ ἐν τῷ ἑβδόμῳ βιβλίῳ ῥητῶς, οὑτωσίν· ἡ ἀμφίβολος ἀγωγὴ ἤγουν ἡ ἀφήγησις, ὑπὲρ τοῦ ποιοῦντος αὐτὴν ἑρμηνεύεται· τὴν δὲ ἀμφίβολον ἐναγωγὴν, δεχόμεθα ἑρμηνευομένην παρὰ τοῦ ἐνάγοντος εἰκότως· ἵνα μὴ τὸ δικαστήριον ἀσύστατον ἀπομείνῃ. εἰ γοῦν τὸν ἐναγόμενον παρεδεξάμεθα εἰς τὸ ἑρμηνεύειν, πάντως οὗτος ἵνα μὴ καταδικασθῇ, ἔμελλε λέγειν ὅτι οὐ περὶ αὐτοῦ ἐνεθυμήθην, οὗ ζητεῖς ὁ ἐνάγων· καὶ τοῦτον ἕτερον εἰσάγοντος παρὸ ὁ ἐνάγων ἐζήτει, ἔμελλεν ἀποτελευτᾶν εἰς οὐδὲν ἡ δίκη, ὡς τοῦ ἐνάγοντος καὶ λαμβάνοντος, ὁ ἐναγόμενος δίδωσι· μὴ δὲ τοῦ ἐναγομένου παρέχοντος τὸ περὶ τοῦ ἐνάγοντος ἐπιζητούμενον. Τὸ ἀσαφὲς ἤγουν ἀμφίβολον σύμφωνον, κατὰ τοῦ πράτου καὶ τοῦ μισθώσαντος ἐστίν. ἡ δὲ ἀμφίβολος ἐναγωγὴ, τὸ πρᾶγμα τοῦ ἐνάγοντος οὐ καταβλάπτει. Ἐὰν ἀποβληθῇ τῷ συμφώνῳ ποινὴ, ἐπιλογὴν ἔχει ὁ

ἐπερωτήσας, ἢ τῇ ἐπερωτήσει χρήσασθαι, ἢ τῇ παραγραφῇ, καὶ ποιῆσαι τῆς ποινῆς ἀποχήν. Τὰ παράνομα σύμφωνα οὐκ ἐρρῶται. Ὅτι τὰ αἰσχρὰ καὶ ἄθεσμα, καὶ μὴ κατὰ φύσιν σύμφωνα, ὁ νόμος ἀκυροῖ· λέγων τὰ παράνομα σύμφωνα οὐκ ἐρρῶται.

ΠΕΡΙ ἈΛΛΗΛΟΚΛΗΡΟΝΟΜΙΑΣ.

Ἐὰν συμφωνήσωσί τινες, ὥστε τὸν προτελευτῶντα τῷ ἑτέρῳ διδόναι τὴν οὐσίαν, ἄχρηστον τὸ γεγονὸς κατὰ τῶν καλῶν τρόπων ὄν· οὔτε γὰρ σύμφωνον, οὔτε ἐπερώτησις, οὕτω γενομένη ἰσχύει. Εἰ καὶ ἰδιῶται περὶ τῆς ἀλλήλων διαδοχῆς ἀνισχύρως συμφωνοῦσι, καὶ οὐδὲ θανάτου αἰτίᾳ δωρεὰν εἰσάγει τὸ σύμφωνον· στρατιῶται ὅμως ἤδη παράταξιν ἐξιόντες, ἰσχυρῶς τὸ τοιοῦτον συμφωνοῦσιν.

ΠΕΡΙ ΓΑΜΙΚΩΝ ΣΥΜΦΩΝΩΝ.

Ἐὰν συμφωνηθῇ ἐξ ἀπαιδίας τὸν ἄνδρα κερδαίνειν τὴν προῖκα, καὶ ναυαγήσῃ ἡ γυνὴ μετὰ ἐνιαυσιαίου παιδίου, δοκεῖ προτελευτᾶν ὁ παῖς τῆς μητρὸς, καὶ κερδαίνει ὁ ἀνήρ. Φησὶ γὰρ ὁ νόμος· εἰ μὲν ἔφηβος ὑπῆρχεν ὁ παῖς, τὴν μητέρα νομίζειν προτελευτῆσαι· εἰ δὲ ἄνηβος, τὸν παῖδα κρίνειν πρὸ τῆς μητρὸς τελευτήσαντα. Ἐὰν γυνὴ κατ᾽ ἀψιμαχίαν λαβοῦσα τοὺς παῖδας ὑπαναχωρήσῃ τοῦ ἀνδρός· ὁ δὲ ὥσπερ ἀγεραλίζων τὴν φιλίαν αὐτῆς, συμφωνήσῃ μὴ ἀπαιτῆσαι τὴν προῖκα εἴγε πρὸς αὐτὸν ὑποστρέψει, οὐκ ἔρρωται τὸ σύμφωνον. Ἐάν τις συνεφώνησε πρὸς τὸν πενθερὸν, ἵνα ἐὰν συμβῇ αὐτὸν ἐν τῷ γάμῳ τελευτῆσαι παίδων ὑπόντων, τὸ ἥμισυ τῆς προικὸς μόνον ἀποδοθῇ, ἄχρηστόν ἐστι τὸ σύμφωνον. Ἐὰν ἀνὴρ συμφωνήσῃ πρὸς τὴν γυναῖκα ἵνα τελευτήσασαν αὐτὴν κληρονομήσῃ, τὸ σύμφωνον τοῦτο ἄχρηστόν ἐστιν· οὐ γὰρ δυνατὸν διὰ συμφώνου τυποῦσθαι τὰ περὶ τῆς ἡμετέρας κληρονομίας. Ἐξωτικὸς γὰρ ἄνθρωπος διαθήκης χωρὶς, ἕτερον οὐ δύναται κληρονομῆσαι· ἡ γὰρ κληρονομία τοῖς ἐξωτικοῖς, ἐν διαθήκῃ δίδοται.

ται. Ἐὰν γένηται σύμφωνον ἵνα προπλουτώσης τῆς γυναικὸς, ἡ προὶξ ἀπομένη τῷ ἀνδρὶ, ἐὰν παρὰ τοῦ ἀνδρὸς δεδομένη ἐστὶν ἡ προὶξ, ἔῤῥωται τὸ σύμφωνον, καὶ ἀποκλείεται ὁ πατὴρ. δυνατὸν γὰρ βλάπτεσθαι ἀπὸ συμφώνου τὴν προῖκα, ὅτι μόνος ὁ πατὴρ μέλλει περὶ αὐτῆς ἐναγειν.

ΠΕΡΙ ΔΙΑΛΥΣΕΩΣ. Τιτλ. Γ.

Πᾶσα διάλυσις, ἢ δοθῆναι τί ὅπερ ζητεῖ τοῦ διαλυσαμένου, ἢ παραχωρηθῆναι τί ὅπερ παρ' αὐτοῦ, ἢ ἐπαγγελθῆναι τί ὅπερ αὐτῷ, καὶ εἰ μηδὲν τούτων γένηται, οὐκ ἔστι διάλυσις. διάλυσις γὰρ, οὐδενὸς δοθέντος, ἢ παρακαταχεθέντος, ἢ ὁμολογηθέντος, ἢ τοι ἐπαγγελθέντος, οὐδαμῶς προβαίνει.

Καὶ ἐν ὑπομνήμασι καὶ χωρὶς ὑπομνημάτων, καὶ ἐγγράφως καὶ ἀγράφως γενομένη διάλυσις, βεβαία ἐστίν. Εἰς μὲν τὰ δι' αἵματος ἐπιφέροντα τὴν τιμωρείαν καλῶς διαλυόμεθα, ὑπεξῃρημένου τοῦ τῆς μοιχείας ἐγκλήματος· ὅσα δὲ μὴ ἔχει δι' αἵματος τὴν τιμωρείαν, ἐπὶ τούτοις οὐκ ἔῤῥωται ἡ διάλυσις, χωρὶς τοῦ τῆς πλαστογραφίας ἐγκλήματος. Ὁ διαλυσάμενος οὐκ ἰσχυρὸν αὐτόθεν ἔχει εἰ δὲ διαλύσεταί τις ἐγγράφως, ὅτι ἐπείπερ ἔχομεν ἀμφιβολίαν, διαλύομαι σήμερον, καὶ ὁμολογῶ σοι χρεωστεῖν ἑκατὸν τι. καὶ γένηται διάλυσις· εἶτα μετὰ χρόνον γένηται, καὶ ἑτέρα διάλυσις διεξιοῦσα ὁμοίως, καὶ ὅτι οὐ δὲ τὰ ἑκατὸν τι χρεωστῶ σοι ἡ δευτέρα διάλυσις, ἀντ' οὐδενὸς τῷ νόμῳ λελόγισται, ἀλλ' ἀναφέρεται ἐρχομένη πρὸς δικαστήριον. ὅτι μετὰ ψῆφον ἐῤῥωμένην, οὐκ ἰσχυρῶς τις διαλύεται, καὶ ὅτι ἡ διάλυσις, ἀμφιβαλλομένου πράγματός ἐστι τομὴ, καὶ μείζων ἐστὶ ψήφου, πῶς δύναταί τις διαλύεσθαι, μετὰ ψῆφον ἐῤῥωμένην καὶ βεβαίαν. Ὅτι καὶ μετὰ προστίμου καὶ χωρὶς προστίμου, ἀλλὰ συμφώνου μόνου γίνεται διάλυσις. Οὔτε μετὰ διάλυσιν, οὔτε μετὰ δευτέραν ὁμολογίαν ἔξεστι τινὶ μεταβάλλειν τὴν ἤδη ὑπ' αὐτοῦ γενομένην ὁμολογίαν· εἰ καὶ κατὰ ἀπάτην

δηλο-

δηλονότι τῆς δόσεως τὴν ἀρχὴν ἔφθασε γενομένη. Εἰ μὲν ἐλευθέρων διαλύσεταί τις ἐν τῷ εἶναι μείζων τῶν κε' ἐνιαυτῶν, οὐδὲ τῷ τινὰ λαβεῖν παρ' αὐτῶν, εἰ καὶ τὰ μάλιστα μήπω δεδώκασιν οἱ διαλυσάμενοι τὰ ἐπαγγελθέντα, ἀλλ' οὐδὲ νῦν ἐναγόμενοι προσφέρουσιν αὐτῷ ταῦτα, ὅμως καλῶς κέχρηνται τῇ τοῦ συμφώνου παραγραφῇ, τῇ ἀπὸ τῆς διαλύσεως αὐτῇ ἁρμοζούσῃ. Ὁ ἐπὶ χρήμασι διαλυσάμενος ἐπὶ ὕβρεως ἀγωγῇ, ἀτιμοῦται· δοκεῖ γὰρ ἐκ τοῦ συνειδέναι ἑαυτῷ ἁμαρτήματι παρασχεῖν τὰ χρήματα. Ὅτι τὸ διαλύσασθαι γυναῖκα μετὰ ἀνδρὸς, καὶ εἰπεῖν ὅτι ἐμοιχεύθη καὶ διὰ τοῦτο διαζεύγνυμι, οὐδέν ἐστι τῷ νόμῳ. Τὰς ὑποθέσεις αὐτὰς, ἤγουν τὰς δίκας τὰς διαλύσεσι νομίμοις περαιωθείσας, οὐδὲ διὰ βασιλικῆς ἀντιγραφῆς ἀνατρέπεσθαι χρή. Ὅτι ὁ τὰ σύμφωνα καὶ τὴν διάλυσιν ἀνατρέπειν πειρώμενος, εἴπερ ἑκουσίως πεποίηκε, μὴ μόνον ἀτιμοῦται, ἀλλὰ καὶ πάσης ἁρμοζούσης αὐτῷ ἀγωγῆς ἀποστερεῖται, καὶ δίδωσι καὶ τὸ πρόστιμον ὅπερ ἐν τοῖς συμφώνοις ἢ ταῖς διαλύσεσιν ἔγκειται, καὶ ἐκπίπτει καὶ τῆς δεσποτείας τῶν πραγμάτων ἐκείνων, ἅτινα προφάσει τοῦ συμφώνου ἢ τῆς διαλύσεως ἐκέρδησε· τὸ δὲ ἕτερον μέρος ταῦτα κερδαίνει. Οὐκ ἀνατρέπει τις ἣν ἐποίησε διάλυσιν, διὰ τὸ μὴ ἔχειν αὐτὸν τὰ ἴδια δικαιώματα ἐν τῷ καιρῷ τῆς ποιήσεως αὐτῆς, εἰ μὴ ἄρα ὁ ἀντίδικος αὐτοῦ, ἢ ἄλλος δι' ἐκείνου αὐτὰ παρεκράτησεν. Οὐκ ἀνατρέπει τις τὴν ἔμπροσθεν φίλων γενομένην διάλυσιν, διὰ τὸ λέγειν αὐτὸν κατὰ βίαν ταύτην ποιῆσαι, ὅτι ὅπου φιλία ἐστὶν, οὐ βία τρακταΐζεται.

Ὁ διαλυσάμενος, ὡσανεὶ περὶ πράγματος ἀμφιβόλου καὶ δίκης ἀδήλου καὶ ἀπληρώτου διαλύεται· ὁ δὲ συγχωρῶν κατὰ δωρεὰν πρᾶγμα δῆλον καὶ ἀναμφίβολον συγχωρεῖ. Ὅτι ὁ μείζων διαλυσάμενος, εἰ καὶ παραχρῆμα περὶ δόλου διαμαρτύρεται, εἰς ἀναβολὴν αὐτῷ τῆς διαλύσεως, ἢ περὶ δόλου

διαμαρ-

διαμαρτυρία οὐκ ἐξαρκεῖ. Εἰ καὶ τὰ μάλιστα ἐκεῖνον τὸν συμφωνήσαντα παραχρῆμα μεταμέλεος εἰσέλθοι, ὅμως ἡ διάλυσις ἀναιρεθῆναι καὶ ἡ δίκη ἀνανεωθῆναι οὐ δύναται.

Ὁ μείζων τῶν εἰκοσιπέντε ἐνιαυτῶν, εἴτε διαλύεται πρός τινα, εἴτε τῷ τὰ χρεωστούμενα αὐτῷ δωρήσεται δίχα τινὸς αἱρέσεως, οὐ δύναται μὲν ταῦτα λέγειν ὅτι ἐλπίδι τοῦ μέλλειν σε κληρονομεῖν, διελυσάμην ἢ ἐδωρησάμην σοι. Ὁ περὶ μιᾶς αἰτίας τινὸς ἐνάγων καὶ διαλυόμενος, εἰ καὶ ῥητῶς ἐπαγάγοι μηδὲν πλέον ἀπαιτεῖν, καὶ μὴ δὲ προσθήσει τὸ· ταύτης ἕνεκεν τῆς αἰτίας, ὅμως ἐρρωμένας ἔχει τὰς ἐξ ἄλλων αἰτιῶν ἁρμοζούσας αὐτῷ κατ᾽ ἐκείνου πρὸς ὃν διελύσατο ἀγωγάς. Τί γὰρ ὅτι τῆς παρακαταθήκης διελύσατο, ἔχει δὲ περὶ δανείου ἀγωγήν.

ΠΕΡῚ ἈΝΆΓΚΗΣ ΚΑῚ ΒΊΑΣ. Τίτλ. ια΄.

Βία ἐστὶ μείζονος πράγματος ἐπέλευσις, ἣν οὐ δύναταί τις ἀπωθεῖσθαι, ἤγουν ἀφ᾽ ἑαυτοῦ ἀποδιώκειν ἢ ἀποτρέπειν.

Βία ἐστὶν οὐ μόνον τὸ συμβληθῆναι καὶ ἐγκλεῖσαι, ἀλλὰ καὶ τὸ παρὰ γνώμην τινά, ὅτε μάλιστα κύριος θελήματος οὐκ ἔστι διὰ τὸ ἀνήλικον πρὸς συνάλλαγμα προτρέπεται. Ὅτι τὸ βίᾳ καὶ φόβῳ γενόμενον, οὐκ ἔρρωται. Ἐάν τις πρᾶγμα τινὸς δίχα δικαστικῆς κελεύσεως βίᾳ ἀφέληται, ἐὰν μὲν δεσπότης ἐστὶν, ἐκπίπτει τοῦ πράγματος· εἰ δὲ ἀλλότριον ᾖ, οὐ μόνον αὐτὸ ἀποδίδωσιν, ἀλλὰ καὶ τὴν ἀποτίμησιν αὐτοῦ, ὑπὲρ τὴν ἁρπαγὴν ὑπομείναντι. Ὁ ἀναρχίαν πλημμελήσας, ἐντὸς ἐνιαυτοῦ κατακρινόμενος, τὸ ἐνδιάτιμον μόνον δίδωσιν· οὐ καὶ τοὺς καρπούς, κἂν χρόνοι τινὲς ἀπὸ τῆς κινήσεως μέχρι τῆς καταδίκης διαδράμωσιν. Ὅτι ὁ βίᾳ καὶ ἁρπαγῇ τὴν ἀρχὴν λαβών τι, εἰ καὶ μετὰ ταῦτα ἐξωνήσεται τοῦτο, παρὰ τοῦ δεσπότου, ἢ δωρεᾶς τρόπῳ, ἢ ἀνταλλαγῆς λήψεται τοῦτο, οὐδὲν ὠφελεῖται, οὐδὲ ἡ πρᾶξις ἔρρωται. Καὶ ὁ καλῇ πίστει ἀγοράσας παρὰ τοῦ βιασαμένου ἢ κατὰ δωρεὰν, ἢ λεγάτον λαβὼν, ἐνέχε-

ται. καὶ ὁ ποιήσας τὴν βίαν, ἀναγκάζεται ἀποκαταστῆσαι· εἰ δὲ ἕτερος ἔχει τὸ πρᾶγμα, καὶ ὁ τὸ ἀφαιρεθὲν βιαίως ἔχων, ἀποκαθίστησι· κἂν ἕτερος τὸν φόβον ἐπήγαγεν, καὶ τὸ διάφορον τετραπλασιάζεται, τουτέστι μετὰ καρπῶν καὶ πάσης αἰτίας.

Ὁ βίᾳ ἐκβληθεὶς νομῆς, διὰ τῆς περὶ βίας ἀγωγῆς, ἐντὸς ἐνιαυτοῦ ἀναλαμβάνει αὐτὸ· κατὰ δὲ κληρονόμων οὐ κινεῖται, εἰ μὴ μόνον εἰς τὸ περιελθὸν εἰς αὐτούς. Οὐδὲ ἀπὸ θείας ἀντιγραφῆς, τὴν βιαίως ληφθεῖσαν παρ' αὐτοῦ νομὴν, βεβαιοῖ τις. Ὅτι καὶ ὁ ἀπόντος πρᾶγμα κατασχὼν, τῷ περὶ βίας ἐνάγεται, εἰ μὴ τριακονταετία παρῆλθεν ἀφ' οὗ τῆς νομῆς ἐπελάβετο. Ὅτι ἐντὸς ἐνιαυτοῦ ἡ περὶ βίας ἀγωγὴ ὡς ἐπιτοπολὺ κινεῖται. Τῆς περὶ βίας ἀγωγῆς ἐντὸς ἐνιαυτοῦ κινουμένης, δίδοται ἡ ποινὴ, ἤγουν εἰς τὸ διπλάσιον· μετὰ δὲ τὸν ἐνιαυτὸν, τὸ πρᾶγμα μόνον καὶ οἱ καρποί. Ἡ περὶ βίας ἀγωγὴ τετραπλασιάζεται εἰς τὸ διαφέρον. Ὁ ποιήσας τὴν βίαν, ἢ τῷ περὶ βίας δημοσίας, ἢ τῷ περὶ βίας ἰδιωτικῆς ὑποπίπτει νόμῳ. Ἔστι δὲ ἡ καταδίκη τοῦ περὶ βίας δημοσίας ἐγκλήματος, ἡ διηνεκὴς εἰς μέταλλον ἐξορία.

Ἔξεστι βίᾳ τὴν βίαν ἐξωθεῖν, καὶ ὅπλα ὅπλοις.

Τίτλ. ιβ'.

## ΠΕΡΙ' ἀνήβων καὶ ἀφηλίκων καὶ τῆς ἀποκαταστάσεως.

Οἱ ἄνηβοι μέχρι τῶν δεκατεσσάρων χρόνων εἰσὶν ἤτοι ἀρρένων· ἤτοι γὰρ τῶν θηλειῶν, μέχρι τῶν ιβ'· καὶ ἕως τότε ὑπὸ ἐπιτρόποις τελοῦσιν. οἱ δὲ ἀφήλικες, ἀπὸ τότε μέχρι τῶν κε' χρόνων εἰσὶ, καὶ ἕως τότε τελοῦσιν ὑπὸ κουράτωρας. καὶ εἴ τι πράξουσιν ἐντὸς τούτων, ἄδειαν ἔχουσι μετὰ ταῦτα ἀνατρέπειν, καὶ πρὸς τὸ ἑαυτῶν συμφέρον μεταποιεῖν. καὶ δίκας ἀνακαλεῖσθαι καὶ μοιρασίας καὶ πράσεις, καὶ ὅσα τούτοις παρόμοια. τὸ αὐτὸ δὲ τούτοις ποιοῦσι καὶ τὸ αὐτὸ προνόμιον ἔχουσι, καὶ ὅσοι κατὰ φόβον ἢ βίαν πράξουσί τι, καὶ ὅσοι κατὰ πλάνην ἢ ἀπὸ ζημίαν πάθωσιν, ἢ ἐργάσονταί τι. Ὁ ἄνη-

βος

βος καλοῦν χωρὶς αὐθεντίας τοῦ ἐπιτρόπου, οὐκ ἐνέχεται.

Ἐὰν τις χωρὶς αὐθεντίας τοῦ ἐπιτρόπου διοικήσῃ τὰ τοῦ ἀνήβου πράγματα, ἔνοχον αὐτὸν τὸν ἄνηβον ποιεῖ, κατὰ τὸν καιρὸν τῆς προκαταρξεως, εἰς ὅσον γέγονεν ἐκ τούτου πλουσιώτερος. Ἐὰν καταβληθῇ ἀνήβῳ χωρὶς αὐθεντίας ἐπιτρόπου καὶ ἔστιν ἐν καιρῷ προκαταρξεως πλουσιώτερος, ἐκβάλλεται παραγραφῇ, κἂν ἀπόλληται πρὸ τῆς καταρξεως τὸ πρᾶγμα ὅπερ ἀναγκαίως ἠγόρασεν. Ἐὰν ἀνήβῳ χωρὶς αὐθεντίας ἐπιτρόπου καταβληθῇ χρέος, ἁρμόζει κατ' αὐτοῦ παραγραφὴ εἰς ὃ γέγονε πλουσιώτερος, τὸ αὐτὸ κἂν δανείσηται, ἢ ἄλλως πως συναλλάξῃ, καὶ ἐπὶ πάντων δὲ οἷς οὐκ ὀρθῶς καταβάλλεται, τὸ αὐτὸ κρατεῖ. Ἐὰν ἄνηβοι τὴν πατρῴαν δέχωνται κληρονομίαν συναινοῦντος τοῦ ἐπιτρόπου, ἔρρωται κἂν μὴ ὑπογράφῃ τῇ διανεμήσει.

Ὁ νέος κατὰ συναίνεσιν τοῦ κουράτωρος, καλῶς ἐνάγεται. Ὁ νέος δανεισάμενος καὶ ἀπολέσας οὐκ ἐνέχεται. Οἱ ἄνηβοι χωρὶς τῶν ἐπιτρόπων πράττοντες, οὐδὲν δοκοῦσι δύνασθαι ἢ γινώσκειν. Ὅτι ὁ ἀφήλιξ ἄρρην μετὰ τὸν τεσσαρεσκαιδέκατον ἐνιαυτὸν, διαθήκην ποιεῖ, καὶ βεβαία ἐστί· καὶ μετὰ τὸν δωδέκατον ἐνιαυτὸν, ἐλευθεροῖ καὶ οὐκ ἀναιρέπεται ἡ ἐλευθερία. καὶ ἐὰν ἀφήλιξ γάμον εἰς ἑαυτὸν ποιήσῃ, καὶ προιγραφῇ· ἡ μὲν προιγραφὴ σκοπεῖται, καὶ θεραπεύεται, ἢ παρὰ τοῦ κουράτωρος ἐὰν εὐπορῇ, ἢ παρὰ τῶν γονέων τῆς κόρης, καὶ οὕτως ὁ μὲν ἀφήλιξ τὸ ἱκανὸν λαμβάνει, ὁ δὲ γάμος οὐ διαρρήγνυται. Ὅταν χωρὶς δικαστοῦ τὰ τῶν ἀφηλίκων ἀκίνητα ἐκποιῶνται, οὐδὲ οἱ προσλαμβανόμενοι ἐγγυηταὶ εὐθύνονται· ἀλλὰ καὶ χωρὶς ἀποκαταστατικοῦ δικαίου οἱ ἀφήλικες βοηθοῦνται. Τὸ τοῦ ἀφήλικος ἀκίνητον πρᾶγμα καλῶς πωλεῖται, ἢ διὰ ἰδιωτικὸν αὐτοῦ χρέος, ἢ διὰ πατρῷον, ἢ δημόσιον, ἐπὶ φανερᾶς

κριτοῦ ἀποφάσεως. καλῶς ἀναφέρωσιν οἱ ἥττονες, ἅπερ κατὰ δόλον κακῶς ἐπώλησαν οἱ αὐτῶν κηδεμόνες.

Ὅτι ἐὰν ἀνήβου πρᾶγμα πωληθῇ, καὶ ὁ ἀφῆλιξ μετὰ τὴν τελείαν ἡλικίαν πέντε ἐνιαυτοὺς σιωπηλοὺς παραδράμῃ, καὶ μὴ μέμψηται ἢ αὐτὸς, ἢ ὁ κληρονόμος αὐτοῦ, ἡ πρᾶσις ἰσχύει. ἐὰν δὲ αὐτὸς δωρήσηται τινὶ, μὴ ἐῤῥῶσθαι τὴν δωρεὰν, εἰ μὴ μετὰ τοὺς εἰκοσιπέντε ἐνιαυτοὺς, δέκα ἢ εἴκοσιν ἐνιαυτοὶ παραδράμωσι, καὶ ζῶντος αὐτοῦ καὶ πλουτήσαντος. Ὁ ἥττων συγγνώμην ἡλικίας αἰτήσας, δύναται ἀναφέρειν ὃ κακῶς ἐπώλησεν, εἴσω ἐνιαυτοῦ μετὰ εἰκοσιπέντε ἔτη· ὡσαύτως δὲ καὶ ὃ κακῶς ἠγόρασεν ἢ ἐνήλλαξε, δύναται καὶ αὐτὸς ἀναφέρεσθαι· τὸ καταβληθὲν ἀναλαμβάνων τίμημα, εἴσω τοῦ εἰρημένου χρόνου· τούτου δὲ τὸ προνόμιον, καὶ κληρονόμοις αὐτοῦ παραπέμπεται. Ἐὰν χαρίσηταί τι ἀφῆλιξ τινὶ πρᾶγμα αὐτοῦ, δύναται μετὰ τὸ παρελθεῖν τὰ εἰκοσιπέντε ἔτη, ἐντὸς τετραετίας ἀγωγὴν ποιεῖσθαι, καὶ τὸ οἰκεῖον ἀπολαμβάνειν πρᾶγμα. Ἐὰν ἀφῆλιξ συγγνώμην ἡλικίας αἰτήσας δωρήσηται τινὶ, οὐκ ἔῤῥωται ἡ δωρεὰ, εἰ μὴ ἄρα μετὰ τοὺς εἰκοσιπέντε ἐνιαυτοὺς, δέκα ἢ εἴκοσιν ἐνιαυτοὶ παραδράμωσι.

Γίνεται δὲ ἡ αἴτησις τῆς συγγνώμης τῆς ἡλικίας, τοῖς μὲν ἀνδράσιν ἀπὸ εἰκοστοῦ χρόνου, ἕως εἰκοστοῦ πέμπτου· ταῖς δὲ θηλείαις, ἀπὸ ὀκτωκαιδεκάτου, μέχρι τοῦ κε χρόνου. αἰτούμενοι βασιλέα ἀπώσασθαι τοὺς κουράτωρας αὐτῶν, ὡς αὐτοὶ μόνοι τῶν ἰδίων πραγμάτων ποιεῖσθαι φροντίδα δυνάμενοι, ὑπολήψεως ἀγαθῆς δηλονότι μαρτυρούμενοι, καὶ τηνικαῦτα δὲ μετὰ τὴν αἴτησιν πράττουσι τὰ τῶν τελείων, οὐ μέντοι χωρὶς δεκρέτου ἐκποιοῦνται τι τῶν αὐτοῖς προσηκόντων.

Μόνος ὁ βασιλεὺς σπανίως, οὐ μὴν ὕπαρχοι, ἢ ἄρχοντες, ἐπιτρέπει τοῖς ἀφήλιξι τὰ ἴδια διοικεῖν. Ἐν τοῖς ἁμαρτήμασιν, οὐ βοηθοῦνται οἱ ἀφήλικες, δι' δόλον ποιοῦντες ἐν τῷ

πράγματι

πράγματι ἢ κλοπῇ ζημίας. Καὶ ἐν τοῖς ἁμαρτήμασιν, εἰ μὴ ἐκ πονηρᾶς ψυχῆς καὶ προαιρέσεως γίνηται τὸ ἁμάρτημα βοηθοῦνται οἱ ἀφήλικες. Τὸ δωρηθὲν παρὰ πατρὸς αὐτεξουσίῳ ἀφήλικι, οὐ δὲ συναινοῦντος τοῦ ἀφήλικος, δύναται ὁ πατὴρ ἑτέρῳ δωρεῖσθαι. Ὁ χρόνος τοῖς ἐλάττοσιν οὐ τρέχει, εἰ μὴ πληρώσωσι τὸν εἰκοστὸν πέμπτον χρόνον. Ὁ ἥττων τῶν δεκατεσσάρων ἐτῶν, οὐχ ὑφίσταται ἐμβαλλομένην ζήτησιν.

Ὁ ἄνηβος παραχωρεῖν ὅρκον οὐ δύναται. Ὅρκος οὐκ ἐπιφέρεται ἀνήβῳ. Ἄνηβος συγχωρεῖται τὴν στέρησιν τοῦ διαπραθέντος πράγματος αὐτοῦ, παρὰ δημοσίου ἀπαιτητοῦ· ἐὰν ἐν τοῖς τριάκοντα ἡμέραις, καταβάλῃ τὸ τέλεσμα. Εἴτε ἀνήβου εἴτε ἀφήλικος ἢ κουρατωρευομένου, ἢ αἰτήσαντος ἤδη συγγνώμην ἡλικίας, πρᾶγμα ὑπεποιήθη, κἀκεῖνος ἐπὶ πολὺν χρόνον ἐσιώπησε, βεβαιοῦται μὲν ἡ πρᾶξις δηλονότι. Ὁρίζει δὲ χρόνον ἡ διάταξις, ὃν σιωπήσας ὁ ἀφῆλιξ, μετὰ τὴν τελείαν ἡλικίαν, βεβαιοῖ τὴν πρᾶσιν, ἤτοι τὴν ὑποθήκην. Κελεύει γὰρ ἵνα ἐὰν πέντε ἐνιαυτῶν μὴ μέμψηται, ἢ αὐτὸς ἢ ὁ κληρονόμος αὐτοῦ, ἰσχύει. Ἐπειδή γε δωρεῖσθαι οὐδὲ μετὰ ἀποφάσεως ἔξεστι, τοῖς ἐλάττοσιν· εἰ μὴ ἄρα προγαμιαίαν δωρεὰν νομοθετεῖ. Ἐὰν ὁ ἐλάττων συγγνώμην ἡλικίας αἰτήσας, ἤδη δωρήσηταί τινι, μὴ ἐρρῶσθαι τὴν δωρεάν· εἰ μὴ μετὰ τῶν κε΄ ἐνιαυτῶν, δέκα ἢ εἴκοσιν ἐνιαυτοὶ διαδράμωσιν· εἰ δὲ ἐν τῷ μεταξὺ ὁ ἀφῆλιξ τελευτήσει, ζητοῦμεν ἵνα τὸ λεῖπον τοῦ χρόνου διάστημα δράμῃ, τοῦ κληρονόμου αὐτοῦ σιωπῶντος. Ἐπιτροπευόμενοι, καὶ κουρατωρευόμενοι ἀφήλικες, καὶ αὐτοὶ ἐν οἷς περ γράφωσιν, εἰ καὶ παρόντων τῶν ἐπιτρόπων καὶ κουρατώρων αὐτῶν ἔπραξαν, ἀποκαθίστανται. Ἐὰν ὁ ἐλάττων πωλήσας ἀγρὸν λάβῃ τίμημα, καὶ ὡς περιγραφεὶς αἰτήσῃ ἀποκατάστασιν καὶ λάβῃ τὸν ἀγρὸν, οὐκ ἀπαιτεῖται τὸ τίμημα· εἰ μὴ ὠφελήθη ἐξ αὐτοῦ, ἢ ὁ τὴν ἀποκατάστασιν διδοὺς, ἐψηφίσατό τι περὶ αὐτοῦ.

ἀλλὰ καὶ εἴη πλουσιώτερος γένοιτο ὁ ἥττων ἀπὸ τῆς πράσεως, ἀναδίδωσι τῷ ἀγοραστῇ, καὶ ἐπὶ τοῦ χρέους ὁ δανείσας, ἀναγκάζεται δέξασθαι τὸν νέον γενόμενον πλουσιώτερον. Ἐὰν χωρὶς συναινέσεως τοῦ κουράτωρος αὐτοῦ ὁ ἀφῆλιξ ἐκποιήσηται, οὐδὲν δοκεῖ ποιεῖν· ὥστε ἐπὶ μὲν τοῦ ἀνήβου ἐκποιησαμένου, χωρὶς τοῦ ἐπιτρόπου, χρεία πρὸς τὸ ἀποκλεισθῆναι τοῦτον καὶ μὴ εἰσακούεσθαι κινοῦντα, τριάκοντα ἐνιαυτῶν μετὰ τὴν ἥβην παραδραμόντων· ἐπὶ δὲ τοῦ ἀφήλικος τοῦ ἐκποιησαμένου χωρὶς συναινέσεως τοῦ κουράτωρος αὐτοῦ, τοσούτου χρόνου διελθεῖν σιωπῶντος αὐτοῦ, ἀπὸ τοῦ καιροῦ τῆς ἐκποιήσεως. οὐ μετὰ τὴν ἐντελῆ ἡλικίαν, τὰ αὐτὰ καὶ ἐπὶ διαλύσεως τούτων.

## ΠΕΡῚ ἘΚΠΟΙΗΣΕΩΣ ὈΡΦΑΝΙΚΟΥ.

Ἐὰν πατὴρ ἢ μήτηρ ἐκποιήσας τι, ἔχων παῖδα καὶ πλουτήσῃ, εἰ μὲν ἄνηβος εἴη ὁ παῖς, ἔχει τριάκοντα χρόνους μετὰ τὴν ἥβην. εἰ δὲ οὐκ ἦν ἄνηβος, ἔχει δεκαετίαν, ἢ εἰκοσαετίαν, μετὰ τὸν εἰκοστὸν πέμπτον εἰς παρασκευήν, εἰς ταῦτα δὲ κινεῖ ὁ παῖς, ἐφ' οἷς διαφέρει αὐτῷ. τυχὸν τῆς μητρὸς πωλησάσης τὸ πατρῷον τοῦ υἱοῦ, ἢ τοῦ πατρὸς πωλήσαντος τὸ μητρῷον.

Ὁ ἥττων τῶν εἰκοσιπέντε ἐτῶν, εἰς φροντίδα οὐ καλεῖται.

Ὁ ἥττων τῶν κε ἐτῶν διοικῶν, λόγους οὐκ ἀπαιτεῖται, εἰ μὴ μετὰ τὸν κε ἐνιαυτόν. Ὁ πλησιάζων τῇ ἥβῃ, καὶ κλοπῆς καὶ ὕβρεως ἐστὶ δεκτικός. Οὔτε θέλειν οὔτε μὴ θέλειν ὁ ἄνηβος ἄνευ τῆς αὐθεντίας τοῦ ἐπιτρόπου πιστεύεται. Ἐὰν ξένα πράγματα πρὸ τῶν γάμων, μετὰ τῆς πρεπούσης συμμετρίας ὁ ἐλάττων τῶν εἰκοσιπέντε ἐνιαυτῶν, ἐν τῷ καιρῷ τῆς μνηστείας παρόντος αὐτῷ τοῦ κουράτωρος, τῇ μνηστῇ ἐδωρήσατο, οὐκ ἀνακαλεῖται. Ὅτι καὶ κατὰ τοῦ δημοσίου ἀποκαθίστανται οἱ ἀφήλικες. Ὅτι καὶ κατὰ ἀποφάσεως δικαστοῦ, ἀποκατάστασις τοῖς ἀφήλιξι δίδοται· ἐκ δευτέρου δὲ τὴν τῆς ἀποκαταστάσεως δίκην μὴ πράττεσθαι, εἰ μὴ καιναὶ

προφέρονται δικαιολογίαι. Ἀποκαθίστανται οἱ ἥττονες τῶν κε΄ ἐτῶν, κατὰ τῶν πραθέντων αὐτῶν ἐνεχύρων, παρὰ τῶν ἰδίων δανειστῶν, εἰ μὴ ἄρα ὁ τούτων πατὴρ τὰ ἐνέχυρα τοῖς δανεισταῖς ἔδωκε, καὶ οὐκ αὐτοί. Καὶ εἰς διατίμησιν προικὸς, περιγραφεὶς ἀφῆλιξ βοηθεῖται. Οὐκ ἐν ἅπασιν οἱ νέοι ἀποκαθίστανται, ἀλλ' ἐν οἷς ὑφ' ἑαυτῶν ἢ ὑφ' ἑτέρων περιεγράφησαν ἀπολέσαντες, ἢ μὴ κτησάμενοι, ἢ ἐνοχλοποιηθέντες.

Ἡ ἁρμόζουσα τινὶ ἀποκατάστασις παραπέμπεται, καὶ εἰς τοὺς αὐτοῦ κληρονόμους. Ἐὰν εἴπῃ ἑαυτὸν μείζονα ὁ ἥττων κε΄ πλανῶν, οὐδὲν ἧττον ἀποκαθίσταται. Ὅτι ἐὰν διὰ τῆς οἰκείας θέας ἀφῆλιξ ἠπάτησέ τινα, μείζονα ἑαυτὸν διαβεβαιωσάμενος, οὐκ ἀποκαθίσταται· ὡσαύτως δὲ ἐὰν σωματικῶς αὐτῇ τῇ ἀληθείᾳ, ἐπομόσηται μείζονα ἑαυτὸν εἶναι, οὐκ ἀποκαθίσταται. ἐὰν δὲ ἐν συμβολαίῳ μείζονα ἑαυτὸν εἶναι μεθ' ὅρκου βεβαιώσηται, καὶ οὕτως οὐκ ἀποκαθίσταται, εἰ μὴ φανερῶς ἐστὶ πρόδηλος δι' ἐγγράφων συμβολαίων παρ' αὐτοῦ φερομένων· οὐ μὴν διὰ μαρτύρων καταθέσεως, ἑαυτὸν ἐλάττονα εἶναι ἀποδείξει. Οὐ μόνον ὑπὲρ τοῦ μὴ ζημιωθῆναι ὁ ἀφῆλιξ ἀποκαθίσταται, ἀλλὰ καὶ ὑπὲρ τοῦ μὴ δίκαις καὶ δαπάναις σκύλλεσθαι. Ἐὰν ἀφῆλιξ ἀφήλικι παραδῷ, καὶ ὁ λαβὼν ἀπολέσῃ, κρείττων ἐστὶν ὁ λαβών· εἰ δὲ δανείσει ἀφῆλιξ ὑπεξουσίῳ μείζονι, παρὰ τὸ δόγμα ἀποκαθίσταται. Οὐ πάντα τὰ παρὰ τῶν νέων γινόμενα ἀνατρέπεται, ἀλλ' ὅτε δόλος ἐστὶ προφανὴς, ἢ ῥᾳθυμία αὐτοῦ μεγάλη. Γάϊος ἐστὶν ὁ τῆς διατάξεως ταύτης κανὼν λέγων, μὴ δοκεῖν τὸν ἐλάττονα περιγράφεσθαι, ἐν ἐκείνοις ἐν οἷς τῷ κοινῷ νομίμῳ κέχρηται. Τοῖς ἐλάττοσιν ἡ ἡλικία ἐν ταῖς ζημίαις συντρέχει, οὐ μὴν ἐν τοῖς πράγμασι, τοῖς αἰσίως διοικηθεῖσιν ἀντικεῖσθαι εἴωθεν.

ΣΧΟΛ. τουτέστι τῇ τύχῃ καὶ τοῖς ὑπὲρ συμβαίνουσιν δι' θανάτῳ, ἐμπρησμοῖς, κατακλύσεσιν· εἰ γοῦν ὁ ἐπίτροπος καλῶς

χρήσηται

χρήσεται πᾶσι τοῖς πράγμασι τοῦ ἀφήλικος· ἐπὶ συμβῇ δέ τι τυχηρὸν περὶ αὐτά, οὐκ ἐνέχεται ὁ ἐπίτροπος. Τῶν ἀφηλίκων ἀποκαθισταμένων, ἐνέχονται οἱ αὐτῶν ἐγγυησάμενοι.

Κατὰ τῆς ἰδίας πράσεως εἰ καὶ ὅρκον ἐπαγάγωσιν οἱ ἀφήλικες, ἀποκαθίστανται. Οὐκ ἀποκαθίστανται οἱ ἀφήλικες, ἐὰν ἐπιμελεῖς οἰκοδεσπόται γένωνται, καὶ μάλιστα ἐν δημοσίαις διοικήσεσιν· ἢ ἐὰν μὴ πατρὸς ἢ πάτρωνος, τὴν μέμψιν κινῶσιν. Καὶ διὰ ἐντολέως δύναται ὁ νέος ἀποκατάστασιν αἰτεῖν. Ὁ κατὰ βίαν ἢ φόβον θανάτου τι πεποιηκώς, ἀποκαθίσταται, καὶ τὸ πρᾶγμα ἀνίσχυρόν ἐστιν.

Εἴτε διὰ τὴν ἡλικίαν, εἴτε διὰ φόβον, εἴτε διὰ πανουργίαν, εἴτε κατὰ ἀπουσίαν, παραγραφῇ τις, βοηθεῖται· εἴτε διὰ τὴν ἐναλλαγὴν τῆς καταστάσεως, ἤγουν διὰ τὸ ἐξοικειωθῆναι ἢ περιοικειωθῆναι, ἢ εἰς θέσιν ἐλθεῖν, ἢ ἐξ αὐτεξουσίου εἰς ὑπεξούσιον γενέσθαι· λυθείσης γὰρ τῆς θέσεως, ἀποκαθίσταται. Ἔτι βοηθεῖται καὶ ὁ περιγραφεὶς, δι' ἣ δικαίαν πλάνην, ἤτοι τὴν περὶ φαλητου πλάνην. Ἐὰν δέ τις διὰ κατηγορίαν, ἢ γενομένην παρά τινος αὐτῷ, ἢ ἀπειλουμένην γενήσεσθαι, ἐξεποίησέ τι τῷ κατηγόρῳ, ἢ ἐπερωτήθη αὐτῷ, οὐ δύναται ταῦτα ἀνατρέπειν, ὡς φόβῳ γενόμενα· ἀλλὰ καὶ ἀναίσχυντόν τι ποιεῖν δοκεῖ, ταῦτα ἐπιχειρῶν ἀνατρέψαι. Πάντες γενικῶς οἱ ἐξ ἀνάγκης ἀπολιμπανόμενοι, ἀποκαθίστανται οὐ μόνον ἐφ' οἷς ζημιοῦνται, ἀλλὰ καὶ ἐφ' οἷς οὐ κερδαίνουσιν. Ὅτε ὁ ὑπεξούσιος υἱὸς συμπωλεῖ τῷ πατρὶ τὰ προσπορειζόμενα, μὴ τὴν αὐτεξουσιότητα οὐκ ἀποκαθίσταται. Προσπορειζόμενα δέ εἰσι, τὰ ἐξ ὑποστάσεως τοῦ πατρὸς τυχόν, προσγινόμενα τῷ υἱῷ. Ἐπὶ τῶν καλῇ πίστει συναλλαγμάτων, καὶ τοὺς μείζονας βοηθεῖσθαι.

Οἱ ἀποκαθιστάμενοι, κατά τινος πράγματος, ὅτε ζημιοῦσθαι ὅτε κερδαίνειν, ἐξ αὐτῶν ὀφείλουσιν. Ἡ ἀποκαταστατικὴ ἀγωγή, καὶ ἡ κατὰ τοῦ προστήσαντος ἀγωγή, διηνεκεῖς εἰσιν, ἁρμό-

ἁρμόζουσι κληρονόμοις καὶ κατὰ κληρονόμων. Τῷ τῆς ἀποκαταστάσεως ῥήματι, καὶ καρποὶ περιέχονται· κἂν μὴ ῥητῶς ἐκφωνηθῇ. Ἀποκαθιστᾷν δοκεῖ, ὁ μὴ μόνον τὸ σῶμα τοῦ ζητουμένου, ἀλλὰ καὶ ὅλην τὴν τοῦ σώματος αἰτίαν καὶ τύχην διδούς· πᾶσα γὰρ ἀποκατάστασις, οὐ μόνον τοῦ σώματος, ἀλλὰ καὶ τοῦ δικαίου ἐστίν. Ἐκεῖνος ἀποκαθιστᾷ, ὁ διδοὺς οὕτω τῷ ἐνάγοντι, ὡς ἔμελλεν αὐτὸ ἔχειν ἐν καιρῷ προκατάρξεως.

## ΠΕΡΙ ΓΥΝΑΙΚΩΝ. τίτλ. ιγ.

Αἱ γυναῖκες, πάντων τῶν πολιτικῶν καὶ τῶν δημοσίων ὀφφικίων, κωλύονται, καὶ οὐ δικάζουσιν, οὐκ ἄρχουσιν, οὐ συνηγοροῦσιν, οὐ παρεμβάλλουσιν ὑπὲρ ἄλλων, καὶ γίνονται φοντισταί. Τὰς γυναῖκας ὡς ὀλισθηρὸν καὶ εὐαπάτητον ἐχούσας φρόνημα, ὁ νόμος πολιτικῶν καὶ δημοσίων ἐκωλύσατο· ἔτι δὲ οὐ διὰ ταῦτα μόνον, ἀλλὰ καὶ διὰ τὸ ἀνάξιον εἶναι τὰς γυναῖκας δημοσιεύειν, καὶ δικαστηρίοις προσεδρεύειν, καὶ ἀνδράσι συμμίγνυσθαι, καὶ πράττειν τὰ τῶν ἀνδρῶν, καὶ διὰ τοῦτο οὔτε πολιτικὸν ὀφφίκιον ᾠήσατο αὐτὰς ἐνεργεῖν, οὔτε δημόσιον. Πολιτικὸν δέ ἐστιν ὀφφίκιον, τὸ δικάζειν· δημόσιον δὲ, τὸ συνηγορεῖν, καὶ τὰ ὅμοια, ὅσα τὸ παρὸν ἀπαριθμεῖται νεαρόν. Ἔτι λοιπὸν οὐ δύνανται αἱ γυναῖκες δικάζειν ὡς δικασταὶ, οὐ συνηγοροῦσιν ὡς συνήγοροι, οὐκ ἀρχήν τινα ἄρξουσιν, ἤγουν οὐκ αἰτιφανήσουσί τινα, χρέους οἵου δή τινος ἕνεκεν, ἢ ἄλλου τινός· οὔτε δὲ μαρτυρήσουσιν ἢ ἐπιτροπεύσουσιν, οὔτε δέ τινα ἐναγόμενον, καὶ ἀπόντα, δεφενδεύσουσι, καὶ μετ᾽ ἀσφαλείας τὴν κατ᾽ αὐτῶν ἀγωγὴν ὑποδέξονται καὶ γυμνάσουσιν, ἢ τὰ πράγματα αὐτῶν διοικήσουσιν, ὡς κουράτωρες ἢ ἐπίτροποι, καὶ ὅσα ἐκεῖνος ὤφειλε ποιεῖν παρὼν ἐν τοῖς οἰκείοις, καὶ αὗται ποιήσουσι· ταῦτα γὰρ πάντα, ἀνδράσιν ἐστὶ πρέποντα, καὶ παρ᾽ ἐκείνων εἴωθε πράττεσθαι. Σὺ δὲ γίνωσκε ὅτι ἔστιν ὅτε καὶ μαρτυροῦσι γυναῖκες· πότε δὲ, ἄκουσον. Ἐὰν ἐν βαλανείῳ λουομένων

γυναικῶν, τύχῃ τὶς γυνὴ καὶ ἴδῃ ὑβριζομένην γυναῖκα εἶναι παρ' ἑτέρας, τότε δύναται μαρτυρεῖν, διὰ τὸ μὴ δύνασθαι ἄνδρα περὶ τότε ἐκεῖ παρατυχεῖν καὶ ἰδεῖν τὰ γινόμενα. ἐπιτροπεύοι δὲ καὶ ποτὲ, εἰ γὰρ ἔχει παῖδας γυνὴ καὶ τελευτήσῃ ὁ ταύτης ἀνὴρ, αὕτη ἐπιτροπεύει τῶν παίδων αὐτοῦ, εἰ μὴ πρὸς δεύτερον ἔλθοι γάμον· καὶ ἕτερα δέ εἶναι ποιεῖ ἀνατρεπτικὰ τοῦ παρόντος κανόνος· ἅπερ μαθήσῃ ἐκ τῶν κατὰ μέρος κεφαλαίων, πᾶς γὰρ νομικὸς κανὼν σαθρός ἐστι διὰ τὸ εὐχερῶς ἀνατρέπεσθαι. Γυνὴ οὐ δύναται κινεῖν ἔγκλημα, εἰ μὴ ἐπὶ ἰδίᾳ αἰτίᾳ. Γυνὴ κεφαλικὸν ἔγκλημα οὐ κινεῖ, πλὴν ἐπὶ ἀναιρέσει γονέων, ἢ παίδων, ἢ πατρώνων, ἢ τέκνων αὐτῶν, ἢ ἐγγόνων, καὶ τῶν λοιπῶν, καθ' ὧν ἄκουσα μαρτυρεῖν οὐκ ἀναγκάζεται. κινεῖ δὲ καὶ τὸν περὶ πλαστογραφίας νόμον, καὶ περὶ διαθηκῶν τῶν πατρῴων ἀπελευθέρων, καὶ τῶν μητρῴων.

Τὸν νόμον τὸν περὶ μοιχείας οὐ δύναται κινεῖν γυνή, οὐδὲ ἐὰν αὐτὴ λέγηται ἡμαρτῆσθαι, τουτέστιν, ἐὰν οὐδὲ αὐτὴ ἡ βουλομένη κινεῖν τὴν ὑπόθεσιν, λέγῃ ἐν ἑαυτῇ γενομένην τὴν ἁμαρτίαν, καὶ αὐτὴν εἶναι μεθ' ἧς τὸ τῆς ἁμαρτίας πταῖσμα τετέλεσται. Δύναται γυνή, καὶ κατὰ τοῦ ἰδίου παιδὸς κινῆσαι δημόσιον ἔγκλημα. Αἱ θήλειαι ὑπεξουσίους οὐκ ἔχουσιν.

Γυνὴ ἐν διαθήκῃ οὐ μαρτυρεῖ, ἐν ἄλλοις δὲ μαρτυρείαν νέμει, ἐν οἷς ἄνδρες οὐ προσκαλοῦνται. Οὐδεμίαν γυναῖκα ὑπὲρ χρηματικῆς αἰτίας, δημοσίας ἢ ἰδιωτικῆς, ἢ ὑπὲρ ἐγκλήματος οἵου δή ποτε, ἢ εἰς φουρὰν ἐμβάλλεσθαι συγχωροῦμεν, ἢ δι' ἀνδρῶν φυλάττεσθαι. Γυνὴ δυναμένη αἰσχρὰν ἔχειν ὑποψίαν, οὐδὲ ἀπὸ στρατιωτικῆς διαθήκης δύναταί τι λαβεῖν. Οὐ κατέχεται ἡ γυνὴ, ἐκ τῶν τοῦ ἀνδρὸς συναλλαγμάτων κἂν ἐγγυήσηται αὐτὸν ὡς ἐκ τοῦ Βελλιανείου δόγματος βοηθουμένη. Ἡ πρωτοτύπως χρεωστοῦσα γυνὴ καὶ μὴ ὑπὲρ ἄλλου τινὸς ἔνοχος γινομένη, οὐκ ἔχει τὴν τοῦ Βελλιανεί-

ου παραγραφήν· ὁμοίως δὲ ὑπὲρ τοῦ ἰδίου δανειστοῦ ἔνοχος γινομένη, πάλιν οὐκ ἔχει τὴν παραγραφήν. τότε γὰρ μόνον χώραν τῷ δόγματι, ὅτε μηδὲν χρεωστοῦσα ὑπὲρ ἀλλοτρίας ἐνοχῆς, ἑαυτὴν παρενέβαλεν· τουτέστιν ὅτε καὶ τοῦ ἰδίου δανειστοῦ τὴν παραγραφὴν ἔχει, ὡς προτύπως αὐτῷ χρεωστήσασα· ἀλλ' οὐ δὲ κατ' ἐκείνου ᾧ ἐδόθη ὡς ὑπὲρ δανειστοῦ δοθεῖσα. Ὅτι γυνὴ χρυσίον λαβοῦσα παρά τινος ἐπὶ τῷ δοῦναι τοῦτο, ὥστε ἀπολυθῆναι τὸν ἄνδρα αὐτῆς ἀπὸ τῆς φυλακῆς, ἐνέχεται καὶ οὐ βοηθεῖται, ἐγγύην προβαλλομένη, ἢ ὑπεξουσιότητα. Ἡ γυνὴ κἂν πολλάκις μετὰ οἷον δήποτε χρόνον ἐπερωτηθῇ ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς, ὡς ἀντιφωνοῦσα βοηθεῖται. Εἴ τις γυνὴ ἐν δανειακῷ γραμματείῳ συναινέσει τῷ ἰδίῳ ἀνδρὶ, ἢ ὑπογράψει, καὶ τὴν ἰδίαν περιουσίαν, ἢ καὶ αὑτὴν ἐνοχοποιήσῃ, οὐδὲν τοιοῦτον ἰσχύει, ἢ κρατεῖ· εἴτε ἅπαξ, εἴτε πολλάκις τὸ τοιοῦτον ὑπὲρ τοῦ αὐτοῦ πράγματος γίνηται· εἴτε ἰδικὸν, εἴτε δημόσιον εἴη τὸ χρέος. ἀλλ' οὕτως εἶναι, ὡς ἂν εἰ μὴ δὲ γεγραμμένον ἦν, εἰ μὴ φανερῶς ἀποδειχθῇ ὅτι τὰ χρήματα, εἰς ἰδίας αὐτῆς τῆς γυναικὸς χρείας ἐδανείσθησαν. Ἐὰν γυνὴ διὰ τὴν τοῦ ἀνδρὸς ἐνοχὴν παρενέβαλεν ἑαυτὴν, ἐν τῷ δεσμῷ τοῦ ἀλλοτρίου συναλλάγματος, καὶ διὰ τῆς ἰδίας ὑποστάσεως τοῦτον ἀπαλλάξαι τῆς ἐνοχῆς ἐμελέτησεν. εἰ μὲν ὑποσχομένη μὴ κατέβαλεν, οὐ δὲ καταβαλεῖν ἔτι ἀπαιτηθήσεται· εἰ δὲ κατέβαλεν, ἐκδικεῖν τὸ καταβληθὲν οὐ δύναται, δηλονότι τῆς ἐντελοῦς οὖσα. Εἰ μὴ ὁ ἀνὴρ παρὰ γνώμην τῆς ἰδίας γυναικὸς ὑποθῆται τὰ πράγματα αὐτῆς, οὐκ ἔρρωται ἡ ὑποθήκη. ἐὰν δὲ συναινούσης αὐτῆς ὑποθῆται, πάλιν ἐμποδίζει τὸ δόγμα, ἐὰν ἤδη ὁ πρὸς τὸν ἄνδρα συναλλάξας· εἰ δὲ ἡ γυνὴ ὁρῶσα τὸν ἄνδρα τὰ ἴδια ὑποτιθέμενον ἐσιώπησεν ἐπίτηδες, ὡς ἀπατῆσαι βουλομένη τὸν συναλλάσσοντα τῷ ἀνδρὶ, τότε οὐ βοηθεῖται. ταῖς γὰρ ἀπατωμέναις γυναιξὶ βοηθεῖ τὸ δόγμα, οὐ ταῖς πανούργοις.

Γυνὴ τὸ ἴδιον ἀγνοήσασα δίκαιον, βοηθεῖται καὶ οὐκ ἀποκαθίσταται εἰς αὐτὸ, μηδὲν βλαπτομένη, ἀλλὰ συγγινωσκομένη διὰ τὸ μὴ γινώσκειν αὐτό. Ἔνθα φύσει καὶ νόμῳ μεμισημένον ἁμαρτάνει τις, ὁμοίως ἡ γυνὴ τῷ ἀνδρὶ τιμωρεῖται. εἰ δὲ τῷ νόμῳ μόνῳ κεκώλυται, συγγινώσκεται ἡ γυνή. καὶ ὅτι ἔσθ᾽ ὅτε καὶ οἱ ἄνδρες ἀθεμίτως μιγνύμενοι πραότερον ἤπερ οἱ μοιχοὶ τιμωροῦνται. Γυνὴ προῖκα ἐπαγγειλαμένη, οὐ βοηθεῖται, ἀλλ᾽ ἀναγκάζεται ἀποδιδόναι αὐτήν.

Ἐὰν ἐν συνεστῶτι τῷ γάμῳ, γυνὴ πωλήσῃ τι, κἂν σωματικὸς ὅρκος προβῇ, κἂν εἴτι γένηται ἄκυρον τὸ πραχθὲν, καὶ ἀναστρέφεται πάλιν τὸ πραχθέν. εἰ δὲ βελτιώσεις τινὰς ἐν αὐτῷ ποιήσει ὁ ἀγοραστὴς, καταδικαζόμενος καὶ ἀντιστρέφων, ἐπιλογὴν ἔχει, ἢ τὴν ἀποτίμησιν τῆς βελτιώσεως ἀπολαβεῖν, ἢ αὐτὰ τὰ βελτιωθέντα, κατ᾽ οὐδὲν ἐλαττῶν τὸν πρότερον τύπον.

Ὅσα παρακατάθηται ἑαυτῇ ἡ γυνὴ, καὶ μὴ ἀπογράφηται εἰς προῖκα, ἢ καὶ τὰ περιερχόμενα αὐτῇ, συνεστῶτος τοῦ γάμου καὶ παρακρατούμενα, ἐκποιούμενα παρὰ τοῦ ἀνδρὸς εἰδυίας καὶ τῆς γυναικὸς καὶ συναινούσης ἐγγράφως, οὐ δύναται ἡ γυνὴ μετὰ λύσιν τοῦ γάμου ἐπιζητῆσαι, ἢ προβαλέσθαι τὸ τῆς ὑπεξουσιότητος δίκαιον. Γυνὴ κατηγορίας ἀφισταμένη, ἤγουν ἀφεῖσα τὴν κατηγορίαν μετὰ τὸ κινῆσαι αὐτὴν, ἢ ἀστοχοῦσα, τουτέστι νικωμένη, εἰς τὴν ὑπόθεσιν ἣν ἐκίνησεν, οὐκ ἐνέχεται τῷ περὶ συκοφαντίας νόμῳ, οὐδὲ ταῖς τῆς συκοφαντίας ὑποπίπτει ποιναῖς. ἄνδρες δὲ καὶ ἀφιστάμενοι τῆς κατηγορίας καὶ ἀστοχοῦντες, ὡς συκοφάνται καταδικάζονται:

Πᾶσα γυνὴ ἐν τοῖς ἐξωπροίκοις καὶ τοῖς ἄλλοις, χωρὶς τῆς προικὸς, δύναται καὶ συναλλάσσειν καὶ χαρίζειν καὶ δωρεῖσθαι, καὶ ἔρρωται πάντα. Ἡ γυνὴ προτιμάσθω περὶ τὴν προῖκα, τῶν προτέρων δανειστῶν τοῦ ἀνδρός. Ἐὰν ἐν τῷ καιρῷ τοῦ γαμικοῦ συναλλάγματος, ἔλθῃ ὁ χρεώστης ἐπιφανούμενος.

μένος τῇ γυναικὶ ὡς ὁ ἀνὴρ χρεωστεῖ, ἢ ὁ οἶκος αὐτοῦ ὑπόκειται αὐτῇ, ἢ ἑτέραν ἐνοχὴν ἔχῃ κατ' αὐτοῦ, καὶ ποιήσῃ ἐν γνώσει τοῦ πράγματος τοὺς συναλλάσσοντας, οὐκ ἔχουσιν ὕστερον τὸ δίκαιον τῆς προικὸς κατὰ τῶν προφωνησαμένου· ἐν γνώσει γὰρ γεγόνασι, καὶ ἠδύναντο μὴ συναλλάσσειν. Οὐ προτιμᾶται ἡ γυνὴ τῶν προτέρων δανειστῶν, περὶ τὴν πρὸ γάμου δωρεάν.

Ἡ γυνὴ προτιμᾶται περὶ τὴν προῖκα τοῦ δημοσίου χρέους, εἰ μὴ πρεσβύτερον ὑπῆρξεν. Ὅτι ὑπὲρ τοῦ παιδὸς ἀντιφωνοῦσα γυνή, κέχρηται τῇ παραγραφῇ· προῖκα δὲ ἐπαγγειλαμένη οὐ βοηθεῖται. Ἐὰν γυνὴ ἔχῃ παραγραφὴν δανειστῶν, χρεωστοῦντι τῷ ἀνδρὶ ποιήσῃ ἀποχήν, ὀνόματι προικὸς ὅλον τὸ χρέος ἀπαιτεῖται ὁ ἀνήρ, καὶ σβέννυται ἡ προίξ, οὐ δὲ γὰρ συνίσταται προίξ, ἔχει παραγραφὴν δανειστῶν.

ΥΠΟΘΕΣΙΣ. Γυνή τις εἶχε διαφόροις δανειστάς, ἐχρεωστεῖτο καὶ αὐτὴ παρὰ πέτρου τοῦ ἰδίου ἀνδρὸς νο. ῡ. βουληθεῖσα δὲ περιγράψαι τοὺς ἰδίους δανειστάς, καὶ ἐλαττῶσαι τὴν ἰδίαν περιουσίαν, καὶ προσθεῖναι τοῖς δανεισταῖς καὶ ἕτερον δανειστήν, ἀνεκάλυψε τὸ σκαιώρημα πέτρῳ τῷ ἰδίῳ χρεώστῃ καὶ συζύγῳ, καὶ πεποίηκεν αὐτῷ ἀποχήν· ἤτοι ἐλευθερίαν τοῦ χρέους τῶν τετρακοσίων νο. γράψασα ὅτι τὰ τετρακόσια νο. ἅ μοι ἐχρεώστεις ὦ πέτρε ἀπὸ δανείου, ἔχω λαβοῦσα ἀπὸ σοῦ· καὶ βούλομαι εἶναι ταῦτα παρὰ σοὶ ὡς προῖκα. τοῦτο δὲ πεποίηκεν, ἵνα καὶ ὁ ἀνὴρ μηκέτι ᾖ χρεώστης, ἀλλὰ δανειστὴς καὶ χρεωστούμενος προῖκα, καὶ τὰ ῡ νο. λαβών, λογίζεται ὡς χρέος διὰ τὴν προῖκα· καὶ κινουμένων τῶν ἑτέρων δανειστῶν, νικᾷ αὐτοὺς καὶ ἐκβάλλει ἐκείνους κενούς, λέγων· ἀλλὰ μὴν καὶ ἐγὼ δανειστής εἰμι χρεωστούμενος προῖκα, καὶ νικῶ ὑμᾶς ὡς ἐπαγρυπνήσας καὶ λαβὼν τὸ ἴδιον χρέος, καὶ ὡς δυνατώτερα ἔχων δίκαια. φησὶ δὲ ὁ νομοθέτης, οὐκ ἐπεὶ ὁ ἀνὴρ ᾔδει τὴν περιγραφήν, καὶ συμμετέσχε τῇ γυναικὶ τοῦ δόλου, οὐκ ὠφεληθήσεται ἐκ τοῦ ἰδίου

δόλου, ἀλλὰ τῆς ἀρχῆς αὐτὸ οὐδὲν λογιζομένης, καὶ τῆς προικὸς μὴ συνισταμένης διὰ τῆς παραγραφῆς καὶ τοῦ δόλου, οὐ γὰρ συνίσταται προῖξ ἐκ παραγραφῆς τοῦ δανειστοῦ, ὁ ἀνὴρ ἔσεται πάλιν χρεώστης, καὶ ἀπαιτηθήσεται ὅλα τὰ υ ῑ. μὴ δυνάμενος λέγειν ὅτι ἀνήρ εἰμι, καὶ χρεωστῶ προῖκα, καὶ ὀφείλω καταδικάζεσθαι μέχρις εὐπορίας, ἀλλὰ μὴ ἀπαιτεῖσθαι εἰς ὁλόκληρον. ταῖς γυναιξὶν εἰς τὸ διεκδικηθῆναι συντρέχομεν, οὐ μὴν συκοφαντούσαις.

ΠΕΡΙ ἈΠΟΓΡΑΦΗΣ.

Μὴ ἀπογραψαμένη γυνὴ, οὐκ ἐκπίπτει τῶν μὴ φαινομένων προικιμαίων εἰδῶν, ἤγουν ἀπαίτησιν τούτων οὐκ ἔχει, καὶ οὐκ ἔστι νόμος περὶ τούτου διαλαμβάνων· ἀλλ' οὕτως ἐκράτησεν ἡ συνήθεια. εἰ μέντοι γυνὴ καταλειφθεῖσα ἐπίτροπος τοῦ ἀνδρὸς, ἢ καὶ χειρίσασα τοῖς πράγμασι τούτου, καὶ κατασχοῦσα ταῦτα μὴ ἀπογράψηται, ἀλλὰ τὰ μὲν τοῦ ἀνδρὸς κατασπαταλήσῃ, τὰ δὲ οἰκεῖα ἤτοι τὰ τῆς προικὸς συντηρήσῃ· καὶ ἀπαιτουμένη παρὰ τοῦ παιδὸς τὰ πατρῷα, μηδὲν ἔχειν λέγοι, ταύτην μὴ μόνον ἔχειν ἀργὴν ὁ μάγιστρος ἔλεγε τῶν μὴ φαινομένων εἰδῶν τῶν προικιμαίων, ἀλλὰ καὶ τὸν ὅρκον τοῦ υἱοῦ προτιμᾶσθαι. τὸν γὰρ υἱὸν ἔφασκε χρῆναι ὀμνύειν, τί ἄρα ὁ πατὴρ ἐν τῇ τελευτῇ ἐκέκτητο, καὶ ταῦτα τὴν μητέρα ζημιοῦσθαι, καὶ ἀπὸ τῆς ἰδίας προικός. ΝΕΑΡΑ. Καὶ ἡ ἑκατοστὴ δεκάτη νεαρὰ τοῦ καίσαρος Λέοντος, περὶ γυναικὸς τοῦ ἀνδρὸς αὐτῆς τελευτήσαντος φησὶν, ὡς αὐτῆς ἔσω τριῶν μηνῶν ἀπογραφὴν ποιεῖσθαι τῆς τε οἰκείας προικὸς, καὶ τῆς πρὸ γάμου δωρεᾶς, καὶ τῆς ἄλλης πάσης ἀνδρῴας περιουσίας, καὶ τῇ προανέξει τῆς ἀπογραφῆς ἐπιζητεῖν. εἴ τινα λέγοι παρὰ τοῦ ἀνδρὸς ἀποστῆναι καινοτομίαν εἰς τὰ ἀνήκοντα αὐτῇ, χωρὶς δὲ ἀπογραφῆς εἴτε ἐνάρχους ἀποδείξεως, μηδὲν ζητεῖν, μὴ δὲ ἐπὶ τούτοις ἀντιλαμβάνειν. Ὅτε εἰ μὴ ἐντὸς πόλεως ἡ γυνὴ ἐστὶν, ἐντὸς τριῶν μηνῶν ὀφείλει τὴν ἀπογραφὴν ποιεῖν, καὶ τοὺς δανειστὰς πα-

ραγράφε

ῥαγράφεσθαι τοῦ ἀνδρὸς· εἰ δὲ ἐκτὸς ἐστὶ θέματος, ἐντὸς δώδεκα μηνῶν· εἰ δὲ ὕβριν τὸν οὐ ποιήσει ἐμπροθέσμως, βοηθοῦνται οἱ δανεισταί. Γυνὴ μήπω τὴν προῖκα ἱκανωθεῖσα μετὰ θάνατον τοῦ ἀνδρὸς, δι᾽ ἄγνοιαν τοῦ προτιμᾶσθαι τῶν δανειστῶν, κατέβαλε τούτοις, μετὰ τὸ αὐτοὺς τὰ ἴδια, δίδοται συγγνώμη· εἰ δὲ κέρδος ἦν τὸ παρ᾽ αὐτῆς μετὰ τὴν καταβολὴν ἀπαιτούμενον, τυχὸν δωρεὰ ἢ ὑπόβολον ἢ τηρούμενον προγενεσία τοῦ ἀνδρὸς, οὐ συγγνωσθήσεται· ἐπὶ γὰρ ἰδίων πραγμάτων ἡ γυνὴ ἀγωνιζομένη, μὴ νικήσασα τὴν ἀπογραφὴν ἐμπροθέσμως, τὴν τοῦ νόμου ἄγνοιαν εἰς βοήθειαν ἔχει. γυνὴ γάρ, φησι, νόμους ἀγνοήσασα, συγγινώσκεται· ἐπὶ κέρδους δὲ οὐδαμῶς. ὥστε καὶ ἐνταῦθα λοιπὸν, ἐπὶ μὲν τῆς προικὸς ὑπὸ τοῦ ἀνδρὸς καταναλωθείσης μετὰ τὸν τοῦ ἀκριβοῦς ὅρκον, δίκαιον ἕξει πάντως· ἐπὶ δὲ προγαμιαίας δωρεᾶς, οὐκέτι· κέρδος γὰρ ἐστί.

## ΠΕΡΙ ΔΟΥΛΩΝ. τιτλ. ΙΔ΄.

Δοῦλος οὐκ ἐνέχεται, ὅτε ἐνοχλοποιεῖται. Δοῦλος οὐκ ἐνάγεται διὰ δεσπότου ἀγωγῇ. Ὁ ἐν δουλείᾳ ὢν, οὐδὲ τὸ χρῆσθαι δεσπόζει ἐπειδὴ νέμεσθαι οὐ δοκεῖ. Διὰ τῶν δούλων κρείττων ἡ αἵρεσις τῶν δεσποτῶν γίνεται, οὐ μὴν χείρων.

Ἐπὶ τοῖς μὴ βραχέσιν καὶ μιαροῖς ἁμαρτήμασιν, συγγινώσκονται οἱ δοῦλοι μὴ πειθαρχοῦντες τοῖς δεσπόταις, ἢ τοῖς ἐν τάξει δεσποτῶν, δι᾽ ἐστὶ τόποις καὶ κουράτωρσιν. Ἡ δουλεία σχεδὸν ἔοικε θανάτῳ. Οἰκέτης μὴ δικαζέσθω, μηδὲ ἐρρώσθω κατ᾽ αὐτοῦ δίκη. Δοῦλος εἴτε ἐπερωτήσει, εἴτε ἐπερωτηθῇ παραστάσιν ἐστὶ τοῦ αὐτὸν δικάσασθαι, οὐ βεβαιοῦται, ὅτε οἱ ἐγγυηταὶ ἐνέχονται· δοῦλος γὰρ οὔτε ἐνάγει, οὔτε ἐνάγεται. Δοῦλος οὐ δύναται τὸν δεσπότην δικάσασθαι, ὅτε γὰρ τῷ νόμῳ ὀφείλεται· καλῶς δὲ λόγῳ τῆς ἐλευθερίας αὐτοῦ κατηγορεῖ λέγων αὐτὸν ἀποκρύψαι τὴν διαθήκην, ἐν ᾗ ἐλευθερία αὐτῷ κατελείφθη. Δοῦλος κατὰ τοῦ δεσπότου οὐ βασανίζεται,

νίζεται, εἰ μὴ μόνον ὅτε τῆς μοιχείας ἐστὶν ἡ ζήτησις, καὶ τῆς καθοσιώσεως. Δοῦλος ἐπίτροπος ἢ κουράτωρ οὐ δύναται δοθῆναι.

Κατὰ νόμον, οὔτε χρεωστεῖ δοῦλος, οὔτε χρεωστεῖται. τὰ γοῦν αὐτῷ χρεωστούμενα, ὁ δεσπότης ἀπαιτεῖ. τῶν δὲ παρ' αὐτοῦ χρεωστουμένων, ἐνάγεται τῇ τοῦ πεκουλίου ἀγωγῇ ἢ τῇ τῆς δαπανήματος τῶν γενομένων εἰς τὰ τοῦ δεσπότου πράγματα.

Ἀπὸ ἐγγύης τοῦ δούλου, οὐκ ἐνάγεται ὁ δεσπότης, εἰ μὴ εἰς πρᾶγμα τοῦ δεσπότου, ἢ τοῦ πεκουλίου ἐνεγγυήσατο. Τὸν κληρωθέντα δοῦλον, ἔξεστι τῷ δεσπότῃ εἴσω ἐνιαυτοῦ μόνου, τὴν τύχην ἀποδεικνύναι, καὶ τοῦτον ἀναλαμβάνειν. Μετὰ δὲ προσκαρτερῆσαι τὸν δοῦλον ἔν τινι μοναστηρίῳ, ἐφ' ᾧ γενέσθαι μοναχὸν ἐπὶ τριετίαν, καὶ λαβεῖν τὸ ἅγιον σχῆμα, μηκέτι δύνασθαι τὸν δεσπότην αὐτοῦ, πρὸς δουλείαν αὐτὸν ἕλκειν· εἰ μή τοιγε πειραθείη ὁ ἅπαξ μονάσας, τὸ μοναστήριον καταλιπεῖν καὶ ἑτέρου βίου σχῆμα μεταδιώκειν. Τὸν ἱερωθέντα δοῦλον ἀγνοίᾳ τοῦ δεσπότου, εἰ καὶ ἐπίσκοπος γένοιτο, εἰς τὴν προτέραν τῆς δουλείας ἀποκαθίστασθαι τάξιν, ἀπογυμνωθέντα τῆς ἐκεῖθεν λαμπρότητος. ὁμοίως δὲ καὶ τὸν μονάζοντα δοῦλον ἀγνοίᾳ τοῦ δεσπότου, ἀποδύεσθαι τὸ σχῆμα, καὶ ὑπὸ τὴν δουλικὴν ἐξουσίαν αὐτὸν τάττεσθαι. Ὁ ἀγοράζων δοῦλον αἰχμάλωτον, καὶ οἶδε τὴν αὐτοῦ κατάστασιν, γίνεται αὐτοῦ δεσπότης. διδοὺς δὲ ὁ πρώην αὐτοῦ δεσπότης τὸ ὑπὲρ αὐτοῦ δοθὲν, λαμβάνει αὐτὸν εἰ μὴ ἄρα παρῆλθεν, ὁ τῆς ἐν τῷ χρήσει δεσποτείας χρόνος. εἰ δὲ ὁ ἀγοραστὴς αὐτὸν ἐλευθερώσῃ· ἢ ἕτερος καλῇ πίστει παρ' αὐτοῦ ἀγοράσας, οὐκέτι δύναται ὁ πρώην δεσπότης ἀναλαβεῖν αὐτόν.

## ΠΕΡΙ ΚΛΗΡΟΝΟΜΙΑΣ.

Ἐὰν δοῦλος ἔχων συγγενῆ ἐλεύθερον ἀδιαθέτως τελευτήσαντα, καὶ κεκτημένου πολλὴν ὕπαρξιν ἐπιχειρῇ κληρονομεῖν τοῦτον, οὐκ ἀκούεται, κἂν ἀδελφὸς εἴη, ἢ πατήρ, ἢ μήτηρ, ἀλλ'

οὐδὲ ὁ δεσπότης τοῦ δούλου, ἔχει τινὰ ἀγωγὴν κατὰ τῶν πραγμάτων τοῦ ἐλευθέρου. Ὅτι εὐγενὴς γυνὴ ὅ ἐστιν ἐλευθέρα, οὐ δουλοῦται ἀνδρὶ δούλῳ συζευχθεῖσα, εἴτε ἑκοῦσα, εἴτε ἄκουσα· εἴτε ἀγνοοῦσα τὴν τοῦ ἀνδρὸς τύχην, εἴτε εἰδυῖα ὡς ἡ διάταξις λέγει.

ΠΕΡΙ' ἈΣΑΦΟΥ͂Σ ΚΑΙ' ἈΜΦΙΒΟΛΙ'ΑΣ τίτλ. ιε

Ἐὰν ἀμφίβολος εὑρεθῇ φράσις ἐν ἐπερωτήσει, ἐκεῖνο δεχόμεθα, ὅπερ τὸ πρᾶγμα περὶ ὅ ἐστιν ἡ ζήτησις, ἀσφαλίζεται.

τὴν ἀσφάλειαν ὡς ἐπὶ τὸ πολὺ, ὑπὲρ τοῦ ὁμολογήσαντος ἑρμηνεύομεν. ΣΧΟ'Λ. οἷον ἐνήγαγον κατὰ τοῦ πέτρου, εἰ φαίνεται καταβληθῆναι ν ι ρ̄, κατὰ δίκασον ὦ δικαστὰ, καὶ ἔστιν ἀμφίβολον εἴτε αὐτὸς κατέβαλον τῷ πέτρῳ, εἴτ' ἐκεῖνος ἐμοὶ ἀμφιβόλου οὖν οὔσης τῆς ἐναγωγῆς, ἐφεῖται μοι ἐν ἀνάγοντι ἑρμηνεῦσαι αὐτὴν ὑπὲρ ἐμοῦ, καὶ λέγειν οὕτως ἐγὼ ἐνόουν τῇ ἐναγωγῇ μου, ὅτι αὐτὸς κατέβαλε τὰ ρ̄ ν ι καὶ δέχεταί με καὶ τὸ δικαστήριον. ἢ πολλάκις ἐν τῷ δικαστηρίῳ διήγησιν ποιῶν, οὕτως εἶπον, πρὸ χρόνων τεσσάρων, ὁ πέτρος ἦλθε πρός με, καὶ ἐκινήθη λόγος περὶ δανείου, καὶ ἠριθμήσαμεν τὰ διακόσια ν ι. καὶ ἐνταῦθα γὰρ ἄδηλόν ἐστιν, εἴτε τῷ πέτρῳ παρ' ἐμοῦ ἠριθμήθησαν τὰ σ̄ ὑπέρπυρα, εἴτε ἐμοὶ παρ' ἐκείνου· δεῖ ἑρμηνεύων τὴν ἀσαφῆ μου διήγησιν, καὶ λέγων ὅτι αὐτὸς ἠρίθμησα τὰ ν ι τῷ πέτρῳ, εἰσακουσθήσομαι διὰ τὸν παρόντα νόμον, καὶ εἰκότως. ἐπεὶ γὰρ πρόδηλος οὐκ εἶπον τι νοούμενον κατ' ἐμοῦ, εἰμὶ παραδεκτέος εἰς τὸ σαφηνίζειν τὰ τῆς ψυχῆς διανοήματα· τὸ δὲ ἀσαφὲς σύμφωνόν ἐστι κατὰ τοῦ πράτου, καὶ τοῦ μισθώσαντος.

Ἡ ἀμφίβολος ἐπερώτησις, κατὰ τοῦ ἐπερωτήσαντός ἐστιν.

τὰ ἀσαφῶς γεγραμμένα, ὡς μὴ νοεῖσθαι τὴν ἔννοιαν αὐτῶν, ἀλλ' ὅτι μὴ γεγραμμένων ἐστί· τὰ δὲ λοιπὰ ἰσχύει. Ἐπὶ τῶν ἀσαφῶν, τὸ ἧττον ἐπιλεγόμεθα. Ἐπὶ τοῦ ἀσαφοῦς πράγματος, κρεῖττόν ἐστιν εὔνοιαν τῇ ἀπαιτήσει, ἤπερ τῷ ἐπεισάκ-

τῷ κέρδει. ΣΧΟΛ. οἷον ἐδάνεισά σοι ῑι ρ̅ συμφωνήσας λαβεῖν ταῦτα μετ᾽ ἐνιαυτὸν, καὶ μὴ τόκον τὸν συνδοξάντων, μὴ προσθεὶς καὶ τὴν τῶν τόκων ποσότητα, μετ᾽ ἐνιαυτὸν σὺ μὲν προσήγαγες τὰ ρ̅ ῑι. ἐγὼ δέ σε ἀπῄτουν καὶ τόκον, προβαλλόμενος ὅτι καὶ τόκοι συνέδοξαν μέσον ἡμῶν δοθῆναι. ἀντείχου σὺ τῆς ἀσαφείας τῆς συμφωνίας, καὶ προεβάλλου ἀνίσχυρον εἶναι τὸ σύμφωνον, ὡς μὴ σαφηνίζον καὶ τὸ ποσὸν τῶν τόκων. φησὶ οὖν ὁ νομοθέτης, ὅτι ἐπὶ τῆς ἀσαφοῦς ταύτης συμφωνίας, τῆς περὶ τῶν τόκων, κρεῖττόν ἐστι τὸ ὄν τῇ ἀπαιτήσει, ἤτοι τὸ βοηθεῖν καὶ διδέναι ἀγωγὴν ἐν δυνάμει εἰς τὸ ἀπαιτηθῆναι τὸ δανεισθὲν ποσὸν, πρὸ βοηθεῖν εἰς τὸ ἀπαιτηθῆναι τὸ ἐπείσακτον κέρδος, ὅπερ ἐστὶν ὁ τόκος· οὗτος γὰρ ἔξωθεν ἐστὶν ἐπιγινόμενος. Η* καὶ ἄλλως, Πέτρος τις ἐχρεώστει μοι ῑι ρ̅ ἀπὸ δανείου, ἔνοχος ὤν μοι προσωπικῇ μόνῃ ἀγωγῇ τῇ τοῦ δανείου· ὁ αὐτὸς χρεωστῶν ἦν καὶ Παύλῳ τινὶ, ῑι ν̅ ἀπὸ τόκων. ἐχωρίσαμεν ἀμφότεροι κατὰ τοῦ Πέτρου, καὶ ἔσπευδεν ὁ Παῦλος πρῶτος λαβεῖν τὰ ἀπὸ τόκων χρεωστούμενα, δικαιολογούμενος ὅτι κἂν οὐκ ἔστι προτίμησις ἐπὶ τῶν προσωπικῶν ἀγωγῶν, ἀλλ᾽ οὖν διότι ἔφθασα πρῶτος ἐγὼ κινῆσαι κατὰ τοῦ Πέτρου καὶ δικαιωθῆναι ἐπὶ τοῖς τόκοις, δικαιότερος εἰμὶ παρά σε, καὶ ὀφείλω πρῶτος λαβεῖν ἃ χρεωστοῦμαι διὰ τὸ μὴ ῥᾳθυμῆσαι, ἀλλὰ φθάσαι δικαιωθῆναι. ἀντιστάμην αὐτὸς, καὶ ἀπηρνούμην τὴν τοῦ Παύλου πρεσβυτέραν δικαίωσιν, προέφερε δ᾽ αὐτὸς ἀπόφασιν δικαστικὴν λόγου χάριν, ἰνδ. γ̅· προέφερον καὶ αὐτὸς ἀπόφασιν ἐπὶ τῷ χρέει ὧ ἐζήτουν, ἔχουσαν ἰνδ. δ̅· πρὸς δὲ, καὶ τὸ ἔτος ϛφε̅. ἐμαχόμεθα γοῦν πρὸς ἀλλήλους περὶ τῆς πρεσβυτερίας τῆς ἀποφάσεως. καὶ ὁ μὲν Παῦλος ἀπὸ τῆς ἰνδ. ἐπειρᾶτο κατασκευάζειν τὴν πρεσβυτερίαν λέγων, ὡς ἡ γ̅, πρεσβυτέρα τυγχάνει τῆς δ̅· ἐγὼ δὲ ἐδραττόμην τῆς ἀσαφείας, καὶ διὰ τὸ μὴ προσκεῖσθαι τὸ ἔτος, ἔλεγον γ̅ εἶναι ἰνδ., τὴν μεταταῦτα. ὑπεύθου δὲ

δὲ τὸν αὐτὸν δικαστὴν καὶ κατὰ τὴν προτέραν γ̅, καὶ τὴν μεταταῦτα πάλιν γ̅, μένειν ἐκεῖνον δικαστήν. φησὶ τοίνυν ὁ νομοθέτης ὅτι ἐπεὶ ἀσάφεια μεσολαβεῖ, καὶ ὁ μὲν ζητεῖ λαβεῖν ὅπερ ἔδωκεν, καὶ ὁ ἐκ τῆς ἰδίας οὐσίας ἐξεωνήσατο· ὁ δὲ ἐπαγωνίζεται κέρδος λαβεῖν, κρεῖττον ἐστὶ βοηθεῖσθαι τῇ ἀπαιτήσει ἤγουν τῷ χρέει, ἢ τῷ κέρδει. κέρδος γὰρ ἐπείσακτον ὁ τόκος, ὡς ἔξωθεν ἐπιγινόμενος, καὶ προτιμᾶται ὁ τὸ χρέος ζητῶν. καὶ ἱκανοῦται ὅσα ἐδάνεισε· καὶ μετ' αὐτὸν ὁ τοὺς τόκους ἀπαιτῶν, ἀποπληροῦται εἰ εὐπορεῖ ὁ ἐναγόμενος· εἰ δὲ μή, ἀναμένει ἕως οὗ εὐπορήσει.

Ἐν τοῖς ἀμφιβόλοις τὸ φιλάνθρωπον κρατεῖ, κἂν ἡ αὐτὴ φάσις διχῶς νοῆται, ἡ ἁρμόζουσα τῷ δικαίῳ καὶ κινουμένῳ πράγματι ἐπικρατεῖ. Ἐν τοῖς ἀμφιβόλοις τὸ καλοθελὲς δεχόμεθα. Ἐν τοῖς ἀμφιβόλοις, ὑπὲρ τῆς προικὸς ἀποκρινόμεθα. ΣΧΟΛ. Πολλὴν περὶ τὴν σύστασιν τῆς προικὸς ὁ νομοθέτης ποιεῖται τὴν πρόνοιαν, καὶ διὰ τοῦτο καὶ παρὰ τὴν τοῦ νόμου ἀκρίβειαν, πολλὰ εὑρήσεις κρατοῦντα ἐπὶ τῆς προικός· τοῦτο τῶν νόμων ῥητῶς λεγόντων. εἰ γὰρ συνίστανται προῖκες, ἔσονται καὶ συνοικέσια· εἰ δὲ συνοικέσια, καὶ πλῆθος καὶ αὔξησις ἀνθρώπων, ὅπερ καὶ θέλει καὶ βούλεται ὁ νομοθέτης. σκόπει δέ τί φησι τὸ ἐν τοῖς ἀμφιβόλοις, ὑπὲρ τῆς προικὸς ἀποκρινόμεθα· ὅταν ἀμφίβολον ἐστί τι μέσον προικὸς καὶ ἄλλου, ἡ προῖξ προτιμᾶται. δεῖγμα ὡς ἐπὶ θέματος, γυνή τις ἐλάττων τῶν ιβ̅ ἐτῶν νομιζομένη ἢ μείζων, συνήφθη ἀνδρί, καὶ ἐπιδέδωκεν αὐτῷ προῖκα· μεταταῦτα ἠπόρησεν ὁ ἀνήρ, εἶχε δὲ καὶ ἄλλους δανειστάς. καὶ ἡ μὲν κόρη ὡς προῖκα ἔχουσα, ἐζήτει προτιμηθῆναι τῶν ἄλλων δανειστῶν· οἱ δὲ ἔλεγον οὐκ ἔχεις προῖκα, διότι οὐδὲ γάμος συνέστη, σοῦ μὴ οὔσης ιβ̅ ἐτῶν, καὶ ἦν ἀμφίβολον, πότερον προῖξ ἦν τὰ δοθέντα παρὰ τῆς γυναικὸς πράγματα, ἢ οὔ. καὶ λέγει τὸ κεφ. ἀμφιβολίας οὔσης, ὑπὲρ τῆς προικὸς λέγομεν· καὶ λοιπὸν προτιμηθήσεται τῶν ἄλλων δανειστῶν ὡν

προτιμᾶται ἀμφιβολίας γοῦν οὔσης εἰ ἔστι προὶξ, ἢ μὴ, τὸ προῖκα λέγομεν εἶναι. Ἐν τοῖς ἀμφιβόλοις ἀφηγήσεσι τῇ διανοίᾳ δεῖ προσέχειν τοῦ ἀφηγησαμένου. Ἐν τοῖς ἀσαφέσι τὸ πιθανὸν, ἢ τὸ ὡς ἐπὶ τὸ πλεῖστον γινόμενον δεῖ σκοπεῖν. Ἐν τοῖς ἀσαφέσι, τὸ φιλάγαθον ἐρμηνεύομεν. τὸ ἀμφίβολον σύμφωνον, κατὰ τοῦ πρώτου ὄντος· ἡ δὲ ἀμφίβολος ἀγωγὴ, τὸ πρᾶγμα τοῦ ἐναγόντος οὐ καταβλάπτει.

ἘΝ ΤΟΙ͂Σ ἈΜΦΙΒΟΛΟΙΣ, ΤῸ ΦΙΛΑΝΘΡΩΠΟΝ ἘΠΙΚΡΑΤΕΙ͂.

ΣΧΟΛ. Διέθετό τις ἐγγράφως, καὶ ἐνστήσατο κληρονόμους γ΄ ἢ δ΄. καταλιπὼν καὶ ληγάτα διαφόροις προσώποις· μετὰ ταῦτα λυπηθεὶς καθ' ἑνὸς τῶν κληρονόμων, ἐχάραξε τὴν διαθήκην, καὶ προσέγραψεν ὅτι διὰ μῖσος ἑνὸς τῶν κληρονόμων ἐχάραξα τὴν διαθήκην. εὑρέθη ἡ διαθήκη ἐσφραγισμένη, καὶ ἐλινοτμήθη, καὶ ἀνεσφραγίσθη, εἰ μὲν αὐτοῦ μόνου τοῦ κληρονόμου τὸ ὄνομα ἐχαράχθη, δίδονται καὶ τὰ ληγάτα, καὶ ἔρρωνται καὶ αἱ ἐνστάσεις τῶν λοιπῶν κληρονόμων. εἰ δὲ καὶ τῶν λοιπῶν κληρονόμων τὰ ὀνόματα εὕρηνται κεχαραγμένα, τότε ζητεῖται πότερον αὐτὸν μόνον ἠθέλησε ζημιῶσαι καὶ ἐκβαλεῖν ἀπὸ τῆς ἰδίας κληρονομίας, ἢ καὶ τοὺς ἄλλους τοὺς λοιποὺς δι' αὐτὸν καὶ εἰ ἔστιν ἀμφίβολον, καὶ τὰ ληγάτα ἔρρωνται καὶ αἱ ἐνστάσεις τῶν λοιπῶν διὰ τὸ φιλάνθρωπον, ἐν γὰρ τοῖς ἀμφιβόλοις, τὸ φιλάνθρωπον ἐπικρατεῖ.

ΠΕΡῚ ΣΤΡΑΤΙΩΤΩ͂Ν. τίτλ. ιϛ.

Ἐν τῷ περὶ μοιχείας ἐγκλήματι, ἢ ἑτέρῳ δημοσίῳ καταδικασθεὶς, οὐ δύναται στρατιώτης εἶναι. παῖς τοὺς γονεῖς εἰπὼν γόητας, ἀνάξιος εἶναι στρατείας κρίνεται. Στρατιώτης οὐ δύναται γενέσθαι, οὔτε μισθωτὸς οὔτε ἐγγυητὴς, οὔτε διοικητὴς μισθωτοῦ. Ἡ διάταξις βούλεται, μηδένα κατὰ τὸν αὐτὸν καιρὸν

ρὸν ἔχειν δύο στρατείας, ἢ δύο ἀξιώματα· καὶ μὴ ἐξεῖναι διπλῶ στρατείαν μετελθεῖν, ἢ συμμίξαι τῇ στρατείᾳ ἀξίωμα. τοὺς δὲ θελήσαντας ἐπιχειρῆσαι, δέκα λιτρῶν χρυσοῦ ποινὴν καταβάλλειν, μετὰ τοῦ μηδὲν ὠφελεῖσθαι· οὐδὲ ἡ διὰ χρήσεως κυριότης προβαίνουσα, οὐδὲ ὁ τοῦ τυχοῦ μακροῦ χρόνου παραγραφῆς, περαιούμενος χρόνος βλάπτει τὸν στρατιώτην, ἢ τὸ διὰ πρᾶγμα δημόσιον ἀπολιμπανόμενον· ἐαὶ αὐτὸς ἐν αὐτῶν ὠρισμένου, μετὰ τὸ παύσασθαι τῆς ἐκδημίας, ἐνάγῃ περὶ αὐτῶν. Εἰ καὶ ἰδιῶται περὶ τῆς ἀλλήλων διαδοχῆς ἀνισχύρως συμφανῶσιν, καὶ οὐδὲ θανάτου αἰτίᾳ δωρεὰν εἰσάγει τὸ σύμφωνον, στρατιῶται ὅμως τὴν παράταξιν ἐξιόντες, ἰσχυρῶς τὸ τοιοῦτον συμφωνοῦσιν.

ΝΕΑΡΑ᾽ ΤΟΥ͂ ΚΑΊΣΑΡΟΣ ΚΩΝΣΤΑΝΤΊΝΟΥ τοῦ βασιλέως.

Θεσπίζομεν μὴ ἐξεῖναι τοῖς στρατιώταις, τὰ ἐξ ὧν αἱ στρατεῖαι ὑπηρετοῦνται κτήματα, ἀπωλεῖν· σωτηρεῖσθαι δὲ εἰς ἑκάστην στρατείαν, ἱππέων μὲν ἀκίνητον κτῆσιν, τεσσάρων λιτρῶν ὕπαρξιν, ἀριθμεῖσθαι κελεύομεν· πλωΐμων δὲ λιτρῶν δύο. μὴ δὲ ἄλλως κυριεύεσθαι τὰ στρατιωτικά, τοῖς ταῦτα οἵῳ δή τινι τρόπῳ κτωμένοις, εἰ μὴ ὁ τῆς τεσσαρακονταετίας ἀνωθεν φώνητος διαῤῥεύσει χρόνος. σχεδὸν δὲ τοῖς κακῇ πίστει νεμομένοις, κεῖται τούτοις καὶ πάλαι ἡ συνήθεια· πλὴν ὅσον, οἱ μὲν ἐκ συναλλάγματος νεμηθέντες, τὴν τῶν καρπῶν ζημίαν διέφυγον· οἱ δὲ πίστει κακῇ νεμόμενοι, καὶ καρποὺς καὶ προσόδους, καὶ πᾶσαν βλάβην κατετίθεντο, ὃ καὶ ἡμῖν ἀρέσκει.

ΤΟΥ͂ ΑΥ᾽ΤΟΥ͂. Εἴ τις στρατιώτην, ἐν παροίκου λόγῳ εὑρεθείη κατέχων, εἰ μὲν αὐτὸς ἐκεῖνος καὶ τὰ ἐξ ὧν ἡ στρατεία ὑπηρετεῖται ἁρπάσας κτήματα ἔχει, χρυσοῦ νομίσματα, ποινῆς ἕνεκεν ἀποτίσει, ἐξ ὧν ὁ στρατιώτης μὲν τὰ ἡμίση λήψεται, πρὸς ἐπανάληψιν τῆς ἀποκαταστάσεως αὐτοῦ· τὰ δὲ ἡμίση λήψεται πρὸς ἐπανάληψιν ὁ δημόσιος, ἧς χάριν ἐστερήθη δουλείας. εἰ δ᾽ οὐχ ἁρπάσας ἀλλ᾽ ἀγοράσας εὑρεθῇ τὰ στρατιω

τικὰ, πρὸς μὲν τὸ δημόσιον, χρυσοῦ ι̅ καταθήσει· πρὸς δὲ τὸν στρατιώτην, ἀργυρίου ὑπὲρ τοῦ τιμήματος οὐχ ἕξει. εἰ δ' ἑτέρων αὐτὸν ἐξελασάντων ἐκ τῶν οἰκείων, ἢ αὐτῶν, ἢ ἐκείνων ἐκστασίᾳ χρησαμένων, ἄλλοι τούτους καταπειράσαντες ἐδέξαντο, εἴτε παροικεῖν, εἴτε φυτεύειν, ἀνεύθυνοι ἔσονται. ὅσοι δὲ στρατιώτας ἱκανοὺς εἰς ἰδίας ὑπηρεσίας κατετόλμησαν ἔχειν, τοῦ φοσσάτου τούτους ἀποστερήσαντες, εἰς ἕκαστον ἐν ἑκάστῳ χρόνῳ, ἓξ νομίσματα, ὁ ἐξκουσατεύσας εἰσπραχθήσεται. εἰ μή πως ἀπὸ στρατηγῶν, ἢ τῶν ἄλλων ἀρχόντων, τούτους ἔτυχον δεδεγμένοι καὶ οὗτοι ἐκ τῶν ἀποταγμένων εἰς ὑπηρεσίαν τοῦ στρατηγοῦ, ἢ τῶν ἄλλων ἀρχόντων καθεστήκεισαν. εἰ γὰρ ἐκ τῶν ἔξωθεν, καὶ τῆς κοινότητος εἰσὶν, οὐκ ἀθωωθήσεται ὁ τούτους ἔχων· εἰ καὶ δεικνύειν ἑτοίμως ἔχει παρὰ τοῦ στρατηγοῦ, ἢ ἄρχοντος ἐπιτετραπῆναι κεχρῆσθαι αὐτοῖς.

ΝΕΑΡΑ'. Ἐάν τινες μερίδας τινὰς ἀπὸ στρατιωτικῶν κατέχωσι τόπων, εἰ μὲν καλῇ πίστει, τουτέστιν ἀγορᾶς, ἢ δωρεᾶς, ἢ ἀνταλλαγῆς, ἢ ἀντιλήψεως τρόπῳ ταύτας ἐκτήσαντο, καὶ οὐδεμίαν ἀπὸ τοῦ χρόνου βοήθειαν ἔχουσιν ἐκ τῶν τοιούτων, τοὺς μὲν τόπους μόνους ἀφαιρεῖσθαι, καὶ τοῖς ἐγκαλοῦσι στρατιώταις ἀναργύρως ἀποδιδόναι· ζημίαν δὲ μηδεμίαν τῷ κατασχόντι προσφέρειν. εἰ δὲ ἐξ ἁρπαγῆς στρατιωτικοῦ τινὲς δεσπόζουσι τόπου, τότε κατὰ τὴν ἀναλογίαν τοῦ κατεχομένου τόπου, καὶ τὴν ζημίαν τῷ καθαρπάσαντι ἐπιφέρεσθαι. Ὁ στρατιώτης ἔνθα στρατεύεται, οὐκ ἀγοράζει χωρίον, εἰ μὴ πατρῷον παρὰ τοῦ δημοσίου. Ὁ υἱὸς στρατιώτου τελευτῶντος ὁ μείζων, παραχρῆμα ὑπεισέρχεται εἰς τὸν τόπον τοῦ πατρὸς αὐτοῦ, καὶ τὰς αὐτὰς ἀννόνας λαμβάνει.

Ὁ κλέψας ἀλλότριον ἅρμα, τοῦ βαθμοῦ τῆς στρατείας ἐξωθεῖται. Ὁ τὸ χαράκωμα παρεξιὼν, ἢ διὰ τοῦ τείχους εἰς τὸ κάστρον εἰσιὼν, κεφαλικῶς τιμωρεῖται· ὁ δὲ τὴν τάφρον ὑπερπηδῶν, ἀποστρατεύεται. Ὁ σφαχεῖν ἐρεθίζων στρατι-

ωτῶν

ω τὴν τάξιν, κεφαλικῶς τιμωρεῖται· εἰ δὲ μέχρι φωνῆς, ἢ ψιλῆς μέμψεως ἡ στάσις ἐστὶ, τοῦ βαθμοῦ ἐκβάλλεται. Ὁ πρόσφυγος γενόμενος ἐν καιρῷ πολέμου, κεφαλικῶς τιμωρεῖται· ὁ δὲ ἐν εἰρήνῃ, ἱππεὺς μὲν ὤν, ἐναλλάσσει τὸν βαθμὸν, πεζὸς δὲ γενόμενος, ἐκβάλλεται τῆς στρατείας. Πᾶσα προπέτεια κατὰ δουκὸς ἢ ἄρχοντος, τοῦ στρατιώτου, κεφαλικὴν ἐπάγει τιμωρίαν.

## ΠΕΡΙ΄ ΔΙΑΛΥ΄ΣΕΩΣ Υ΄ΠΕΞΟΥΣΙΟ΄ΤΗΤΟΣ. Τίτλ. ιζ΄.

Ἔγνωμεν ὅτι τὴν ἐξουσίαν ἔχομεν κατὰ τῶν ἡμετέρων οἰκετῶν, καὶ κατὰ τῶν ἡμετέρων παίδων· τοῦτο μὲν φυσικῶν, τοῦτο δὲ δὴ θετῶν. νῦν δὲ σκοπήσωμεν, τίνι διαλύεται τρόπῳ ἡ ὑπεξουσιότης, ἀλλὰ περὶ μὲν τῶν οἰκετῶν, μαθησόμεθα ἐν τῷ περὶ ἐλευθερίας τίτλῳ, περὶ δὲ τῶν παίδων, ἐντεῦθεν. Λύεται τῆς ὑπεξουσιότητος ὁ παῖς, θανάτῳ τοῦ πατρὸς, οὐκ ἀεὶ δέ· εἰ μὲν γὰρ πατὴρ ἐστὶν ὁ τελευτήσας, ἀμάχως οἱ παῖδες αὐτεξούσιοι γίνονται· τελευτήσαντος δὲ τοῦ πάππου, οὐ πάντως ἔκγονοι αὐτεξούσιοι γίνονται. δεῖ γὰρ σκοπεῖν τὸν καιρὸν τῆς τοῦ πάππου τελευτῆς, καὶ εἰ μὲν εὑρεθῇ τὸ μέσον πρόσωπον, τουτέστιν ὁ υἱὸς ὑπεξούσιος· οἱ δὲ ἔκγονοι κατ᾿ ἐκεῖνον τὸν καιρὸν ὑπεξούσιοι τῷ πάππῳ καθ᾿ ὃν τελευτᾷ, ἔσονται ὑπεξούσιοι τῷ πατρὶ, τελευτήσαντος τοῦ πάππου, οἱ ἔκγονοι· μεταπεσοῦνται γὰρ εἰς τὴν τοῦ οἰκείου πατρὸς ὑπεξουσιότητα. εἰ δὲ ὁ μέσος ἢ προετελεύτησε τοῦ πατρὸς, ἢ τῆς ὑπεξουσιότητος αὐτοῦ ἠλευθερώθη, τότε οἱ ἔκγονοι, ἐπειδὴ οὐ μεταπίπτουσιν εἰς ἑτέραν ὑπεξουσιότητα, αὐτεξούσιοι γίνονται.

Ἐὰν καταδικασθῇ τις θανάτῳ, ἅμα τῇ ἀποφάσει γίνονται οἱ παῖδες αὐτοῦ αὐτεξούσιοι. Ἐὰν γένηται πατρίκιος ὁ ὑπεξούσιος, ἅμα τῷ δέξασθαι τοὺς κωδικέλλους τῆς πατρικιότητος, τῆς τοῦ πατρὸς ὑπεξουσιότητος ἀπαλλάσσεται. Τὸν ἐμὸν πατέρα συνέβη γενέσθαι αἰχμάλωτον, ἐν τῷ μεταξὺ ἀνηρτημένα ἔσται τὰ τῆς ὑπεξουσιότητος, καὶ εἰ μὲν ὑπο-

στρέψει

στρέψει ὁ πατὴρ, ἔσομαι αὐτοῦ ὑπεξούσιος· εἰ δὲ τελευτήσῃ, μνήσομαι αὐτεξουσιότητος. ζητοῦμεν δὲ, ἐκ ποίου χρόνου δοκῶ, τῆς ὑπεξουσιότητος ἀπαλλάττεσθαι· ἐξ οὗ ἐλήφθη ὁ πατὴρ, ἢ ἐξ οὗ ἐτελεύτησε παρὰ τοῖς πολεμίοις. ἔστι γοῦν ὅλως τις διαφορὰ; καὶ πάνυ γε. ὑπόθου γοῦν ἔχειν τινὰ δύο παῖδας, καὶ δισχιλίων νομισμάτων περιουσίαν, ληφθῆναί τε ὑπὸ τῶν πολεμίων. τούτων ὁ μὲν εἷς σπουδαῖος, καὶ λαβὼν τι δύο ἐκ τῆς τοῦ πατρὸς περιουσίας, ἐξ οἰκείων καμάτων ἠδυνήθη χίλια νομίσματα ἐμπορευσάμενος κερδάναι· ὁ δὲ ἕτερος ῥάθυμος ὢν, οὐδὲν προσεκτήσατο. μετὰ χρόνον τινὰ ἀπηγγέλθη, ὅτι παρὰ τοῖς πολεμίοις ἐτελεύτησεν αὐτῶν ὁ πατήρ. ἐβούλοντο μερίσασθαι τὸν πατρῷον κλῆρον, καὶ ὁ μὲν ῥάθυμος ἔλεγε νῦν ὅτε τῇ ἀληθείᾳ ὁ πατὴρ ἐτελεύτησε, γεγόναμεν αὐτεξούσιοι, οὐκοῦν σὺ ὁ σπουδαῖος, τοῦ πατρὸς ἔστιν ὅσα ἐκτήσω· καὶ δεῖ ἡμᾶς τὰ τρισχίλια μερίσασθαι, τουτέστι λαβεῖν ἀνὰ χιλίων πεντακοσίων. ὁ δὲ σπουδαῖος ἔλεγεν ἐξ ἐκείνου ἐξ οὗ συνέβη ληφθῆναι τὸν πατέρα γεγενῆσθαι ἡμᾶς αὐτεξουσίους· δοκεῖ γοῦν ὁ μὴ ὑποστρέψας κατ' ἐκεῖνον τεθνάναι τὸν καιρόν· οὐκοῦν αὐτεξούσιος, ὅσα ἂν ἐκτησάμην ἐμαυτῷ καὶ οὐχ ἑτέρῳ προσεπόρισα, καὶ μᾶλλον ταύτῃ πειθόμεθα τῇ γνώμῃ. Ὁ μέλλων αὐτεξούσιον τὸν παῖδα αὐτοῦ ποιῆσαι, προσίτω τῷ ἁρμοδίῳ δικαστῇ, καὶ λεγέτω αὐτῷ, ὅτι τόνδε ποιῶ αὐτεξούσιον, καὶ τῆς αὐτοῦ ἀφίημι χειρός· ὥστε εἰ συμβῇ τὸν παῖδα ἄτεκνον ὄντα διαθέσθαι, ἐρρῶσθαι τὴν ἐκείνου διαθήκην, φυλάττοντος δηλονότι τὴν νόμιμον μοῖραν τῷ πατρί. Ἡ δὲ νεαρὰ τοῦ καίσαρος Λέοντος οὕτω φησίν, ἐπειδὴ δὲ πρὸς τοῖς ἄλλοις τρόποις καὶ οὗτος ἐδείκνυ τὸν παῖδα αὐτεξούσιον, εἴγε ὁ τὴν ἐπιτροπὴν ἐγκεχειρισμένος εἴτε πατὴρ, εἴτε προπάτωρ, τὸ ἀπόλυτον αὐτοῦ οἰκείῳ στόματι ἐδωρεῖτο, ἡμεῖς καὶ τοῦτο προσεπισυνάπτομεν· ὡς εἰ πρὸς διαταγὴν ὁμογνωμονοῦσαν ὀφθείη μόνον ὁ παῖς κα-

ταστὰς,

τασὰς, αὕτη γλῶσσα μὲν οὐ παρέχει τοῦτο, ὅμως δὲ γνώμῃ σιωπῶσα καὶ ἰδίως ἐνθυμιζομένῳ τῷ παιδὶ, οὐκ ἐναντιουμένη, ἀλλὰ παραχωρήσασα καθ᾽ ἑαυτὸν διάγειν· κἂν ἡ γαμικῆς ἡλικίας ἔξω, εἶναι καὶ αὐτὸ κεκυρωμένον τὸ αὐτεξούσιον.

Δύναταί τις τὸν μὲν υἱὸν ποιεῖν αὐτεξούσιον, τὸν δὲ ἔκγονον κρατεῖν ὑπεξούσιον· καὶ ἐκ τοῦ ἐναντίου, τὸν ἔκγονον ποιεῖν αὐτεξούσιον· κατέχειν δὲ ὑπεξούσιον υἱὸν, τὸ αὐτὸ καὶ ἐπὶ προγόνων. Εἶχέ τις υἱὸν ὑπεξούσιον, ὃς εἶχε γαμετὴν ἐγκύμονα, τὸν υἱὸν ἐποίησεν αὐτεξούσιον, ἢ εἰς θέσιν αὐτὸν ἄλλῳ δέδωκεν· ἐτέχθη μετὰ ταῦτα ἔκγονος, λέγομεν αὐτὸν ὑπεξούσιον γενέσθαι τοῦ πάππου, ἐπειδὴ σκοποῦμεν ἐπὶ τῶν ἐννόμων γάμων, τὸν καιρὸν τῆς συλλήψεως. ὅτε δὲ ἡ σύλληψις γέγονεν, ὑπεξούσιος ἦν ὁ υἱὸς ὁ τοῦτον σπείρας. Ἡ ἔμπρακτος ἐπαρχιότης, ἢ στρατηγία, ἢ ἐπισκοπὴ, λύει τὴν ὑπεξουσιότητα.

## ΠΕΡΙ ΕΛΕΥΘΕΡΙΩΝ. Τίτλ. ιη΄.

Τῶν προσώπων ἄκρα διαίρεσις ἐστὶν αὕτη· ὅτι τῶν ἀνθρώπων, οἱ μὲν εἰσὶν ἐλεύθεροι, οἱ δὲ δοῦλοι. καὶ τὴν μὲν ἐλευθερίαν, ἐξ ἧς ἡ τῶν ἐλευθέρων ἐπιγινώσκεται προσηγορία, οὕτως ὁρίζεσθαι χρή. Ἐλευθερία ἐστὶν, ἐνέργεια φυσικὴ, ἐνοῦσα συγχωροῦσα πράττειν ὃ βούλεται εἰ μὴ νόμος ἢ βία κωλύσῃ. βία μὲν, ἐπειδὴ βουλόμενόν με ἔσθ᾽ ὅτε τι πρᾶξαι, ὃ τοῖς νόμοις οὐκ ἀπηγόρευται, διακωλύει τις, ἰσχύϊ μείζονι βιασάμενος. νόμῳ δὲ, ὅτι τιμωρειῶν ἀπειλαῖς, εἴργομαι πράττειν ἃ βούλομαι· οὐκέτι γὰρ ποιεῖν τι κατὰ γνώμην καὶ δεσποτείαν δέος ἐμποδίζει.

## ΟΡΟΣ ΔΟΥΛΕΙΑΣ.

Δουλεία ἐστὶν, ἐθνικοῦ νόμου διατύπωσις, ἐξ ἧς τις ὑποβάλλεται τῇ ἑτέρου δεσποτείᾳ, ὑπεναντίον φυσικοῦ νόμου. ἡ γὰρ φύσις ἐλευθέρους πάντας προήγαγεν, ἡ δὲ τῶν πολεμίων ἐπίνοια, τὴν δουλείαν ἐφεῦρεν· ὁ γὰρ τοῦ πολέμου νόμος, κτῆμα τῶν κρατούντων θέλει τοὺς νενικημένους εἶναι. Οἱ δοῦλοι, ἢ τίκ-

τονται, ἢ γίνονται. τίκτονται οἱ ἐκ τῶν ἡμετέρων ἢ μὴν προσγινόμενοι θεραπαινῶν· γίνονται, οἱ ἐκ τῶν ἐθνικῶν νομίμων, τουτέστιν ἐκ τῆς αἰχμαλωσίας. καὶ ἡ μὲν τῶν δούλων τύχη, οὐδεμίαν ἐπιδέχεται διαίρεσιν. οὐ γάρ ἐστιν εἰπεῖν ἐπ᾽ αὐτῶν, μᾶλλον ἢ ἧττον δοῦλος, ἐπὶ δὲ τῶν ἀπελευθέρων, πολλὰς εὑρίσκομεν διαφοράς· ἢ γὰρ εὐγενεῖς εἰσίν, ἢ ἀπελεύθεροι.

## ΔΙΑΙΡΕΣΙΣ ἘΛΕΥΘΕΡΩΝ.

Οἱ ἐλεύθεροι εἰς δύο διαιροῦνται, εἰς εὐγενεῖς, καὶ ἀπελευθέρους. καὶ εὐγενής ἐστιν, ὁ εὐθέως ἅμα τῷ τεχθῆναι ἐλεύθερος ὤν, καὶ μήπω τοῦ ζυγοῦ τῆς δουλείας γευσάμενος, εἴτε ἐκ συνοικεσίου εὐγενῶν τεχθῇ, εἴτε ἐκ δύο ἀπελευθέρων· εἴτε τὸ ἓν πρόσωπον ἐστὶν εὐγενὲς, τὸ δὲ ἕτερον ἀπελεύθερον. εἰ δὲ καί τις ἐξ ἐλευθέρας τεχθῇ μητρὸς, δούλου δὲ πατρὸς, εὐγενὴς ὁμοίως ἔσται· ὥσπερ ὁ ἐξ ἐλευθέρας μὲν μητρὸς, ἀδήλου δὲ πατρὸς, τουτέστιν ἀπὸ πορνείας τεχθείς· οὐδὲ γὰρ βλάπτει τὴν τοῦ παιδὸς εὐγένειαν, τὸ ἐκ πορνείας γενέσθαι τὴν σύλληψιν. ἀρκεῖ γὰρ ἐλευθέραν εἶναι τὴν μητέρα, κατὰ τὸν χρόνον τοῦ τόκου· εἰ καὶ ὁ τῆς συλλήψεως καιρὸς οἶδε τὴν δουλείαν. καὶ ἐκ τοῦ ἐναντίου, εἰ ἐλευθέρα συλλάβοι, καταδουλωθεῖσα δὲ κατά τινας αἰτίας νόμῳ ἐγνωσμένας τέξοι, ἐλεύθερον ἔσται τὸ τεχθέν. ὁ γὰρ κυοφορούμενος, οὐ βλάπτεται ἐκ τῆς συμφορᾶς, τῆς περιστάσης τὴν μητέρα. Ἐάν τις δούλη οὖσα κατὰ τὸν καιρὸν συνέλαβε τῆς δουλείας, καὶ ἠλευθερώθη· ὀλίγου δὲ χρόνου παραδραμόντος, πάλιν κατεδουλώθη· εἶτα τέτοκε μετὰ τὴν καταδούλωσιν, καὶ κελεύομεν ἐλεύθερον εἶναι τὸ τεχθέν. ἀρκεῖ γὰρ τῷ ὄντι ἐν τῇ γαστρὶ, τὸ κατὰ τὸν μέσον καιρὸν ἐλευθέραν εἶναι τὴν μητέρα.

Δύναταί τις ἐλευθεροῦν τὸν ἑαυτοῦ δοῦλον, ἢ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις, ἢ ἐπὶ ἄρχοντος, ἢ ἐπὶ φίλων, ἢ δι᾽ ἐπιστολῆς, ἢ ἐν διαθήκῃ, ἢ ἐν οἵᾳ δήποτε τελευταίᾳ βουλήσει.

Ἡ ἐλευθερία, πρᾶγμα ἐστὶν ἀδιατίμητον. ΣΧΟΛ.

Ἐὰν τὸν ἐμὸν δοῦλον τραυματίσῃ τις ἢ τελείως φονεύσῃ,

σῃ,

σκ, ἀπωγὴ μοι δίδοται κατ' αὐτοῦ· τουτέστιν ὁ ἀκουίλιος, καὶ κινῶν αὐτὴν, λαμβάνω τὴν τιμὴν τοῦ τραυματισθέντος δούλου μου, ὅταν δὲ πρᾶγμα μέγα καὶ ἀνίατον ὑπάρχῃ. ὅτι δὲ τελείως ἀναιρεθῇ καὶ ἀπόλλυται, τὴν πᾶσαν αὐτοῦ διατίμησιν διατιμᾶται γὰρ ὡς δοῦλος, καὶ πᾶσα ἡ διατίμησις αὐτοῦ δίδοταί μοι. εἰ δέ τις τραυματίσει τὸν ὑπεξούσιόν μου υἱὸν, οὐκ ἀνάγεται τῷ ἀκουιλίῳ, ὥσπερ ὁ τραυματίσας τὸν δοῦλόν μου· ὁ γὰρ ἀκουΐλιος, καὶ τοῦ πράγματος τὴν διατίμησιν ἀπαιτεῖ, καὶ πᾶν εἴ τι ζημίωμα ἕτερον ἐκ τῆς τοῦ πράγματος ἀπωλείας καὶ ἀναιρέσεως τῷ ζημιωθέντι προσγέγονεν· ἀνέχεται δὲ εἰς τὰς δαπάνας τῆς ἰατρείας, καὶ δίδωσι ταύτας οὐχ ὡς τοῦ τραύματος διατίμησιν, ἀλλ' ὡς ποινὴν ἐκ νόμων ἐπιτεθεῖσαν αὐτῷ. ἡ γὰρ ἐλευθερία ἀδιατίμητον πρᾶγμα ἐστὶ, καὶ τιμὴν ταύτης ὁρίσασθαι οὐ δυνάμεθα· οὐ μόνας δὲ τὰς τῆς ἰατρείας δαπάνας ὁ τραυματίσας μοι δίδωσιν, ἀλλὰ καὶ ἔτι τι ἕτερον διαφέρει μοι. ἐὰν γὰρ ὁ ὑπεξούσιός μου υἱὸς τέχνην τινὰ καθ' ἡμέραν τυχὸν μετήρχετο, καὶ ἐκ ταύτης προσέφερέ μοι δέκα, ἢ καὶ πλείονα τι. διὰ δὲ τὸν τραυματισμὸν τούτων ἐστερήθην ἐγὼ, λήψομαι καὶ ταῦτα ἀπὸ τοῦ αὐτὸν τραυματίσαντος, ψηφιζομένων τῶν ἡμερῶν τῆς ἀργίας, καὶ ὧν καθ' ἡμέραν ὤφειλε λαμβάνειν ὑπὲρ μισθοῦ. Πλεῖον παντὸς πράγματος θάλπομεν τὴν ἐλευθερίαν. Ἀλλ' οὐ τῆς γνώμης οὔσης τοῦ ἐλευθεροῦντος, ἡ ἐλευθερία θάλπεται. Ἡ διάταξις κελεύει περὶ πάσης ἐλευθερίας, εἴτε παρὰ στρατιωτῶν εἴτε παρὰ ἰδιωτῶν, εἴτε ζῶν ἐλευθερώσει τις τὸν ἐπίκοινον οἰκέτην, εἴτε πλεῖστον, εἴτε ἥμισυ, εἴτε τρίτον, εἴτε ὅσον δήποτε μέρος ἔχει τοῦ οἰκέτου, εἴτε δύο, εἴτε πλείονες εἰσὶ κοινωνοὶ, ἀνάγκην αὐτοὺς ἔχειν τὰ ἴδια μέρη πιπράσκειν, ἢ αὐτῷ τῷ βουλομένῳ κοινωνῷ ἐλευθερῶσαι, ἢ τῷ κληρονόμῳ αὐτοῦ. ἐξέστω δὲ καὶ αὐτὸν τὸν οἰκέτην, σὺν ἐλευθερίᾳ γράφειν κληρονόμον,

ἵνα αὐτῷ δώσῃ τὸ ἴδιον τίμημα. εἰ δὲ παραιτῶνται οἱ κοινωνοὶ πωλῆσαι τὸ ἴδιον μέρος καὶ λαβεῖν τὸ τίμημα, γινέσθω ἐκεῖνος ἐλεύθερος· μὴ δὲ τοῦ τιμήματος διδομένου. τὸ δὲ πεκούλιον αὐτοῦ, πάντως οἱ κοινωνοὶ ἐχέτωσαν, κατὰ τὸ μέρος τῆς δεσποτείας, ἐξουσίαν ἔχοντος τοῦ ἐλευθεροῦντος τὸ ἴδιον μέρος τοῦ πεκουλίου, παραχωρῆσαι τῷ ἐλευθερουμένῳ· τῶν πατρωνικῶν δικαίων ἁρμοζόντων ἐκείνῳ μόνῳ τῷ ἐλευθερώσαντι. ἐὰν δὲ ὁ δοῦλος λογοθεσίοις ὑπόκειται, ὁ ἄρχων ὁριζέτω χρόνον, οὗ τινος ἐντὸς καὶ τὰ λογοθέσια ὀφείλει ὁ δοῦλος ἀποστῆναι, καὶ παρασχεῖν εἴ τι χρεωστεῖ καὶ ἐλευθερωθῆναι.

## ΠΕΡΙ ΤΙΜΗΜΑΤΟΣ ΔΟΥΛΩΝ.

Ἔστω δὲ τὸ τίμημα τοῦ δούλου, εἰ μὲν ἀτεχνὴς εἴη, εἴκοσι νομισμάτων· ἐὰν ᾖ ὑπὲρ τοὺς δώδεκα ἐνιαυτούς, εἰ δὲ ἐλάττων εἴη, δέκα νομισμάτων. ἐὰν δὲ τέχνην ἐπίσταται χωρὶς νοταρίου καὶ ἰατροῦ λ΄ νομισμάτων. ἐὰν δὲ νοτάριος εἴη, ἢ ἰατρός, ὁ μὲν νοτάριος ἕως πεντήκοντα νομισμάτων, ὁ δὲ ἰατρός, ἕως ἑξήκοντα. ἐὰν δὲ εὐνοῦχοι ὦσιν οἱ δοῦλοι μείζονες τῶν δέκα ἐνιαυτῶν χωρὶς τέχνης, πεντήκοντα νομισμάτων· ἐὰν δὲ καὶ τέχνην ἴσασιν ἑβδομήκοντα. ἐὰν δὲ τῶν δέκα ἐνιαυτῶν ἥττονες εἰσὶν λ΄ νομισμάτων. εἰ δὲ οἱ κοινωνοὶ παραιτῶνται τὸ τίμημα λαβεῖν, λέγοντες ὅτι καὶ αὐτοὶ ἐλευθερῶσαι βούλονται, πάντες ἅμα ἐλευθερῶσιν, τοῦ πεκουλίου παρ᾽ αὐτοῖς μένοντος, κατὰ τὸ μέρος τῆς δεσποτείας· τῶν δικαίων τῶν πατρωνικῶν, πᾶσι τοῖς ἐλευθερωταῖς ὁμοίως ἁρμοζόντων. Ἐάν τις τελευτῶν, ἀξιώσῃ τὸν κληρονόμον, ἵνα ἐκ τῶν παίδων τῆς δεῖνος τῆς δούλης ἐλευθερῶσαι, ὃν ἂν ἐπιλέξηται ἐκεῖνος, καὶ τελευτήσῃ, μηδένα ἐπιλεξάμενος, πάντες ἅμα γίνονται ἐλεύθεροι. Ὁ ἅπαξ δοῦλον ἐλευθερώσας, οὐ δύναται τὴν ἐλευθερίαν αὐτοῦ ἀνατρέψαι, εἰ μὴ ἐξ ἀχαριστίας. Ὅτι τοῖς διατιθεμένοις νέοις, καὶ τοὺς ἰδίους οἰκέτας ἐλευθεροῦν ἄδεια δίδοται τελευταίαις βουλή-

σεσι·

σεσι σχολάζοντος τὸν νόμον, τοῦ πρώτου κωλύοντος. Ἐκ τῶν ἐν δουλείᾳ συναλλαγμάτων, μετὰ τὴν ἐλευθερίαν οὐδεὶς κατέχεται· ἐκ δὲ τῶν ἁμαρτημάτων, ἐνάγεται· διὰ τὸν κανόνα τὸν λέγοντα, τὰ παίσματα τῇ κεφαλῇ ἀκολουθεῖ. Ἐπὶ τῶν ἀδιαθέτως τελευτώντων, ἐκ πλαγίου συγγενεῖς ἐχόντων καὶ παῖδας, ἐλευθεροῦνται οἱ δοῦλοι· καὶ οὐ δύναται ὁ κληρονόμος, ἢ ὁ ἐξ ἀδιαθέτου συγγενὴς, ἕλκειν τούτους εἰς δουλείαν· δίδοται καὶ τὸ τρίτον τῆς ὑποστάσεως εἰς ψυχικὸν ἐκ συνηθείας, καὶ τὸ τίμημα δὲ τῶν ἐλευθερωθέντων οἰκετῶν, λογίζεται εἰς τὸ τρίτον.

ΕΚ ΤΟΥ ΜΙΚΡΟΥ ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

Ὁ κλέψας ἀλλότρια πράγματα, καὶ διὰ τῶν τοιούτων κλοπιμαίων πραγμάτων τινὶ συναγαγὼν, καὶ δοὺς ταῦτα ὑπὲρ τῆς ἑαυτοῦ ἐλευθερίας ἐλευθεροῦται. ὁ δὲ τινὶ κλέψας, οὐ δύναται δοῦναι ταῦτα καὶ ἐλευθερωθῆναι, ἀλλὰ δοῦλος μένει, τῶν τούτων ἀφαιρουμένων ἀπ' αὐτοῦ. Ἠράσθη τις δούλης ἀλλοτρίας, καὶ συνεφώνησε πρὸς τὸν δεσπότην αὐτῆς, ἄλλο ἀνδράποδον ὑπὲρ αὐτῆς δοῦναι, ἐὰν ἐλευθερώσῃ αὐτὴν, ἢ αὐτῷ παραχωρήσει αὐτὴν, εἰς τὸ ἐλευθερωθῆναι παρ' αὐτοῦ. καὶ ὁ μὲν δεσπότης τῆς θεραπαίνης, ἢ ἠλευθέρωσεν αὐτὴν, ἢ παρέδωκεν αὐτὴν τῷ ἐρῶντι αὐτῆς. λαβὼν δὲ ἐκεῖνος τὴν θεράπαιναν καὶ συναφθεὶς αὐτῇ, παῖδας ἔσχεν ἐξ αὐτῆς, οὐκ ἔδωκε δὲ ἀγνωμόνως τὸ ἀντὶ αὐτῆς ἀνδράποδον, ὅθεν προσῆλθεν ὁ τῆς θεραπαίνης αὐτῆς ποτὲ δεσπότης· καὶ ἀντιγέγραπται πρὸς αὐτὸν ἡ διάταξις λέγουσα. ὁπότε θεματίζεις μεταξὺ σου καὶ ἐκείνου, ὅν τινα εἰς συνάφειαν τὴν θεράπαιναν τὴν σὴν συζεῦξαι ἑαυτῷ μνημονεύεις, ἀρέσαι σε συμφωνῆσαι ἵνα σοι ὑπὲρ αὐτῆς δώσῃ ἀνδράποδον, ὀφείλεις εἰδέναι ὅτι ἐὰν ἠλευθέρωσας, ἢ ἐκείνῳ παρέδωκας καὶ αὐτὸς ἠλευθέρωσεν, ἀνακλητέας τῆς ἐλευθερίας ἐξουσίαν οὐκ ἔχεις. ἀλλὰ μόνον εἰ μήπω παρῆλθεν ὁ ὡρισμένος καιρὸς τῆς περὶ δούλου ἀγωγῆς, τουτέστιν ἡ διετία· καὶ τὴν πίστιν τοῦ

συμφωνηθέντος ῥήγνυσιν, ἐπιζητῆσαι ὀφείλεις τὴν περὶ δού-λου δοθῆναι σοι ἀργύριον. ἐὰν δὲ παρὰ σοὶ ἡ δεσποτεία τῆς θε-ραπαίνης ταύτης ἀπέμεινε, προσελθὼν τῷ ἄρχοντι τῆς ἐπαρ-χίας, μετὰ τὸ ἐξ αὐτοῦ κινηθέντων, δύνασαι ἀναλαβεῖν αὐτήν, εἰ μή τις κινηθείη περὶ τῆς τύχης αὐτῆς ζήτησις.

ΤΟΥ ΑΥΤΟΥ.

Ἐὰν ἐξέδωκεν ὡς ἐλευθέραν τὴν ἑαυτοῦ θεράπαιναν ὁ δε-σπότης· ὁ δὲ ἐλεύθερος ὤν, καὶ πιστεύσας τῷ διδόντι ταύτην ἔλαβεν, ἴσως καὶ προικῴων γινομένων συμβολαίων, ἢ μὴ γι-νομένων μέν· τῆς δὲ αὐτοῦ γνώμης διὰ πράγματος διοικησαμένης, οὐκ ἂν εἴη δίκαιον διὰ τὸ τοιοῦτον μὴ συνεστάναι γάμον. ἀλλὰ σιω-πηρὰν ἐλευθερίαν ἀκολουθεῖν, εἴτε τῷ ἀνδρὶ, εἴτε τῇ γυναικὶ, τοιούτου τινὸς παρὰ τοῦ δεσπότου γεγονότος, θεσπίζομεν ἀναρ-πάζεσθαί τε τὸν τοιοῦτον, ἢ τὴν τοιαύτην, εἰς τὴν εὐγένειαν, καὶ τὸ πρᾶγμα ὡς ἐλευθέροις τε καὶ εὐγενέσι κρίνεσθαι. εἰ δὲ αὐ-τὸς μὲν οὐ συναρμόσειε τὸν γάμον ὁ θατέρου τῶν προσώπων δε-σπότης· εἰδείη δὲ τοῦτο γινόμενον καὶ ἐξεπίτηδες ἀποκρύπτει, ἵνα ὕστερον πρᾶγμα ῥάψῃ τῶν συναφθέντων θατέρῳ, τιμωρούμε-θα τὴν τοιαύτην, εἴγε σαφῶς ἀποδειχθείη κακουργίαν, καὶ ἀ-φαιρούμεθα τὴν δεσποτείαν παρὰ τῶν τοιούτων πονηρῶς βεβου-λευμένων, καὶ ἔστω πάλιν τοῦτο γάμος, ὥσπερ ἂν εἰ συνῄνεσεν ὁ κεκτημένος τὴν ἀρχήν. καὶ ὁ μὲν ἐκπιπτέτω τῆς δεσποτεί-ας, αὖθις δὲ εἰς εὐγένειαν ἀναρπαζέσθω τὸ δοῦλον πρόσωπον· τοιούτου συμβαίνοντος ἀποτελέσματος, εἴπερ συνῄνεσεν, ἢ εἴπερ ἐκακούργησεν ὁ κεκτημένος, πρόδηλον οὖν ὡς καὶ οἱ παῖδες ἐκ τῶν τοιούτων, ἐλεύθεροί τε καὶ εὐγενεῖς ἔσονται. ✱ Ἡ δι-άταξις λέγει, ὅτι αὐτῷ τῷ γραφῆναι κληρονόμος ὁ δοῦλος, εἰ καὶ μὴ προσετέθη αὐτῷ ἡ ἐλευθερία, σιωπηρῶς αὐτὴν ἔχει, εἰ μέν τοι λεγάτον, ἢ φιδεικόμμισσον, δίχα ἐλευθερίας κατα-λειφθῇ, οὐ δοκεῖ σιωπηρῶς μετὰ τοῦ λεγάτου καὶ ἡ ἐλευθερία

δίδοσθαι

δίδοσθαι τῷ οἰκέτῃ. Ἐάν τις τὸν ἴδιον οἰκέτην εἰς θέσιν λαβεῖν βουληθῇ, ἡ μὲν θέσις οὐκ ἰσχύει, ἐλευθερία δὲ σιωπηρὰ τῷ οἰκέτῃ δίδοται. ἐντεῦθεν καὶ ὁ βασιλεὺς Ἰουστινιανὸς ὁρμηθεὶς, εἰσελθόντος τινὸς ἐν δικαστηρίῳ, καὶ εἰπόντος ἐν ὑπομνήσει περὶ οἰκέτου, ὅτι οὗτος υἱός μου ἐστὶν, ἐθέσπισεν ἐκ τῶν τοιούτων ῥημάτων, τὸν μὲν οἰκέτην υἱὸν μὴ γίνεσθαι· παύεσθαι δὲ τοῦ εἶναι δοῦλον. ※ Θεσπίζομεν ὅσοι ἐν ἐκκλησίαις, ἢ ἐν ῥύμαις, ἢ ἄλλοις τόποις, ἀπερριφέντες δειχθῶσι, τούτοις πᾶσι τρόποις ἐλευθέροις εἶναι παρακελευόμεθα. καὶ εἰ ἀκριβὴς τις ἀπόδειξις ὑπάρχει τῷ ἐνάγοντι, εἰς τὸ δεῖξαι τὸν τοιοῦτον πρόσωπον, τῇ αὐτοῦ διαφέρον δεσποτείᾳ· καὶ τοὺς νοσοῦντας οἰκέτας, καὶ παρὰ τῶν δεσποτῶν καταλειφθέντας, καὶ ὡς τῆς αὐτῶν ὑγείας ἀπελπισθείσας ἐκ τῶν κεκτημένων ἐπιμελείας ἀξιουμένους, εἰς ἐλευθερίαν ἁρπάζεσθαι. ※ Ὁ αἰχμάλωτος πέντε ἔτη δουλεύσας τῷ ἀναρρυσαμένῳ, ἐλευθεροῦται. ※ Δοῦλος στρατευόμενος εἰδήσει τοῦ οἰκείου δεσπότου ἐλευθεροῦται. ※ Ὁ μηνύων τὸν φόνον τοῦ ἰδίου δεσπότου, τὴν ἐλευθερίαν ἐχέτω ἔπαθλον. ※ Ὁ ἀπρονόητος ἐλευθεροῦται· ἀπρονόητος δέ ἐστιν, ὁ μηδένα τὸν προνοούμενον ἔχων αὐτοῦ, ἢ ὁ μὴ δυνάμενος ἑαυτοῦ προνοεῖσθαι· ὁποῖος ἐστιν ὁ παράφρων καὶ ὁ μαινόμενος. ※ Ἐάν τις εὐγενῆ γυναῖκα παρὰ πολεμίων ἀγοράσῃ, καὶ συναφθῇ αὐτῇ ἐπὶ παιδοποιΐᾳ, παραυτίκα τὸ ἐν αὐτῇ δίκαιον τοῦ ἐνεχύρου λύεται, καὶ εὐγενεῖς τίκτει. ※ Ἡ ἀπὸ τῶν πολεμίων ἀγορασθεῖσα, οὐκ ἔστι δούλη, ἀλλ᾽ ἐνεχύρου λόγῳ κρατεῖται. ※ Ὁ ἀγορασθεὶς αἰχμάλωτος, εἰ μὲν εὔπορος εἴη, ἐκπληρούτω τὰς ὑπὲρ αὐτοῦ τιμάς· ἀπόρων δὲ, πενταετίαν δουλευέτω τῷ ἀγοράσαντι, καὶ οὕτως ἀπολυέσθω. Κελεύομεν εἴ τις παρ᾽ ἡμῖν εὐνουχισθῇ δοῦλος, αὐτίκα τοῦτον τὴν ἐλευθερίαν δίδοσθαι, κἂν διὰ νόσον εὐνουχισθῇ. Ἴσμεν ἤδη τινὰ τὴν παλαιῶν διάταξιν, παρακελευομένην, τὰς τῶν

πλου

πλουτούντων ἀδιαθέτως περιουσίας, οἷς κατὰ νόμους οὐχ ὕπεστιν ἐξ ἀδιαθέτου κληρονόμος, ὡς τὸ θεῖον ἡμῶν εἰσκομίζεσθαι ταμεῖον, ἐν ᾧ πολλάκις καὶ οἰκετικὰ πρόσωπα συναπειλώεκται· ὡς ἐντεῦθεν ἀδιάλυτον τὸν τῆς δουλείας ζυγὸν αὐτοῖς γνωρίζεσθαι. διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης, ἵλεώ τε καὶ συμπαθεῖ ὄμματι, ἀπὸ τοῦ δεῦρο παρακελεύεται, πᾶν οἰκετικὸν πρόσωπον ἀνῆκον ὡς ἐξ ἀδιαθέτου τῷ θείῳ ἡμῶν ταμιείῳ, ἐν πάσῃ τῇ ἡμετέρᾳ πολιτείᾳ, πρὸς ἐλευθερίαν ἀφίεσθαί τε καὶ ἀναγκάζεσθαι καὶ τὰ τῶν ῥωμαίων, κατὰ νόμους αὐτῶν διαπράττειν ἐν ἅπασι· κἂν ἐν μόνοις οἰκετικοῖς προσώποις ἡ οὐσία πᾶσα καθεστήκῃ, ὡς εἴγε τὴν τοιαύτην νομοθεσίαν παραβλέψει, μὴ τύχοι ἐλευθερίας τῶν ἁμαρτημάτων αὐτοῦ.

τέλος τοῦ πρώτου βιβλίου.

# ΠΕΡΙ ΝΟΜΗΣ

## ΚΑΙ ΔΕΣΠΟΤΕΙΑΣ. ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ. ΤΙΤΛΟΣ Α.

Νομή ἐστι, φυσικὴ κατοχή, καὶ προηγεῖται δεσποτείας· καὶ ἡ δεσποτεία ἐξ αὐτῆς ἔλαβε τὴν ἀρχήν, ὅτι δὲ ἡ νομὴ πρώτη παρὰ τὴν δεσποτείαν ἐστί, καὶ ὅτι τὸ δεσπόζειν τινὸς, ἐκ τῆς νομῆς γίνεται, δῆλον ἐντεῦθεν· ὅσα ἐκ τοῦ πολέμου λαμβάνομεν, ὅσα ἐν τῇ χέρσῳ εὑρίσκομεν, ὅσους τόπους ἀοικήτους οἰκήσομεν, ὅσας νήσους παρὰ μηδενὸς δεσποζομένας κατάσχομεν· ὅσα τοιαῦτά τινα ποιήσομεν, τὸμ πρώτως δραξάμενομ τῆς νομῆς τῶν πραγμάτων, ὡς νεμηθῇ δεσπότην ἡγούμεθα. ✶ Ἡ νομὴ γίνεται πολλάκις καὶ κατὰ μίσθωσιν, καὶ καλεῖται μισθωτικὴ ἡ τοιαύτη νομή· γίνεται δὲ καὶ κατὰ τελείαν δεσποτείαν, καὶ τότε λέγεται κατὰ ψυχήν, καὶ ψυχῇ νομή, καὶ ὁ νεμόμενος τὸ πρᾶγμα, ψυχῇ νεμόμενος. καὶ ὁ μὲν ψυχῇ νεμόμενος, πολλάκις διὰ πολυχρονίου νομῆς γίνεται δεσπότης τοῦ πράγματος· ὁ δὲ μισθωτικῶς νεμόμενος, οὐδέποτε διὰ πολυχρονίου νομῆς δύναται δεσπότης γενέσθαι τοῦ πράγματος. Νομή ἐστι, ψυχῇ δεσπόζοντος κατοχή· νέμεταί τις τὰ σωματικά· δράττεται δὲ νομῆς, ψυχῇ καὶ σώματι, οὐ μὴν θατέρῳ μόνῳ. ἀρκεῖ δὲ πρὸς τὸ τοῦ ὅλου ἀγροῦ νομήν, ἢ τὸ εἰς μέρος ἐμβῆναι. διαθέσει ἀπόλλυται νομή, ἅμα θελήσει τις ἀποστῆναι τοῦ ἀγροῦ· ψυχῇ γὰρ μόνῃ ἀπόλλυμεν, ὃν μὴν κτώμεθα νομήν. εἰ δὲ τὸμ ἀγρὸμ ὃμ ἐγὼ ψυχῇ νέμομαι σὺ κρατεῖς, ἔτι ἐγὼ νέμομαι. ΣΧΟΛ. πάντα γὰρ ὅσα κτώμεθα πράγματα, καὶ νεμόμενοι ταῦτα δεσπόζομεν, οὕτως ὁ νόμος ὁρίζεται ἡμᾶς τούτων δράττεσθαι, ὥς τε παραλαμβάνειν ταῦτα

καὶ σωματικῶς, καὶ γινώσκειν ψυχῇ, ὡς ἡμέτερα λαμβάνειν, καὶ κατέχειν αὐτά. ἐὰν γὰρ ἢ σώματι μόνῳ, ἢ μόνῃ ψυχῇ παραλάβω πρᾶγμα ἀπό τινος τυχὸν αὐτὸ δωρουμένου μοι, οὐ δύναμαι κτήσασθαι τὴν τούτου νομὴν, καὶ δεσπόζειν αὐτοῦ. τί γὰρ ὅτι ἐδωρήσατό μοι τις τὸν οἰκεῖον ἀγρὸν, οὐ παρέδωκε μοι δὲ αὐτὸν, ἀλλ' ἐκείνου νεμομένου σωματικῶς, λογισμῷ μόνῳ ψιλῷ ἐδόκουν ἐγὼ ἔχειν τοῦτον καὶ νέμεσθαι· ἀλλὰ τοῦτο οὖν οὐ δύναμαι κτήσασθαι τὴν νομὴν αὐτοῦ πώποτε καὶ δεσπόζειν αὐτοῦ, ὡς ψυχῇ μόνῃ καὶ μὴ σώματι τούτου δραξάμενος· ἐκ τοῦ ἀνάπαλιν δέ. ἐὰν δίδωσί μοι τις πρᾶγμα τυχὸν κατὰ δωρεὰν, ἐγὼ δὲ λαμβάνω σωματικῶς αὐτὸ ἐξ αὐτοῦ, ὑπολαμβάνων εἰς παρακαταθήκην δίδοσθαί μοι αὐτὸ, οὐ δυνήσομαι διὰ τοῦ νεμομένου καιροῦ δεσπόζειν αὐτοῦ· ὅτε γὰρ ἐλάμβανον τοῦτο σωματικῶς, οὐκ εἶχον ψυχῇ, ὥστε τὴν τούτου νομὴν, ἰδίῳ ὀνόματι κτήσασθαι. ἀλλὰ τὸ μὲν πρᾶγμα, ἐκ τοῦ διδόντος μοι παρελάμβανον· ἡ δὲ ψυχὴ ἐμοῦ, ἐκεῖνον εἶναι δεσπότην τοῦ παραδιδομένου ἐνόμιζεν, ἐμὲ δὲ φύλακα μόνον τούτου. ὡς τοίνυν εἰς τὸ δύνασθαι ἡμᾶς κτήσασθαι πράγματα, δύο δεῖ συντρέχειν ἐξ ἀρχῆς, τήν τε σωματικὴν αὐτῶν κατάσχεσιν καὶ τὴν ψυχικὴν ὡς ἄνωθεν εἴπομεν. καὶ τὴν μὲν κτῆσιν αὐτῶν, οὕτω δεῖ ἔχειν ἡμᾶς· τὴν δὲ ἀπόκτησιν εὐκολωτέραν καὶ ἀπλουστέραν ὁ νόμος ὁρίζεται. ἀφ' οὗ γὰρ κτήσεταί τις φησὶν ἐν δυνάμει νομῆς τινὸς πράγματος σώματι καὶ ψυχῇ, δύναται αὐτὸ τὸ πρᾶγμα καὶ μόνῃ φυλάττειν ψυχῇ· τὰ γὰρ χειμερινὰ δίαιτη, ἢ τοὺς νομαδιαίους τόπους τοὺς θερινοὺς, κἂν ἐν τισι καιροῖς αὐτοὺς καταλίπωμεν καὶ ὑποχωρήσωμεν, λογισμῷ μόνῳ νεμόμεθα. καὶ εἴπερ θελήσομεν ἀποστῆναι τούτων, καὶ ἐκχωρῆσαι τινὶ, καὶ λογισμῷ μόνῳ, εὐθέως παυόμεθα τοῦ ἔχειν τὴν τούτων νομὴν, καὶ ὁ παραχωρηθεὶς ἔχειν αὐτὰ ἐξ ἡμῶν, ἀσφαλῶς κτήσεται· κἂν αὐτῷ ταῦτα σωματικῶς οὐ παραδεδώκαμεν. καλῶς οὖν

τὸ

τῆ σχεδὸν καὶ ἰδίῳ τούτου τοῦ δέρματος πρόσκειται· ᾧ γὰρ τρόπῳ ὡς εἰρήκαμεν δυνάμεθα κτήσασθαι νομὴν τινὸς πράγματος, οὐ πάντως ταύτην τούτῳ καὶ ἀποκτώμεθα. ψυχῇ κτήσασθαι νομὴν οὐ δυνάμεθα, τὴν δὲ προσκτηθεῖσαν νομὴν, δυνάμεθα ψυχῇ φυλάττειν. ἐάν τις ἀναισχύντως ἄρξηται νέμεσθαι τὰ ἀλλότρια, οὐ δύναται διὰ τῆς χρονίας νομῆς δεσπόζειν.

ΠΕΡΙ ΤΗΣ ΚΑΛΗ ΠΙΣΤΕΙ ΝΟΜΗΣ.

Ὁ τὸν ἀλλότριον οἶκον καλῇ πίστει νεμηθεὶς, ἀποδίδωσι μὲν αὐτὸν μετὰ τῶν στεγανομιῶν, καὶ παντὸς ἐπορίου. τὰ δὲ δαπανήματα οὐ λαμβάνει· εἰ μὴ ἄρα ἀναγκαῖα εἰσὶ, τὰ δὲ ἐπωφελῆ, δύναται μὴ βλάπτων τὴν ἀρχαίαν ὄψιν ἀφελέσθαι. χρονία νομὴ, συμβάλλεται τοῖς καλῇ πίστει νεμεθεῖσιν. Ὁ καλῇ πίστει περὶ ὧν ἐδαπάνησεν, ἀγωγὴν οὐκ ἔχει, ἀλλὰ παρακατάσχεσιν ἐφ' οἷς ὁ ἀγρὸς κρείττων ἐγένετο· ψηφιζομένων τῶν πρὸ τῆς προκαταρξέως ληφθέντων καρπῶν. βούλεται ἡ διάταξις ὅτι τοῖς ἀγαθῇ πίστει νεμηθεῖσι παρέχεται τὸ τίμημα βελτιώσεως, εἰ μὲν ὀλίγα τις ἀναλωκὼς πολλοῦ τιμώμενα, ἀμπελῶνα, ἢ ἐλαιῶνα, ἢ τι ἄλλο κατέστησεν, μόνον δίδοσθαι τὸ ἀνάλωμα, ὅτι δέ τις πολλὰ δεδαπανηκὼς ὀλίγα ἐβελτίωσε, τοῦ βελτιωθέντος βραχέος, μόνον τὸ τίμημα δίδοσθαι, ἐγκαλεῖται γὰρ ἄγνοιαν ὁ καμὼν, ὡς οὐ λελογισμένως καταναλώσας χρυσίον, ἐν γῇ τυχὸν λιτῇ καὶ ἀπόρῳ, καὶ μὴ δυναμένῃ καλῶς φυλάττειν τὰ πιστευόμενα ταύτῃ. Ὥσπερ τὸ γάλα ἐστὶ αἱ τρίχες καὶ τὸ ἔριον, οὕτω καὶ ἡ γονὴ τῶν θρεμμάτων, καρπὸς αὐτῶν ἐστι, καὶ δεσπόζει αὐτῶν ὁ καλῇ πίστει νομεὺς, καὶ ὁ τὴν χρῆσιν τῶν καρπῶν ἔχων. ὁ δὲ τόκος τῆς δούλης οὐκ αὐτοῖς, ἀλλὰ τῷ δεσπότῃ διαφέρει· ὁ γὰρ ἄνθρωπος οὐκ ἔστι καρπός. ὡς τῆς φύσεως δι' αὐτὸν εὐτρεπισάσης τοὺς καρπούς.

Ὁ καλῇ πίστει νομεὺς, τοὺς καρποὺς λαμβάνων, δεσπόζει αὐτῶν, κἂν ἄλλος αὐτοὺς ἔσπειρεν· ἐοίκασι γὰρ τοῖς ἐκ τῶν ὑ-

τηρεσιῶν τῶν ἄλλων προσποιζομένοις, καὶ οἱ ὁπωσοῦν ληφθέντες καρποὶ, τῷ καλῇ πίστει εἰσίν. Ἐὰν μετὰ τὸ σπεῖραι καὶ μὴ λαβεῖν τοὺς καρποὺς γνῷ, ἀλλότριον τὸν ἀγρὸν, ὁ καλῇ πίστει νομεὺς, τῇ λήψει διασώζει αὐτῶν· ὅσον γὰρ ἧκεν εἰς τὴν λῆψιν τῶν καρπῶν, ἕως οὗ ἐκνικηθῇ ὁ ἀγρὸς, καλῇ πίστει ἀγοραστής ἐστιν.

## ΠΕΡΙ ΤΗΣ ΚΑΚΗ ΠΙΣΤΕΙ ΝΟΜΗΣ.

Ὁ κακῇ πίστει νομεὺς, οὐ μόνον τὸ πρᾶγμα ἀποδίδωσι καὶ τοὺς καρποὺς οὓς ἔλαβεν, ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν καρπούς, καὶ δίδωσι τοὺς μετὰ προκατάρξιν. ἐπὶ δὲ τῆς ἀπαιτήσεως τῆς κληρονομίας, καὶ οἱ πρὸ τῆς προκατάρξεως καρποὶ καταφέρονται. Ὅταν τὸ ἀλλότριον πρᾶγμα κακῇ πίστει νέμηταί τις, ἢ ὡς ἀφελόμενος βίᾳ, ἢ δυναστείᾳ χρησάμενος, ἢ δόλως πριήσας, ἢ γινώσκων ἀλλότριον εἶναι καὶ ἀγοράσας, ἢ ἄλλό τι τοιοῦτον διαπραξάμενος, τριάκοντα δίδονται χρόνοι, διὰ τὴν στέρησιν τοῦ πράγματος ὑπομείναντι· ἵνα ἐντὸς τούτων ἀνακαλῆται τὸ ἴδιον δίκαιον. καὶ γίνεται τοῦτο διὰ τὴν προφανῆ κακίαν τοῦ οὕτω κατέχοντος τὸ ἀλλότριον, καὶ τὴν πονηρίαν τούτου καὶ τὴν σκαιότητα, ἢ τὸ τῆς γνώμης ἁρπακτικὸν καὶ φιλάδικον. Καὶ ταῦτα μὲν περὶ ἀκινήτων πραγμάτων· τινὰ δὲ τῶν κινητῶν, καὶ μέχρι τελείας ἀποκαθίσταται, ὅταν καλῇ πίστει ὁ νεμόμενος ταῦτα νέμηται. εἰ δὲ κινητὸν μὲν εἴη τὸ πρᾶγμα, ὁ δὲ κατέχων κακῇ πίστει νέμηται, μέχει τριακονταετίας, ἡ περὶ αὐτοῦ κίνησις ἐπεκτείνεται. Εἴ τις κακῇ πίστει πράγματα νεμόμενος, ἢ κατὰ πρᾶσιν, ἢ κατὰ δωρεὰν, ἢ ἄλλως ταῦτα ἐκποιήσῃ· ὁ δὲ νομίζων τὰ αὐτὰ πράγματα προσήκειν αὐτῷ, τοῦτο γινώσκων ἐντὸς δέκα ἐνιαυτῶν, μεταξὺ τῶν παρόντων, καὶ εἴκοσι τῶν ἀπόντων, μὴ διαμαρτύρηται κατὰ νόμους τὸν ἀγοραστὴν, ἢ τὸν τὴν δωρεὰν δεχόμενον, ἢ ἐκεῖνον εἰς ὃν τὰ πράγματα ἄλλῳ οἵῳ δήποτε τρόπῳ ἐξηνέχθη, τὸν τὰ τοιαῦτα πράγματα κομι-

νομιζόμενον βεβαίως ταῦτα ἔχειν, μετὰ τὴν τῆς δεκαετίας δηλονότι ἐπὶ τῶν παρόντων, καὶ τῆς εἰκοσαετίας ἐπὶ τῶν ἀπόντων παραδεδομένην. εἰ δὲ ἀγνοεῖ ὁ ἀληθὴς τῶν ἐκποιηθέντων πραγμάτων δεσπότης, ὅτι τὰ πράγματα αὐτῷ προσήκει, καὶ ὅτι γέγονεν ἐκποίησις, κελεύομεν μὴ ἄλλως τοῦτον ἀποκλείεσθαι, πλὴν εἰ μὴ διὰ τῆς παραγραφῆς τῆς τριακονταετίας, μὴ δυναμένου λέγειν τοῦ τὰ πράγματα τούτῳ τῷ τρόπῳ νεμομένου, ὅτι αὐτὸς καλῇ πίστει νέμεται· ὁπότε παρὰ τοῦ κακῇ πίστει νεμηθέντος, ταῦτα ἐκομίσατο. περὶ δὲ τῆς παραγραφῆς τῆς δεκαετίας, ταῦτα διατυποῦσι συνείδομεν, ὥστε εἴποτέ τις ἐν τῇ εἰρημένῃ τῆς δεκαετίας χρονικῇ παραγραφῇ, ἐπί τινας μὲν ἀπὼν ἐπὶ τινας δὲ παρὼν εἴη, ἄλλους τοσούτους αὐτῷ ἐνιαυτοὺς τῇ δεκαετίᾳ προστεθῆναι, ὅσους ἔξω αὐτῆς τῆς δεκαετίας, ἀπὼν γέγονεν.

## ΠΕΡΙ΄ ΖΩ΄ΩΝ.

Πάντα τὰ ἄγρια ζῶα· τὰ χερσαῖα, τὰ θαλάσσια, καὶ τὰ ἐναέρια, τῶν λαμβανόντων γίνονται, μετὰ καὶ ὧν τίκτουσι. τὸ γὰρ μηδενὸς ὄν, τοῦ προκαταλαμβάνοντος γίνεται. Ἡ τῶν μελισσῶν φύσις, ἀγρία ἐστίν, ἀμέλει αἱ ἐν τῷ σῷ δένδρῳ καθεσθεῖσαι μέλισσαι, τῆς σῆς οὐ γίνονται δεσποτείας, πρὶν αὐτὰς τοῖς σίμβλοις ἐναποκλείσῃς. ὥσπερ οὐδὲ τὰ ὄρνεα, ἅτινα ἐν τῷ σῷ δένδρῳ νεοττιὰν κατεσκεύασεν, πρὶν ἰξευθῇ, τῆς σῆς οὐκ εἰσὶ δεσποτείας, ἀλλὰ τοῦ προκαταλαμβάνοντος γίνονται. καὶ τὰς μελικηρίδας εἴ τινας ὑπὸ τῶν μελισσῶν γενέσθαι συμβῇ, ὁ βουλόμενος ἐξελέσθαι δύναται, εἰ καὶ κατὰ τὸν σὸν ἀγρὸν αὗται γεγόνασιν. Ὁ τῶν μελισσῶν ἐσμὸς, ἐὰν τοὺς σοὺς σίμβλους καταλιπὼν ἀποπτῇ, μέχρι τοσούτου τῆς σῆς εἶναι νοεῖται δεσποτείας, ἄχρις οὗ τοῖς σοῖς ὑποπίπτωσιν ὀφθαλμοῖς, καὶ ἡ τούτων κατάληψις οὐκ ἔστι δυσχερής· εἰ δὲ δυσχερὴς ἐστὶν ἡ τούτων κατάληψις, ἢ τὴν σὴν διέφυγε θέαν, τοῦ καταλαβόντος γίνεται. Καὶ ἡ τῶν ταώνων καὶ τῶν περιστερῶν

φύσις ἀγρία ἐστί, τούτους δὲ ἡμῖν ἰσχυρότατους κανὼν παραδέδοται· δι' ὧν ἐστὶ μελισσῶν, περιστερῶν, ταώνων καὶ ἐλάφων. λέγομεν γὰρ μέχρι τούτου τῆς ἡμετέρας εἶναι δεσποτείας, ἕως οὗ λογισμὸν ἔχει πρὸς ἡμᾶς ὑποστρέφειν· εἰ δὲ παύσονται τοιαύτην ἔχειν διάνοιαν, παύονται τῆς ἡμετέρας εἶναι δεσποτείας, καὶ τοῦ προκαταλαμβάνοντος γίνεται. δήλη δὲ ἡ τούτων γίνεται διάνοια, ἐκ τῆς συνηθείας ἣν ἔχουσι περὶ τὴν ὑποστροφὴν αὐτῶν. τὰ ἡμέτερα ὀρνίθια, εἰ ἔκ τινος τύχης ταραχθέντα ἀποπτῇ, καὶ τὴν σὴν διαφύγοι θέαν, ἐν οἵῳ δήποτε εὑρεθέντα τόπῳ, τῆς σῆς οὐδὲν ἧττον εἰσὶ δεσποτείας. τὸ τρωθὲν παρά τινος ἄγριον ζῶον, καὶ διαφυγὸν μὲν τὰς ἐκείνου χεῖρας, παρ' ἑτέρου δὲ μετὰ ταῦτα καταληφθέν, οὐ γίνεται τῆς τοῦ τρώσαντος δεσποτείας· μὴ ἑτέρωσε γὰρ τὸν τρώσαντα κτᾶσθαι δεσπότην τοῦ θηρίου, εἰ μὴ καὶ τοῦτον συλλάξεται. πολλὰ γοῦν ἐν τῷ μεταξὺ συμβῆναι δύναται, ἅτινα οὐκ ἐᾷ τοῦτον τὸ εἰρημένον θηρᾶσαι ζῶον.

## ΠΕΡΙ ΤΩΝ ἘΞ ἈΛΛΟΤΡΙΑΣ ὙΛΗΣ ΓΙΝΟΜΕΝΩΝ ΕἸΔΩΝ.

Ὅταν ἐξ ἀλλοτρίας ὕλης εἰς εἶδος παρά τινος ἀμειφθῇ τι, εἰ τὸ κατασκευασθὲν εἶδος ἀναλυθῆναι δύναται, εἰς τὴν παλαιὰν ὕλην ἐξ ἧς γέγονεν, ὁ τῆς ὕλης δεσπότης, καὶ τοῦ εἴδους ἔσται δεσπότης· εἰ δὲ τὸ εἶδος ἀναδραμεῖν εἰς τὴν ἀρχαίαν ὕλην οὐ δύναται, τὸν κατασκευάσαντα τὸ εἶδος εἶναι τοῦ γινομένου δεσπότην. δι' ὡς ἐστὶ θέματος, ἀπὸ βώλου χαλκοῦ, ἢ ἀργύρου, ἢ χρυσοῦ, τὸ κατασκευασθὲν εἶδος, δύναται χωνευθὲν, τὴν ἀρχαίαν ἀποκαταστῆσαι βῶλον, χαλκοῦ, ἢ ἀργύρου, ἢ χρυσοῦ. ὁ δὲ οἶνος ἢ τὸ ἔλαιον, ἢ ὁ σῖτος, εἰς σταφυλάς, ἢ ἐλαίας, ἢ στάχυας ὑποστρέφειν οὐ δύναται· ἀλλ' οὐδὲ τὸ οἰνόμελι, εἰς οἶνον καὶ μέλι διαλύεσθαι· ταῦτα μὲν ἐν ᾧ πᾶσα ἡ ὕλη ἀλλοτρία ἦν. εἰ δὲ ἐξ ἐμῆς καὶ σῆς ὕλης ἐποίησά τι εἶδος· δι'

ἐξ

ἐξ ἐμοῦ καὶ σοῦ οἴνου καὶ μέλιτος, οἰνόμελι, ἢ ἐξ ἐμοῦ δὲ σοῦ ἐρίου, ἐσθῆτα, ἀναμφίβολον ἐστὶ τούτων τὴν δεσποτείαν τοῦ κατασκευασθέντος εἶναι με δεσπότην· οὐ γὰρ μόνον οἰκείαν ἐργασίαν ἐδαπάνησα περὶ τὸ εἶδος, ἀλλὰ καὶ μέρος παρέσχον τῆς ὕλης.

Ἰστέον δὲ ὅτι ἐπὶ τῶν τοιούτων, εἰ μὲν καλῇ πίστει εἰς τι εἶδος ὕλη μετεσκευάσθη, δύναται ζητεῖν ὁ κατασκευάσας δαπάνας· εἰ δὲ κακῇ πίστει, ζητεῖν ταύτας οὐ δύναται. Εἰ δὲ δύο ὕλαι τινῶν, κατὰ γνώμην ἐμίγησαν τῶν δεσποτῶν, τὸ ἐκ τῆς μίξεως ἀποτελούμενον σῶμα, ἑκατέρων ἔσται κοινόν. Εἰ δὲ ἐκ τύχης ἢ οὐ κατὰ προαίρεσιν τῶν δεσποτῶν συνεχύθησαν αἱ ὕλαι, ἢ ἑτερογενεῖς, ἢ ὁμογενεῖς, τὸ αὐτὸ γενήσεται.

## ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΟΛΕΜΩ ΛΗΦΘΕΝΤΩΝ.

Ὅσα ἀπὸ τῶν πολεμίων εἰλήφαμεν, ἡμέτερα παραχρῆμα γίνονται. Ἐάν τις ἐν τῷ ἰδίῳ ἐδάφει οἶκον κατασκευάσῃ ἐξ ἀλλοτρίων ὑλῶν, δεσπότης γίνεται τοῦ κατασκευασθέντος· τὸ γὰρ ἐποικοδομηθὲν, ἕπεται τῷ ἐδάφει, ἐκείνου ὄντος δῆλον, ὅτι ὁ τῆς ὕλης δεσπότης, τῆς δεσποτείας οὐκ ἐκπίπτει τῆς ὕλης. Ἐάν τις ἐπικτίσῃ τοῖς ἐμοῖς οἰκήμασιν ἀνώγεα, ἐγὼ τούτων γίνομαι κύριος, διὰ τὸν κανόνα τὸν λέγοντα, ἕπεσθαι τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις. Εἰ δὲ ἐν τῷ ἐμῷ ἐδάφει κτίσει τις, δεσπότης γίνομαι τοῦ οἰκήματος, ἐφ' ὅσον ἐν τῇ αὐτῇ καταστάσει μένει τὸ οἴκημα· ἐὰν δὲ καταλυθῇ, δύναται ὁ οἰκοδομήσας, ἐκδικῆσαι τὰς ὕλας, εἴτε καλῇ πίστει, εἴτε κακῇ πίστει ᾠκοδόμησεν. Ὁ ἐν αἰγιαλῷ κτίζων, δεσπόζει τοῦ κτισθέντος, ὁ δὲ ἐν ὄχθῃ ποταμοῦ κτίζων οὐ δεσπόζει αὐτοῦ. αἰγιαλὸς δέ ἐστι τόπος, μέχρις οὗ τὸ χειμέριον κῦμα ἔξεισιν, ὥστε τὸ ὂν κἂν τῷ θέρει μέχρι τῶν τόπων ἐκείνων, τὸν αἰγιαλὸν ὁριζόμεθα. Ἐάν τινες ὅπου δήποτε, ἀλλὰ προχώσεως κτήσωνται γῆν, δεσπόται αὐτῆς γίνονται.

## ΠΕΡΙ ΝΗΣΟΥ

Νῆσος ἐν θαλάσσῃ φυομένη, τοῦ προκαταλαμβάνοντος γίνεται

ται. Νῆσος ποταμία εἰ μὲν ἐν τῷ μέσῳ φυῇ, τοῖς ἐν ἑκατέρᾳ ὄχθῃ κειμένοις, κατὰ τὸ μέρος τοῦ πλατύτητος διοίσει· εἰ δὲ τῷ ἑνὶ πλησιάσει μέρει, τοῦ πλησιάσαντος μέρους ἔσται.

ΠΕΡΙ ΠΟΤΑΜΟΥ. Ἐὰν ποταμὸς μέσον δύο ἀγρῶν ῥέῃ, τουτέστι τοῦ σοῦ καὶ ἐμοῦ, εἶτα κατὰ βραχὺ δὲ ἀνεπαισθήτως προσθήσει γῆν τῇ ἐμῇ γῇ, ὡς μὴ δύνασθαι τινὰ νοῆσαι πόσον, καὶ ἐν ποίῳ χρόνῳ τῆς ἡμετέρας ἐστὶ δεσποτείας, τὸ προστιθέμενον τοῦτο, ἐμὸν γίνεται. εἰ δὲ ἡ τοῦ ποταμοῦ βία καὶ ὁρμὴ μέρος τι τοῦ σοῦ ἀγροῦ ἀφέλοιτο, καὶ τῷ ἐμῷ προσήγαγεν ἀγρῷ, δῆλον ἐστὶν, ὅτι τὸ προστεθὲν, τῆς σῆς μένει δεσποτείας· οὐδὲ γὰρ ἀνεπαισθήτως τοῦτο γέγονεν. Ἐμὰς μεμβράνας ἢ ἐμοὺς χάρτας λαβών τις, ἐνέγραψέ τι ἐν αὐταῖς, καὶ βιβλίον κατεσκεύασε· κἀνταῦθα κατὰ μίμησιν τοῦ ἐδάφους ἔχειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις, εἰ καὶ τὰ μάλιστα χρυσᾶ εἰσὶ τὰ ἐπιτεθέντα γράμματα, ἐγὼ γίνομαι τοῦ βιβλίου δεσπότης. τοὐναντίον δὲ ἐπὶ τῆς εἰκόνος γίνεται, ἔκει γὰρ ἡ ξένη σανὶς τῇ γραφῇ καὶ γίνεται ὁ τῆς ἀλλοτρίας σανίδος δεσπότης, ὁ τὴν γραφὴν ἐν αὐτῇ κατασκευάσας. Ὅτε εἰ μὲν ἐκκλησιαστικὸν μέρος τι κατάσχω, ἀλλὰ τεσσαρακονταετίας δεσπόζω αὐτοῦ. εἰ δὲ τὸ μοναστήριον χῶ ὅλον, οὐδέποτε δύναμαι κτήσασθαι, οὐδὲ βοηθεῖ μοι χρόνος οὐδείς, ἀλλὰ τὸν νόμον ῥητῶς ἀποφαίνεσθαι τὰ ῥελιγίωσα καὶ τὰ σάκρα, μὴ ἀλλὰ χρόνου δεσπόζεσθαι. εἰ μέν τι ἐπίσκοπος ἐκκλησίαν, ἢ μοναστήριον ἑτέρου ἐπισκόπου κατάσχοι, ἀλλὰ τριακονταετίας ἀναμφιβόλως τούτου δεσπόσει. ὡσανεὶ γὰρ ἀπὸ ἱερέως εἰς ἱερέα μετήχθη, τὸν δυνάμενον καὶ αὐτὸν ἐφορᾶν. Ὁ κληρονόμος τοῦ κακῇ πίστει νεμηθέντος, κἂν αὐτὸς καλῇ πίστει νεμηθῇ, οὐ δύναται ἀλλὰ τῆς χρονίας νομῆς δεσπόζειν· τὰ γὰρ ἐλαττώματα τοῦ τελευτήσαντος, διαβαίνουσιν ἐπὶ τὸν κληρονόμον. Ὁ κακῇ πίστει ξένον οἶκον κρατῶν, καὶ νεμηθεὶς, ἀποδίδωσι τῷ

κυρίῳ

κυρίῳ τούτου αὐτὸν, μετὰ πάντων ὧν εἰς βελτίωσιν τοῦ οἴκου ποιήσει, τὰς δὲ ἐπ' αὐτοῦ προσόδους οὐ λαμβάνει. ὁ ποτέ κτᾶται τὴν νομὴν, ὅτε μηδεὶς αὐτοῦ ἐνοχλῇ νεμομένῳ.

ΠΕΡῚ ΚΛΟΠΙΜΑΊΟΥ.

τὸ κλοπιμαῖον, οὐ δεσπόζεται διὰ τῆς χρήσεως. ὁ ἀγοράσας ἀγρὸν, καὶ εἰδὼς μέρος αὐτοῦ ἀλλότριον, εἰ μὴ ἀγνοεῖ ποῖον, οὐδὲν κτᾶται τοῦ ἀγροῦ· εἰ δὲ οἶδε, τὰ λοιπὰ διὰ τῆς χρονίας νομῆς δεσπόζει.

ΠΕΡῚ ΚΛΗΡΟΝΟΜΙΑ͂ΙΩΝ.

τὰ ἐλαττώματα τοῦ τελευτήσαντος διαβαίνουσιν ἐπὶ τοὺς κληρονόμους, καὶ ἐπὶ κληρονομίας διὰ τοῦ χρᾶσθαι, δεσποτεία οὐκ ἔστιν. ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων, οὐκ ἀναγκάζεται ὁ τὸ πρᾶγμα νεμόμενος δεικνύειν πόθεν ἔχει τὴν ἀρχὴν τῆς νομῆς, οὐδὲ βιάζει εἰς τὴν ἀπόδειξιν τούτων, ὁ τὸ πρᾶγμα ἀνακαλούμενος. ὅταν δέ τις ἀνακαλῆταί τι, ὡς κατὰ κληρονομίαν διαφέρον αὐτοῦ, ἐπ' ἀδείας ἔχει ἀπαιτεῖν τὸν νεμόμενον, ἵνα δείξῃ τίνι τρόπῳ ἐνεμήθη αὐτῷ.

ΠΕΡῚ ΔΩΡΕΑ͂Σ.

ὁ λαβὼν, οὐ μὴν ὁ ὑπονοῶν δωρεὰν, διὰ τῆς χρονίας νομῆς δεσπόζει. τὸ δωρηθέν μοι παρὰ τοῦ πατρὸς, οὐδὲ τελευτῶντος διὰ τῆς χρονίας νομῆς δεσπόζω· οὐδὲ γὰρ ἐῤῥῶται ἡ δωρεὰ διὰ τὴν ὑπεξουσιότητα. Ἡ διάταξις κελεύει, πάντα τὰ πράγματα, εἰ μὴ κινητὰ ἢ αὐτοκίνητα εἴησαν, διὰ τριετίας τῇ χρονίᾳ νομῇ δεσπόζεσθαι· εἰ δὲ ἀκίνητα, διὰ δέκα καὶ εἴκοσιν ἐνιαυτῶν, δέκα μὲν ὅτε πάρεστιν ὁ δεσπότης· εἴκοσι δὲ, ὅτε ἄπεστιν.

ΠΕΡῚ ἘΠΙΚΟΊΝΩΝ.

ἐάν τις ἐπίκοινον πρᾶγμα ἔχων νεμηθῇ ἐξ ὁλοκλήρου, ἐπὶ δέκα ἢ εἴκοσιν ἐνιαυτῶν, οὐκ ἔχει μακροῦ χρόνου παραγραφὴν, τῇ τριακονταετίᾳ γὰρ μόνῃ κατακλείεται. ὁ εἰδὼς σὺν ἑτέρῳ κοινὸν ἔχειν ἀγρὸν, καὶ τοὺς καρποὺς ἄκοντος ἢ ἀγνοοῦντος τοῦ κοινωνοῦ λαμβάνων, οὐ δεσπόζει αὐτῶν· εἰ μὴ κατὰ τὸ ἀναλογοῦν αὐτοῦ μέρος, ὅς τις δήποτε ἔσπειρεν αὐτούς. οἱ γὰρ

καρποὶ οὐ τῷ σπόρῳ, ἀλλὰ τῇ γῇ ἕπονται· καὶ ὁ καλῇ πίστει νομεὺς, τὴν ὁπωσοῦν σπαρέντων καρπῶν οὐ δεσπόζει. Ὁ παρὰ κακῇ πίστει νομέως ἀγοράσας καλῇ πίστει, δύναται τὸ πρᾶγμα διὰ χρήσεως δεσπόσαι. ΠΕΡΙ ΔΗΜΟΣΙΩΝ.

Ἐάν τις νεμηθῇ πρᾶγμα δημόσιον, ἐπὶ τέσσαρας ἐνιαυτοὺς, ἔχει κατὰ τοῦ δημοσίου τὴν τῆς τετραετίας παραγραφήν.

Οὐ δύναται ὁ νομεὺς ἐκδικουμένου τοῦ ἀγροῦ ὃν ἐγεώργησε καὶ ἔσπειρε, τὸν σπόρον ἐπᾶραι. Τὸ ἀπὸ ναυαγίου ἢ ἀποβολῆς, διὰ χρονίας χρήσεως οὐ δεσπόζεται· οὐδὲ γάρ ἐστιν ἀδέσποτον. Ὁ ὑπὸ ἄλλου λαβὼν, κἂν βίᾳ κἂν λάθρᾳ, ἢ παρακλήσει, νικᾷ σε ἐνάγοντα, οὐ μὴν εἰ ἀπὸ σοῦ ἔλαβε, παρὰ σοῦ γὰρ νέμεται· πρὸς ἄλλους δὲ εἴτε δικαίως, εἴτε ἀδίκως νέμεται, πλέον ἔχει τοῦ μὴ νεμομένου.

ΠΕΡΙ ΣΑΘΡΩΘΕΝΤΟΣ ΟἸΚΟΥ ΤΟΥ ΓΕΙΤΟΝΟΣ.

Ἐὰν ὁ γείτων τὸν σαθρωθέντα οἶκον αὐτοῦ καὶ ἀπειλοῦντα πτῶσιν, μὴ ἀνανεῇ, μὴ δὲ ἀσφαλίζηταί με, τοῦ μή τινα κοινοζημίαν παθεῖν ὑπὸ αὐτοῦ, πέμπομαι εἰς νομήν. Ὁ ἀκληρονόμητα πράγματα νεμηθεὶς, ἐπὶ τέσσαρας ἐνιαυτοὺς, ἔχει κατὰ τοῦ δημοσίου παραγραφήν. Ὁ τὸν ἴδιον δήποτε ἀγρὸν νεμηθεὶς τεσσαράκοντα ἔτη, οὐκ ἐνάγεται εἰ μὴ εἰς τὸ δοῦναι τὸν κανόνα. ΠΕΡΙ ΠΡΟΘΥΡΩΝ ΘΑΛΑΤΤΙΩΝ.

Περὶ προθύρων θαλαττίων, ἡ τριακοστὴ νεαρὰ τοῦ καίσαρος Λέοντος φησὶν, ὥστε δεσπόζειν ἕκαστον τῶν παρακειμένων αὐτῷ· καὶ κύριον εἶναι, τοῦ εἴ τινες βουληθεῖεν χωρὶς τῆς αὐτοῦ ἐπιτροπῆς τῆς τῶν προθύρων ἀπολαύειν ὠφελείας, ἐκδιώκειν. Ὁ κατὰ παράδοσιν λαβὼν παρὰ μὴ δεσπότου ἐξ εὐλόγου αἰτίας, καὶ μὴ διὰ χρήσεως δεσπόσας, ἔχει τὴν † πουβλικιανήν· ὁ δὲ διὰ χρήσεως δεσπόσας, ἔχει τὴν πολιτικήν. ΣΧΟΛ.

† ἤτοι τὴν δημοσιακήν

Οἷον ὑπὸ ἀγορασίας, ἀπὸ λεγάτου, ἢ θανάτου αἰτίᾳ δωρεᾶς, ἀπὸ προικὸς, ἀπὸ κρίσεως, ἀπὸ καταβολῆς δικαίου δικαστηρίου

γινομένου

γινομένου, ἀλλ' ἐκ νοξαλίας αἰτίας ἐκ τῆς τοῦ ἄρχοντος παραδό-
σεως, ἀλλ' ἐκ τοῦ προσαγαγεῖν τὴν τῆς δίκης διατίμησιν, καὶ ἁπλῶς
εἰπεῖν ἐξ ὧν αἰτιῶν ἡ δεσποτεία τοῦ πράγματος ἐπὶ τὸν λα-
βόντα παραχρῆμα μετατίθεται, ἀλλ' ἐκ τῆς πρὶν δεσπότου.

Τῷ κατ' εὔλογον αἰτίαν λαβόντι πρᾶγμα ἢ ἐκπεσόν-
τι, δίδοται ἡ πουβλικιανή. ΣΧΟΛ. Ἐπὶ τῆς πρώ-
σης ἀγωγῆς, ἐπεὶ οὐκ ἐξ ἀρχῆς ἡ δεσποτεία ἐμπίπτει περὶ νο-
μεῖ, ἀλλὰ διὰ χρόνου νομῆς περιγίνεται· ὀφείλει εἶναι ἀδιάκοπος
ἡ νομή. εἰ γὰρ πρὸς ἡμέραν μὴ νεμηθῇ, δοκεῖ ἡ νομὴ πρὸς τὸν
ἀληθῆ δεσπότην ἐκτρέχειν, καὶ τῇ διακοπῇ τὴν δεσποτεί-
αν ἀνανεοῦν. Ἐὰν ἀλλ' προικὸς λάβῃ τις ἀλλότριον πρᾶ-
γμα, δύναται αὐτὸ διὰ χρήσεως δεσπόζειν· ταῦτα δὲ ἐπὶ τῶν
κινητῶν δηλονότι, ἐπειδὴ περὶ ἐπὶ τῶν ἀκινήτων, οὐκ εὐχερῶς
τὸ ἐλάττωμα διαβαίνει, διὰ τὸ μὴ γίνεσθαι ἐν αὐτῷ κλοπήν.

Ὁ κατὰ παράδοσιν λαβὼν παρὰ μὴ δεσπότου ἐξ εὐλό-
γου αἰτίας, καὶ μὴ διὰ χρήσεως δεσπόσας, ἔχει τὴν πουβλικι-
ανήν· ὁ γὰρ διὰ χρήσεως δεσπόσας, ἔχει τὴν πολιτικήν.

ΤΙ ἘΣΤΙ ΠΟΥΒΛΗΚΙΑΝΗ΄.

Πουβλικιανή ἐστιν, ἡ ἀνακαλουμένη τὴν νομήν, περὶ μήπω
διὰ κυριότητα καλῇ πίστει νομεῖ· ἡ πουβλικιανή, μίμησιν ἔ-
χει δεσποτείας καὶ οὐ ψιλῆς νομῆς. Ἐπὶ τῆς χρονίας νομῆς,
καὶ ὁ χρόνος τοῦ προκτήτορος συμψηφίζεται. Οἱ τῶν ἱερῶν
ναῶν τόποι, ἢ κατενεχθέντων τῶν ναῶν, οὐδὲν ἧττον εἰσὶν ἱε-
ροὶ καὶ ἀδέσποτοι· ὁ γὰρ ἅπαξ γενόμενος ἱερὸς τόπος, οὐδενὶ
τρόπῳ παύεται τοῦ ἱερὸς εἶναι. Ἐπὶ τῶν τάφων οὐ συμ-
βάλλεται χρονία νομὴ περὶ μὴ ἔχοντι δίκαιον. Οὐκ ἔστι κα-
κῇ πίστει νομεὺς, ὁ δεδωκὼς τὸ τίμημα. Ὁ κατὰ κέλευσιν
ἀρχοντικὴν ἀγοράσας, καλῇ πίστει νομεύς ἐστιν. Ἐν ἴσῃ
αἰτίᾳ, κρείττων ἐστὶν ὁ νεμόμενος. ΣΧΟΛ. Ἀγρὸν
λόγου χάριν ἀλλότριον κατεῖχον ἐγὼ, καί τις ἀνεφύη κινδυ-

κατ' ἐμοῦ καὶ ζητεῖ αὐτὸν, δικαιολογούμενος δημόσιον εἶναι τὸν ἀγρὸν, καὶ διὰ τοῦτο μὴ διαφέρειν ἐμοί. ἀντιτίθημι αὐτῷ ἐγὼ, τουτὶ τὸ δικαιολόγημα, ὅτι δημόσιος ὢν ὁ ἀγρὸς ὁ ζητούμενος παρὰ σοῦ, οὔτε σοὶ ἀνήκει οὔτε ἐμοί· καὶ ἐμὸς δὲ μὴ ὢν, οὐκ ἔστι παρὰ τοῦτο σός, ἐγὼ δὲ νεμόμενος τοῦτον, σὲ τὸν κινοῦντα νικῶ. δεχόμενος οὖν ὁ νόμος τὰς ἐμὰς ἀντιθέσεις φησὶν, ὅτι τοῦ φιλονεικουμένου πράγματος ἀλλοτρίου τυγχάνοντος. καὶ μηδετέρῳ τῶν δικαζομένων ἀνήκοντος, ὁ τοῦτο νεμόμενος κρείττων ἐστὶ τοῦ ἐνάγοντος καὶ ζητοῦντος τοῦτο λαβεῖν. ς ὅμως δὲ εἰ βούλει τοῦτο θεμάτισον, καὶ εἰπὲ ὅτι δέδωκέ μοι τις τυχὸν νι ιβʹ. ὥστε ἔχειν αὐτὰ, εἰ κλέψω ἢ μοιχεύσω, ἢ ἕτερόν τι τοιοῦτον ἐργάσωμαι, ἐγὼ λαβὼν τὰ νι καὶ καταθέμενος ἐργάσασθαι τὰ συμφωνηθέντα, τούτων διεπραξάμην οὐδέν. ἐὰν οὖν ἔλθῃ κινῶν κατ' ἐμοῦ, ὁ τὰ ιβʹ νι δεδωκὼς, καὶ ζητῇ ἀναλαβέσθαι αὐτὰ ἐξ ἐμοῦ, ὡς μὴ τὰ ὑπεσχημένα ποιήσαντος, οὐδέν τι λήψεται παρ' ἐμοῦ. τοῦ παρόντος νόμου κελεύοντος, ὅτι τῆς αἰτίας οὔσης καὶ τῷ δεδωκότι καὶ τῷ λαβόντι ἐπίσης αἰσχρᾶς, νικᾷ ὁ λαβὼν τὰ νι καὶ κατέχων αὐτὰ κἂν τῶν συμφωνηθέντων οὐδὲν διαπέπραχεν.

Ὁ δόλῳ παυσάμενος νέμεσθαι, ὡς νεμόμενος καταδικάζεται.

## ΠΕΡΙ ἈΝΑΡΓΥΡΙΑΣ. Τίτλ. βʹ.

Ἀναργυρία λέγεται, ὅταν τις γράψας οἰκειοχείρως, καὶ ὁμολογήσας λαβεῖν ἀργύριον, ἢ νομίσματα, ἢ οὐδ' ὅλως ἔλαβεν ἅπερ λαβεῖν ἐγγράφως καθωμολόγησεν, ἢ ἔλαβε μὲν μέρος, οὐ μὴν τόσα, ὅσα λαβεῖν αὐτὸς διὰ τοῦ ἰδίου γράμματος ὡμολόγησεν. Οὐ μόνον ὁ μηδὲν λαβὼν ἐξ ὧν ἐχειρογράφησεν, ἀντίθεσιν ἀναργυρίαν, ἀλλὰ καὶ ὁ πλείονα ὧν ἔλαβε χειρογραφήσας. Ὁ ἐπιγνοὺς τὴν τοῦ γραμματείου πίστιν, καὶ ἅπαξ ἀρξάμενος καταβάλλειν, δοκεῖ ἐπιγινώσκειν τὴν ἀπαρίθμησιν, καὶ οὐκ ἔχει τὴν τῆς ἀναργυρίας παραγραφήν.

Ὁ λέ-

ὁ λέγων ὅτι οὐ γέγονεν ἀρίθμησις, εἰ μὴ ἐντὸς διετίας ἢ ἐναχθῇ, ἢ διαμαρτύρεται περὶ τούτου, οὐδεμίαν ἔχει δικαιολογίαν. Ἐὰν ἐγράφη μὲν ἐν τῷ προικώῳ συμβολαίῳ ποσότης προικός, μὴ ἀπεδόθη δέ, ἔξεστι καὶ τῷ ἀνδρὶ καὶ τοῖς κληρονόμοις αὐτοῦ, καὶ τῷ τοῦ ἀνδρὸς πατρί, εἰ συνυπεδέξατο τὴν προῖκα, καὶ τοῖς κληρονόμοις αὐτοῦ, καὶ ἁπλῶς παντὶ προσώπῳ τὴν προῖκα αἰτουμένῳ, ἀντιτεθῆναι τῇ γυναικὶ καὶ τοῖς αὐτῆς κληρονόμοις ἀναργυρίαν ἔσω ἐνιαυτοῦ, ἀριθμουμένου συναπτῶς μετὰ τὴν λύσιν τοῦ γάμου.

ΠΕΡΙ ΠΡΟΙΚΟΣ ΑΠΑΙΤΗΣΕΩΣ.

Τῆς προικὸς μὴ ἐπιδοθείσης ἐν συνεστῶτι τῷ γάμῳ, εἰ μὲν πρὸ τριετίας τελευτήσει ὁ ἀνήρ, οὐδεμίαν μέμψιν ἔχει, μὴ ἐπιζητήσας τὴν προῖκα. εἰ δ᾽ ἐπέζησεν ἐν τῷ γάμῳ ἐνήλικος ὤν, ἕως δεκαετίας, αὐτὸς ὑπόκειται ἐκ τῶν ἰδίων καὶ ὅθεν δύναται πληροῦν τῇ γυναικὶ τὴν προῖκα. εἰ δὲ ἀνήλικος ἦν ἐν συνεστῶτι τῷ γάμῳ, μετὰ τὴν ἐνηλικιότητα, ἐχέτω δεκαετίαν. εἰ δὲ μὴ δὲ τότε ἀπαιτήσει τὴν προῖκα, πάλιν αὐτὸς ὑποκείσθω τῇ γυναικί. εἰ δὲ μήτε κατὰ δεκαετίαν ἀπαιτήσει, ἐν ὅλῃ συστάσει τοῦ γάμου ἐνήλικος ὤν, ἢ μετὰ τὴν ἐνηλικιότητα καὶ τὴν προσθήκην τῆς δεκαετίας, μηδὲν ἀπαιτήσας τελευτήσει, πρὸς τοὺς κληρονόμους αὐτοῦ ἔστω ἡ ζημία. εἰ δὲ ἐλλιποῦς τοῦ χρόνου ὄντος τῆς δεκαετίας, εἴτε τοῦ ἀπὸ τῆς ἀρχῆς τοῦ γάμου, ἐνηλίκου ὄντος, εἴτε τοῦ ἀπὸ τῆς ἐνηλικιότητος προκόψαντος, εἰς τὸν ἐνήλικον χρόνον, συμπληρούσθωσαν μετὰ θάνατον αὐτοῦ οἱ εἰρημένοι χρόνοι. καὶ τότε οἱ κληρονόμοι αὐτοῦ, εἰ μὲν ἐνήλικοι εἰσί, τριμήνου διάσκεψιν λαμβάνοντες, καταβαλλέτωσαν τῇ γυναικὶ τὴν προῖκα· εἰ δ᾽ ἀνήλικοι ὑπάρχουσι, τελειούμενοι καὶ αὐτοὶ κατὰ τὴν ἡλικίαν ἐχέτωσαν πρὸς διάσκεψιν διετίας χρόνον. καὶ εἴθ᾽ οὕτω χρεῶσται καὶ ὑποκείμενοι διδόναι τὴν προῖκα τῇ γυναικὶ καταλογιζέσθωσαν· ἐὰν δὲ οὐ βούλονται τοὺς ὑποδεχομένους τὴν προῖ-

κα ἀπαιτεῖν, κἀκεῖθεν ἀποκαθιστᾶν τὸ δίκαιον τοῖς χρεωστουμένοις, ἄρα ἔχουσιν ἐξουσίαν. Ἡ διαφορὰ τοῦ μηδόλως κινεῖσθαι τὴν περὶ τῆς προικὸς ἀναργυρείαν μετὰ τὴν ἀποληπτικὴν ἀπόδειξιν, καὶ τοῦ ἐντὸς δέκα ἐνιαυτῶν κινεῖσθαι, αὕτη ἐστίν. ὅτε μὲν γὰρ τὸ κατ' εἶδος τῆς προικὸς ῥητῶς ἐμφέρεται τῇ ἀποδείξει, παρευθὺς ἀποκέκλεισται τῷ ἀνδρὶ καὶ τοῖς κληρονόμοις αὐτοῦ ἡ τῆς ἀναργυρείας παραγραφή· ὅτε δὲ καθ' ὁμάδα δηλοῦται ἐν ταύτῃ ὡς τὴν προῖκα παρ' αὐτῆς εἴη λαβὼν, τὰς δέκα τυχὸν ἢ εἴκοσι λίτρας, τότε ἡ διετία τοῖς εἰς παραγραφὴν τῆς ἀναργυρείας ἐφήπλωται. Ἡ διάταξις κελεύει ἐν τοῖς συναλλάγμασιν ἐν οἷς χρήματα ἢ ἄλλα πράγματα ἀριθμηθέντα συνεγράφησαν, ἐντὸς δύο ἐνιαυτῶν συναπτῶν, τὴν τῆς ἀναργυρείας ἀντίθεσιν διαμαρτυρεῖσθαι, ὅσοι γὰρ πρότερον ἐβοηθοῦντο διά τινας αἰτίας, ἰδικῶς τοῖς νόμοις ἐκπεφωνημένας· τῆς πενταετίας παραδραμούσης, οὕτως καὶ νῦν βούλεται βοηθεῖσθαι. κωλύει δὲ κατὰ ὁμολογίας, ἐν οἷς τις κατέθετο παρακαταθήκην εἰληφέναι, ἢ ἀποδείξεως περὶ δημοσίων γενομένης· ἢ κατὰ ὁμολογίας ἀποληπτικῆς ἐπὶ προικὶ συντελεσθείσης, ἀναργυρείαν μὴ εἶναι· κατὰ δὲ πάσης ἄλλης ἀποδείξεως, τὴν ἀναργυρείαν ἀντιτίθεσθαι. ἐν οἷς δὲ οὐκ ἔστιν ἀναργυρείαν ἀντιτίθεσθαι, ἢ ἐντὸς τριάκοντα ἡμερῶν μόνον ἀντιτίθεσθαι, μὴ δὲ ὅρκος ἐπιφερέσθω.

ΣΧΟΛ. Σημείωσαι ὅτι ὅτε μὲν ὁ ἐναγόμενος τὸ πᾶν ἀρνεῖται χρέος, τότε ὁ δανειστὴς ὀφείλει δεῖξαι τὴν τοῦ χρέους ἀπαρίθμησιν· ὅτε δὲ μέρος λαβεῖν καὶ μέρος χρεωστεῖσθαι λέγει τὸν δανειστὴν, τότε αὐτὸς ὁ χρεώστης βαρεῖται τῇ ἀποδείξει. καὶ πάνυ δικαίως ἐπειδὴ προλήψει μάχεται, ὡς ἤδη χειρογραφήσας χρεωστεῖν. Εἴσω μὲν διετίας τοῦ γάμου διαλυθέντος, εἴτε θανάτῳ εἴτε διαζυγίῳ, καὶ αὐτῷ τῷ ἀνδρὶ τὰ τῆς ἀναργυρείας ἔξεστι μέμφεσθαι, καὶ τῷ γε αὐτοῦ κληρονόμῳ, εἴσω ἑτέρου ἐνιαυτοῦ. εἰ δὲ ὑπὲρ διετίαν, ἄχρι δέκα ἐνιαυτῶν ὁ

γάμος

γάμους ἐκτεθείη, τῷ ἀνδρὶ δίδομεν τὴν μέμψιν, καὶ τῷ γε αὐτοῦ κληρονόμῳ, μηνῶν ἔσω τεσσάρων. εἰ δὲ παραδράμῃ ἡ δεκαετία, οὐδὲ τῷ ἀνδρί, οὐδὲ τοῖς κληρονόμοις αὐτοῦ, τὰ τῆς μέμψεως ἔσται, εἰ μὴ ἀφῆλιξ ἦν ὁ ἀνήρ· τότε γὰρ δεκαετία δίδοται αὐτῷ ἐκ τοῦ καιροῦ τῶν γάμων. καὶ εἰ συμβῇ τελευτῆσαι αὐτὸν ἐντὸς τῆς δωδεκαετίας, τοῖς κληρονόμοις ἔχειν τὸν ἐνιαυτὸν εἰς τὴν μέμψιν· εἰ δὲ καὶ οὗτοι ἀφήλικες εἰσί, πενταετία αὐτοῖς δίδοται μετὰ τὴν λύσιν τῶν γάμων. Αἱ γινόμεναι ἀμεριμνίαι παρὰ τῶν δανειστῶν περὶ χρεῶν καθολικαί, ἢ ἐκ μέρους ἀπὸ τοῦ κεφαλαίου, ἢ ἀπὸ τοῦ τόκου, ἢ ἄλλου οἱουδήποτε συναλλάγματος ἕνεκεν, ἐν ᾧ ἀρίθμησις χρημάτων, ἢ δόσεως ἐν τῶν εἰδῶν γέγραπται· ἔσω τριάκοντα ἡμερῶν μόνων μετὰ τὴν τῆς τοιαύτης ἀμεριμνίας ἔκθεσιν ἀριθμουμένων, τὴν παραγραφὴν τῆς ἀναργυρείας δύνανται ἀντιτεθεῖναι. μετὰ γὰρ τὴν παραδρομὴν αὐτῶν, παύεται τοιαύτη παραγραφή· καὶ οὐδὲ ὅρκος ἐν τούτοις μετὰ τὸν τοιοῦτον χρόνον ἐπιφέρεται. Οὐ δύναται ὁ δημοσιώνων, ἀναργυρείαν ἀντιτεθεῖναι, κατὰ τῆς γινομένης παρ' αὐτοῦ ἀποδείξεως, καὶ νῦν προφερομένης. Πᾶν διδόμενον, ἢ διὰ πρᾶγμα δίδοται ἢ δι' αἰτίαν· τὸ δὲ δι' αἰτίαν, ἢ σεμνήν, ἢ αἰσχράν. καὶ ἡ αἰσχρότης ἢ τοῦ διδόντος μόνου ἐστὶν ἢ τοῦ λαμβάνοντος, ἢ ἑκατέρων. εἰ μὲν οὖν ἐπὶ σεμνῷ πράγματι δοθῇ, τότε ἀναλαμβάνεται, ὅτε μὴ γένηται· δι' δέδωκέ τις τινὶ νομίσματα ἵνα ἐλευθερώσῃ δοῦλον ἴδιον, ἢ ἵνα παραιτήσηται κληρονομίαν, ἢ λεγάτα· καὶ ἐὰν μὲν μὴ πληρώσῃ ταῦτα, ἀπαιτεῖται ἃ ἔλαβεν. εἰ δὲ ἡ αἰσχρότης ἐστὶ τοῦ λαμβάνοντος· κἂν ἐποίησε τὸ πρᾶγμα ἐφ' ᾧ ἔλαβεν, ἀποδίδωσιν· ὡς ἔνθα τις λάβοι ἐπὶ τῷ μὴ φονεῦσαι, ἢ ἱεροσυλῆσαι, ἢ ἐπὶ τῷ δοῦναι παρακαταθήκην, ἢ δικαίωμα· τότε γὰρ εἰ καὶ τάχα ἐποίησε καθὰ συνεφώνησεν, ἀλλ' ἀπαιτεῖται ὃ ἔλαβεν, διὰ τὸ ἐπ' ἀδίκῳ καὶ αἰσχρῶς τοῦτο λαβεῖν. εἰ δὲ καλὴν δίκην ἔχων, παράσχω τῷ δι-

καστῇ

κασῇ ἰδίᾳ τῶν ὑπὲρ ἑαυτοῦ ψηφίσασθαι, οὐκ ἀναλαμβάνω· ἔγκλημα γὰρ πλημμελοῦς τὸν δικαστὴν ὑποφθείρων καὶ ἐκπίπτω τῆς δίκης.

## ΠΕΡΙ ἈΠΑΙΤΗΣΕΩΣ ΚΑΙ ἈΠΩΛΕΙΑΣ. Τίτλ. γ.

† ἀντὶ τοῦ ἀντιστρέφεται.

Τὰ ὑπὲρ εὐσεβείας διδόμενα, κἂν κατὰ πλάνην δοθῇ, † οὐ ῥεπιστεύεται. Ὁ δὲ εὐσέβειαν ἀποθρέψας τῆς οἰκείας ἀδελφόπαιδα, οὐκ ἔχει ἀπαίτησιν. ΝΟΜΟΣ. Ἡ ἀπαίτησις τῆς καταδίκης, καὶ διηνεκής ἐστι, καὶ πράγματα ἀπαίτησιν ἔχει, καὶ κληρονόμοις καὶ κατὰ κληρονόμων δίδοται. ΣΧΟΛ. Μεθ᾽ ὃ καταδικασθῇ τις, γίνεται ἔνοχος τῇ ἀγωγῇ τῇ ἀπαιτούσῃ τὰ ἀπὸ καταδίκης. καὶ ἡ τοιαύτη ἀπαίτησις, οὐκ ἔστι πρόσκαιρος ἀλλὰ διηνεκής, ἥτις ἄχρι τριακονταετίας ἁρμόζουσα· οὐ γὰρ ἀπαιτεῖ ποινήν, ἀλλὰ πρᾶγμα ἐκβληθὲν ἀπὸ τῆς περιουσίας τοῦ νικήσαντος καὶ ἐλαττῶσαν αὐτήν· αὐξῆσαν δὲ τὴν οὐσίαν τοῦ καταδικασθέντος, καὶ διὰ τοῦτο δίδοται καὶ κληρονόμοις τοῦ νικήσαντος, καὶ ἁρμόζει καὶ κατὰ κληρονόμων τοῦ καταδικασθέντος. Ὅτι ἡ μήτηρ, εἴ τι μὲν περὶ τροφὴν τῶν παίδων αὐτῆς ἀναλώσει, ἀπαιτεῖν οὐ συγχωρεῖται. εἴ τι δὲ εἰς τὰ πράγματα αὐτῶν χρησίμως ἀναλώσει, τοῦτο δὴ τῆς περὶ διοικήσεως ἀγωγῆς, ἀπαιτῆσαι δύναται.

## ΠΕΡΙ ΔΑΠΑΝΗΜΑΤΩΝ ΤΟΥ ἈΝΔΡΟΣ.

Καὶ ὁ ἀνὴρ ἅτινα μὲν εἰς τὴν γαμετὴν αὐτοῦ ἀναλώσει νοσοῦσαν, οὐκ ἀπὸ τοῦ πενθεροῦ ἀπαιτεῖ ταῦτα· ὅσα δὲ εἰς ταφὴν αὐτῆς ἀναλώσει, τὸν πατέρα πρὸς ὃν ἡ προῖξ ἐπανῆλθε νομίμως μετέρχεται. Οὐ λαμβάνει εἴ τι ἐδαπάνησεν ὁ ἀνὴρ εἰς τοὺς τεχθέντας ἐκ τῶν προικιμαίων δούλων, ἢ δέδωκεν εἰς μάθησιν αὐτῶν, ἢ εἰς τροφάς· τῇ γὰρ ὑπηρεσίᾳ αὐτῶν κέχρηται. τὸ δὲ δοθὲν τοῖς τροφοῖς αὐτῶν λαμβάνει, ὡς ἰδίᾳ σωτηρίᾳ δοθὲν ὃν τρόπον, εἰ παρὰ λῃστῶν τοὺς προικιμαίους ἀναρρύσηται δούλους. Ἡ τῆς κληρονομίας ἀπαίτησις, οὐκ ἐκβάλλεται

βάλλεται δὴ τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς. Ἐπὶ παρανόμων γάμων, τῆς οὐ πρακταΐζεται ἀπαίτησις, οὐδὲ ἐπὶ τῆς οὐκ ἐξ αἰσχρᾶς τοῦ δεδωκότος αἰτίας. Ὁ ἐνταλθεὶς οὐκ ἀπαιτεῖται τάζεται. ἅπερ ἐλῃστεύθη, ἢ ναυαγίῳ ἀπώλοντο, ἢ περὶ τὴν ἰδίαν, ἢ τὴν τῶν ἰδίων νόσον ἐδαπάνησε· ταῦτα γὰρ κατὰ τύχην, οὐ μὴν ἐκ τῆς ἐντολῆς συνέβη.

ΠΕΡῚ ἈΠΩΛΕΊΑΣ.

Ἐὰν παράσχω σοι διατετιμημένον πρᾶγμα ἐφ᾽ ᾧ, ἢ αὐτὸ ἀγαγεῖν μοι, ἢ τὸ τίμημα, καὶ ἀπόληται πρὶν ἢ πραθῇ, εἰ μὲν ἐγώ σε παρεκάλεσα λαβεῖν, ἐμός ἐστιν ὁ κίνδυνος· εἰ δὲ σὺ παρεκάλεσας, σός. εἰ δὲ μὴ δ᾽ οὔτερος, δόλον καὶ ἀμέλειαν χρεωστεῖς. Ἐὰν βουλομένου σου σκεῦος ἀγοράσαι, ὁ τεχνίτης ἀγαγὼν ἐάσῃ παρὰ σοί· καὶ ἀπαρεσθεὶς πέμψῃς διὰ δούλου σου, καὶ ἀπόληται ἄνευ ἀμελείας καὶ δόλου σου, ὁ τεχνίτης ζημιοῦται· καὶ αὐτοῦ γὰρ χάριν ἐπέμφθη. ἐνέχῃ δὲ καὶ ἀπὸ ἀμελείας τῶν λαβόντων αὐτὸ παρὰ σοῦ φυλάξαι, ἢ διακομίσαι· ἁρμόζει γοῦν ἡ τῶν προγεγραμμένων συμφώνων ἀγωγή.

Τὸν δακτύλιόν σου ἔλαβον, ἐπὶ τῷ ἰδεῖν, καὶ ἐξέπεσεν ἐπὶ τὸν ποταμόν, καὶ ἐνέχομαι τῇ ἀγωγῇ.

ΠΕΡῚ ΚΑΙΝΟΤΟΜΙΩ͂Ν. Τίτλ. δ΄.

Καινὸν πρᾶγμα ποιεῖ τις, ἢ διὰ τὸ οἰκοδομεῖν, ἢ διὰ τὸ καταλύειν τί ποτε καὶ τὴν προτέραν ὄψιν ἐναλλάσσειν. Εἴτε δικαίως εἴτε ἀδίκως κτίζει τις, κωλύειν αὐτὸν ἔξεστι· τὸ δὲ περὶ καινοτομίας παράγγελμα, ἐπὶ τοῖς μέλλουσιν ἔργοις ἁρμόζει. Καὶ χωρὶς ἀρχόντων παραγγέλλει τις, καὶ οἰκείῳ ὀνόματι καὶ δημοτείῳ, καὶ παντί, καὶ πᾶσι, καὶ ἀποῦσι, καὶ ἀγνοοῦσι, καὶ ἄκουσιν. Ὁ παραγγέλλων, γίνεται ἐνάγων, καὶ ἐὰν ὁ παραγγελθεὶς κτίσῃ χωρὶς προτροπῆς, διὰ νομίμου παραγγελίας καταλύει τὸ ἔργον. Ἔνθα γίνεται τὸ ἔργον, ὀφείλει τις παραγγέλλειν· εἴτε τις οἰκοδομεῖ, εἴτε

ἄρχεται· κἂν μὴ τῷ δεσπότῃ παραγγέλλῃ. παντὶ γὰρ ἐν τῷ ἔργῳ παρόντι, καλῶς παραγγέλλεται· εἴτε διὰ τὸ ἔργον πάρεστιν, εἴτε διὰ τὸν δεσπότην. καὶ οὐ διαφερόμεθα τίς καὶ ποίας αἱρέσεως ἐστὶν ὁ παραγγελθεὶς, εἰ δοῦλος, ἢ γυνὴ, ἢ παῖς, ἢ κόρη· πᾶσι γὰρ τοῖς παροῦσιν ὀρθῶς παραγγέλλεται, ἵνα μηνύσει δύνηται ἀπαγγελθῆναι τῷ δεσπότῃ, εἰ δὲ ἔξωθεν τοῦ ἔργου παραγγέλλῃ τις τῷ δεσπότῃ, οὐκ ἔρρωται. ἐν αὐτῷ γὰρ δεῖ τῷ ἔργῳ παραγγέλλειν, ἵνα εὐθέως ὁ παραγγελθεὶς ἀναχωρήσῃ. ἐπείτοι γε συμβαίνει ἐν ὅσῳ ἔρχεται πρὸς τὸ ἔργον, τὸ κατὰ ἄγνοιαν αὐτοῦ γινόμενον, παρὰ τὸ παράγγελμα γίνεσθαι.

Ἐάν τις μετὰ τὸ παραγγελθῆναι ἐποικοδομήσῃ, μὴ αἰτήσας συγχώρησιν ἢ μὴ δεδωκὼς ἱκανὰ, τὸ μετὰ τὴν παραγγελίαν γεγονὸς ἔργον καταλύει, κἂν ἔχει δίκαιον κτίζειν. Ὁ κτίζων εἰ ἐγκαλεῖται καινοτομεῖν, εἴσω τεσσάρων μηνῶν ὀφείλει λέγειν τὴν δίκην· μετὰ δὲ ταῦτα ἀσφαλίζεσθαι. ὅτι ἐὰν ὀφθῇ κακῶς οἰκοδομήσας, καταστρέφει αὐτὰ ἃ κτίζει, ἰδίοις ἀναλώμασιν. Ἐὰν ἡ τοῦ ἀπολιμπανομένου κατασκευασθεῖσα παρὰ διοικητοῦ οἰκία βλάπτῃ τὸν παρόντα γείτονα, ὀφείλει ὁ διοικητὴς διὰ πετραμήνου καταμηνύειν καὶ παριστᾷν τὸν πρωτότυπον. εἰ δὲ καταμηνυθεὶς οὐ παραστῇ, τότε αὐτὸς ὁ φροντιστὴς δικαιολογούμενος εἰ καταδικασθῇ, παύων καινοτομίαν εὐπορῶν ἀποδίδωσιν· μὴ εὐπορῶν δὲ, ἀπὸ τῆς περιουσίας τοῦ ἀπόντος ἀπαιτεῖται. Ἐὰν ὁ παραγγελθεὶς πωλήσῃ τὸν οἶκον, καὶ ὁ ἀγοράσας κτίσῃ αὐτὸς ἐνέχεται· οὐ γὰρ προσώπῳ, ἀλλὰ πράγματι γίνεται ἡ παραγγελία, διὸ παραγγελίας γινομένης, ὁ νεμόμενος ἐνέχεται. Τῷ δούλῳ κτίζοντι καλῶς παραγγέλλει τις περὶ καινοτομίας· δοῦλος δὲ ἑτέρῳ κτίζοντι, παραγγέλλειν οὐ δύναται. Ἐὰν τὸ πολλῶν κοινὸν εἴη τὸ πρᾶγμα περὶ ὃ γίνεται τὸ ἔργον, εἰ καὶ ἑνὶ μόνῳ παραγγελθῇ, ὀρθῶς γίνεται ἡ παραγγελία, καὶ δοκεῖ πρὸς πάντας γεγονέναι τοὺς

δεσπό-

διεστῶτας. εἰ δὲ εἷς ἐκ τῶν διεστώτων μετὰ τὴν παραγγελίαν ἐποικοδομεῖ, οὐκ ἀνάγονται περὶ τούτου τοῦ ἔργου οἱ ἄλλοι· οὐ δὲ δεῖ χρὴ τὰ παρ' ἑτέρου γινόμενα, καταβλάπτειν τοὺς μηδὲν πεποιηκότας.

## ΕΠΑΡΧΙΚΑ ΑΠΟ ΤΩΝ ΤΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ Ἰουλιανοῦ τοῦ ἀρχιτέκτονος, ἐκ τῶν νόμων ἤτοι ἐθῶν τῶν ἐν Παλαιστίνῃ. περὶ τῶν μέτρων

Ὁ ποὺς ἔχει παλαιστὰς δ΄. ὁ δὲ παλαιστὴς, δακτύλους δ΄. ὁ πῆχυς, παλαιστὰς η΄. Ὅτι ὁ δάκτυλος πρῶτός ἐστιν, ὥσπερ καὶ ἡ μονὰς ἐπὶ τῶν ἀριθμῶν. Ἡ παλαιστὴ, ἔχει δακτύλους δ΄. Ὁ πῆχυς ἔχει πόδας α∠΄, ἤγουν παλαιστὰς ϛ΄. Τὸ βῆμα, ἔχει πήχεις β΄, ἤγουν πόδας γ΄. παλαιστὰς ιβ΄. Ἡ ὀργυιὰ, ἔχει βήματα β΄. ἤγουν πήχεις δ΄. ἤτοι πόδας ϛ΄. ἤγουν σπιθαμὰς θ΄ δάκτ. δ΄. Ἡ ἄκαινα ἔχει ὀργυίας α∠΄, ἤτοι πήχεις ϛ΄. ἤγουν πόδας θ΄. παλαιστὰς λϛ΄. τὸ πλέθρον ἔχει ἀκαίνας ι΄. ἤγουν ὀργυίας ιε΄. ἤγουν βήματα λ΄. πήχεις ξ΄. πόδας ϟ΄. Τὸ στάδιον ἔχει πλέθρα ϛ΄. ἤγουν ἀκαίνας ξ΄. ἤγουν ὀργυίας ρ΄. βήματα σμ΄. πήχεις υ΄. πόδας χ΄. Τὸ μίλιον κατὰ μὲν Ἐρατοσθένην καὶ Στράβωνα τοὺς γεωγράφους, ἔχει σταδίους η΄. καὶ γ΄ ἤγουν ὀργυίας ωλϛ΄. κατὰ δὲ τὸ νῦν κρατοῦν ἔθος, στάδια μὲν ἔχει ζ∠΄. ἤγουν ὀργυίας ψμ΄. ἤγουν βήματα ͵αφ΄. πήχεις ϛ΄.

Δεῖ δὲ γινώσκειν ὡς τὸ νῦν μίλιον, ἤγουν τῶν ζ∠΄ σταδίων, ὀργυίας μὲν γεωμετρικὰς ὡς ἔφημεν, ἔχει ψμ΄· ἁπλᾶς δὲ, ωμ΄. αἱ γὰρ ρ΄ ὀργυίαι γεωμετρικαί, ριβ΄ ἀποτελοῦσιν ἁπλᾶς ὀργυίας.

## ΠΕΡΙ ΒΑΛΑΝΕΙΟΥ ΚΤΙΣΜΑΤΟΣ.

Χρὴ τὸν ἐπιχειροῦντα κτίζειν ἰδιωτικὸν βαλανεῖον, ἀφιστᾶν τοῦ γείτονος τὰς καμίνους· εἰ μὲν νοτιώτερον εἴη τὸ γινόμενον, βαλανεῖον, ἢ δυσικώτερον τοῦ γείτονος, ἔχοντος δευτέρας, ἢ τρίτην θέσιν, καὶ θυρίδας ἀποβλεπούσας εἰς τὸ αὐτὸ βαλανεῖον, πήχεις η΄· χειμερινῶν γὰρ ὄντων τῶν ἀνέμων, οὐ συνε-

χῶς μὲν αἱ τοῦ γείτονος ἀνοιγήσονται θυρίδες· διασκορπισθήσεται δὲ καὶ ἀναλωθήσεται ὑπὸ τοῦ ὑγροῦ ἀνέμου, ἡ τῶν πρὸς ἀκμήν. εἰ δὲ βορειότερον ἢ ἀνατολικώτερον εἴη τοῦ γείτονος τὸ πειβάτον, δευτέρας ἢ τρίτης θέσεως οὔσης τοῦ γειτνιῶντος, ἐκ θυρίδων ὑπανεῳγμένων ἐπὶ τὸ αὐτὸ πειβάτον, τηνικαῦτα ἀφιστᾷν τὸν κτίζοντα τὸ εἰρημένον πειβάτον, πήχεις οὐκ ἐλάττους τῶν λ΄. θερινῶν γὰρ ὄντων τῶν ἀνέμων καὶ τῶν θυρίδων συνεχῶς ἀνοιγομένων, βλάβη τις προσγενήσεται περὶ τὴν οἰκίαν ἔχοντι· φανερῶν δὲ ὄντων τῶν τοίχων τῶν ἀποβλεπόντων πρὸς αὐτὸ τὸ πειβάτον, τῶν εἰρημένων μέτρων τὸ τρίτον διδόσθω τῷ κτίζοντι. εἰ δὲ μονόστεγοι, τουτέστιν ἐπίπεδοι εἰσὶν οἱ οἶκοι θύρας ἢ θυρίδας ἔχοντες ἀποβλεπούσας ὡς εἴρηται, τὸ αὐτὸ τοῖς φανεροῖς διδόσθω· εἰ δὲ φανεροί εἰσιν οἱ τοῖχοι τῶν τοιούτων ἐπιπέδων, τῶν ἐπὶ τῶν ὑπερῴων μέτρων διδόσθω τὸ ἕκτον, καὶ ταῦτα μὲν ἐν πόλει· ἐν δὲ χωρίοις, τῶν εἰρημένων μέτρων τὸ ἥμισυ.

## ΠΕΡΙ ἈΡΤΟΚΟΠΕΙΟΥ.

Τὸν ἐκ νέου κατασκευάζοντα ἀρτοκοπεῖον, ἐν μὲν πόλει χρὴ ἀφιστᾷν τοῦ γείτονος, τὸν τοῦ φούρνου οἶκον εἰς ὑψηλὸν ὕπαιθρον τόπον, πήχεις ἕξ, εἰ τοῦ γείτονος εἴη τὰ οἰκήματα ἐπίπεδα μόνον· αὕτη δὲ δίδοται ἡ τοῦ ὑπαίθρου τόπου ἀπόστασις, διὰ τὰς γινομένας ἀπὸ τῶν τοιούτων ταῖς οἰκίαις καύσεις. εἰ δὲ δευτέραν, ἢ τρίτην, ἢ καὶ ἑτέρας θέσεις ἔχει ὁ γείτων, τηνικαῦτα τὸν ἀρτοκοπεῖον ποιοῦντα, ἀφιστᾷν τὸν τοῦ κλιβάνου οἶκον τοῦ γείτονος, τὸ μὲν αὐτὸ τοῦ ὑπαίθρου διάστημα τὸ εἰρημένον· ἕνεκα δὲ τοῦ μὴ καπνίζεσθαι, στοιχείτω σὺν τῷ διμοίρῳ μέρει τῶν ἐπὶ τοῖς πειβάτοις εἰρημένων. ἡ μὲν γὰρ τοῦ πειβάτου, συνεχὴς καὶ ἄπαυστος καῦσις· ἡ δὲ τοῦ κλιβάνου μετρική, ἥτις ἐστὶ περὶ πλείονι μέρει ἐν νυκτὶ γινομένη. καὶ ταῦτα μὲν ἐν πόλει, ἐν δὲ κώμαις, ἢ προαστείοις, τῶν εἰρημένων τὸ ἥμισυ.

ἐξα-

ΕΞΗΓΗΣΙΣ. ἤγουν εἰ μὲν νοτιώτερον εἴη τὸ κτιζόμενον ἀρτοκοπεῖον, ἢ δυσικώτερον τοῦ γείτονος ἔχοντος δευτέραν, ἢ τρίτην θέσιν καὶ θυρίδας ἀποβλεπούσας εἰς τὸ αὐτὸ ἀρτοκοπεῖον, πήχεις ἀφιστᾶν τοῦ γείτονος ιγ΄ * μόνας. εἰ δὲ βορειότερον ἢ ἀνατολικώτερον εἴη τοῦ γείτονος τὸ ἀρτοκοπεῖον, δευτέρας ἢ τρίτης θέσεως οὔσης τοῦ γειτνιῶντος, καὶ θυρίδων ὑπανεῳγμένων ἐπὶ τὸ αὐτὸ ἀρτοκοπεῖον, τηνικαῦτα ἀφιστᾶν τὸν κτίζοντα τὸ εἰρημένον ἀρτοκοπεῖον, πήχεις οὐκ ἐλάττους τῶν κ΄. φανῶν δὲ ὄντων τῶν τοίχων, καὶ ἀποβλεπόντων πρὸς αὐτὸ τὸ ἀρτοκοπεῖον, τῶν εἰρημένων μέτρων, τὸ τρίτον διδόσθω τῷ κτίζοντι· εἰ δὲ μονόστεγοι, τουτέστιν ἐπίπεδοι εἰσὶν οἱ οἶκοι, θύρας καὶ θυρίδας ἔχοντες ἀποβλεπούσας καθὼς εἴρηται, τὸ αὐτὸ τοῖς φρακτοῖς διδόσθω. εἰ δὲ φανοί εἰσιν οἱ τοῖχοι τῶν τοιούτων ἐπιπέδων, τῶν ἐπὶ τῶν ὑπερῴων μέτρων, διδόσθω τὸ ἥμισυ. καὶ ταῦτα μὲν ἐν Κωνσταντινουπόλει φησί· διὰ τὸ, τὸν μὲν νότον ἄνεμον χειμερινὸν εἶναι, ἐν δὲ τῷ χειμῶνι οὐ συνεχῶς αἱ τοῦ γείτονος θυρίδες ἀνοίγονται· τὸν δὲ βορρᾶν, θερινόν, ἐν δὲ τῷ θέρει, συνεχῶς αἱ τοῦ γείτονος θυρίδες ἀνοίγονται, καὶ βλάβη τις ἐντεῦθεν γενήσεται τῷ τὴν οἰκίαν ἔχοντι. ἐν δὲ τῇ Θεσσαλονίκῃ ἐπειδὴ τἀναντία συμβαίνει, τὸν μὲν νότον θερινὸν ἄνεμον εἶναι, τὸν δὲ βορρᾶν χειμερινόν, εἰ καὶ τἀναντία τούτοις ἐν ταύτῃ δοίημεν, ἤγουν τῷ μὲν νοτιωτέρῳ πλειοτέραν ἀπὸ τοῦ γείτονος τὴν ἀπόστασιν· τῷ δὲ βορειοτέρῳ ὀλιγωτέραν, τάχ' ἂν οὐκ ἀπεικότως ποιοῖμεν.

### ΠΕΡΙ ΦΟΥΡΝΟΥ ΚΕΡΑΜΕΙΚΟΥ.

Τὸν κατασκευάζοντα ἐν κώμῃ φοῦρνον κεραμεικόν, χρὴ ἀφιστᾶν ἑαυτὸν τοῦ γείτονος, εἴπερ θέσις εἴη δευτέρα ἢ γ΄ ἢ περαιτέρω, καὶ εἰ μὲν βορειότερος εἴη, ἢ ἀνατολικώτερος ὁ φοῦρνος, τοῦ οἰκήτορος θύρας ἢ θυρίδας αὐτοῦ ἐχούσης, ἀποβλεπούσας πρὸς αὐτὸν τὸν φοῦρνον, πήχεις εἴκοσιν· ἢ γὰρ τοῦ κεραμεικῆς

χρεία καὶ ἐργασία, ἐν τῷ καιρῷ τῶν εἰρημένων ἀνέμων προσβολῆς γίνεται. εἰ δὲ νοτιώτερος, ἢ δυσικώτερος εἴη ὁ φοῦρνος τοῦ τοῦ γείτονος οἰκήσεως, καὶ αὐτοῦ ἐχούσης θύρας ἢ θυρίδας, ἀφιστᾶν αὐτὸν πήχεις δεκαδύο, χειμερινῶν ὄντων τῶν ἀνέμων, καὶ τῆς ἐργασίας τηνικαῦτα μὴ οὔσης. εἰ δὲ φανοὶ, ἢ ἐπίπεδοι εἴησαν οἱ οἶκοι, τότε ἀφιστᾶν αὐτὸν τῶν εἰρημένων πήχεων, τὸ τρίτον. προτέρας δὲ κεραμεικῆς οὔσης καὶ ἑτέρου γείτονος ἄλλων βουλομένου πρὸς αὐτὴν κατασκευάσαι, τοῦ τοῦ γείτονος παλαιᾶς καλυβώσεως, χρὴ αὐτὸν οὕτω κατασκευάζοντα, εἰ μὲν ἀνατολικωτέρα ἢ βορειοτέρα εἴη ἡ καλύβωσις, ἀφιστᾶν τοῦ φούρνου πήχεις ιε. εἰ δὲ δυτικωτέρα ἢ νοτιωτέρα εἴη τῶν μελλόντων φούρνων γίνεσθαι ἡ καλύβωσις, πήχεις λ. τὰ αὐτὰ δὲ φυλαχθήτωσαν μέτρα τοῖς ἀνέμοις, καὶ ἐπὶ τῶν ἁλωνίων.

ΠΕΡῚ ΓΥΨΑΡΕΊΟΥ.

Εἴ τις γυψαρεῖον ἤτοι γυψοκοπεῖον βουληθῇ κατασκευάσαι ἐν κώμαις, ἢ ἐν πόλει, χρὴ αὐτὸν ἀφιστᾶν τοῦ γείτονος, τοῦ τῆς γύψου κάμινον· καὶ εἰ μὲν μονόστεγα εἴη τοῦ γείτονος, καὶ θυρίδας ἀποβλεπούσας ἔχει εἰς τὸν τῆς καμίνου τόπον, ψιλοῦ ὄντος καὶ ἀστέγου τοῦ τῆς καμίνου τόπου· εἰ μὲν ἀνατολικώτερος, ἢ βορειότερος εἴη οὗτος ὁ τόπος τῆς καμίνου, ἀφιστᾶν χρὴ πήχεις η· εἰ δὲ δυτικώτερος, ἢ νοτιώτερος, ἐπιπέδων ὄντων τῶν τοῦ γείτονος οἴκων, καὶ θύρας ἐχόντων, πήχεις δ: εἰ δὲ ὁ τῆς καμίνου τόπος ἐστεγασμένος εἴη, θυρίδων ὄντων τῷ γείτονι πρὸς αὐτῇ τῇ καμίνῳ, συνεῖναι μὴ ἐξεῖναι αὐτῷ ἐν ταύτῃ κατασκευάζειν· πνιγμὸς γὰρ γενήσεται ἀπὸ τῆς τοῦ καπνοῦ προσβολῆς, διὰ τῶν θυρίδων τῷ γείτονι. εἰ δὲ δευτέραν ἢ τρίτην, ἢ καὶ περαιτέρω θέσιν ἔχει, θυρίδων οὐσῶν βλεπουσῶν πρὸς αὐτὸ τὸ γυψαρεῖον, ἀφιστᾶν τὴν κάμινον ἀπὸ τοῦ τοίχου τοῦ γείτονος, πήχεις κδ. φανοῦ δ᾽ ὄντος τοῦ τοίχου, καὶ μήτε θυρίδων, μήτε θυρῶν οὐσῶν ἐν αὐτῷ, τότε ἐξεῖναι τῷ τὸ γυψαρεῖον

ρεῖτον

ῥεῖον ἔχοντι, πήχεις δύο μόνας· τοῦτο δὲ ποιεῖν διὰ τὴν τοῦ τοίχου ἀπὸ τοῦ πυρὸς γινομένην σάθρωσιν. κρούειν δὲ, ἢ κόπτειν τὸν γύψον, μὴ ἐξεῖναι πρὸς τῷ τοῦ γείτονος τοίχῳ, ἀλλ' ἀφίστασθαι ἐν ταῖς κοπαῖς τοῦ τοῦ γείτονος τοίχου, πήχεις ϛ'· οἶδε γὰρ καὶ ἡ τῶν καπνῶν προσβολὴ, τοὺς τοίχους διαλύειν.

ΠΕΡΙ ΦΟΥΡΝΟΥ ΤΗΣ ΑΣΒΕΣΤΟΥ.

τὸν ἐθέλοντα φοῦρνον τῆς ἀσβέστου κατασκευάζειν, χρὴ ἀφίστασθαι πάσης οἰκήσεως, δευτέρας ἢ τρίτης θέσεως, ἢ καὶ τῆς ἐφεξῆς περαιτέρω καὶ λοιπῶν, πήχεις ἑκατὸν ἀπὸ παντὸς κλίματος ἀνέμου· δριμυτέρα γὰρ καὶ λοιμώδης σφόδρα ἡ ἀπ' αὐτῆς ἀτμίς· ἄλλου δὲ ἀφίστασθαι ταύτην τὴν κάμινον, πήχεις ν'.

ΠΕΡΙ ΘΕΡΜΟΒΡΟΧΩΝ ΚΑΙ ΒΑΦΕΩΝ.

Ἡ τῶν θερμοβρόχων καὶ βαφέων ἐργασία, διὰ πυρὸς ὡς ἐπὶ τὸ πλεῖστον καὶ συνεχὴς οὖσα, τοὺς ἐπικειμένους οἴκους λυμαίνεται, οὐ χρὴ οὖν ἔπερ ἐπίπεδος ὁ ἑτέρου οἶκος ἐστὶν· ὁ ἑτέρου δὲ ἐπικείμενος, τὴν καῦσιν γίνεσθαι ὑπ' αὐτῶν. καθὼς γὰρ εἴρηται, πολλή τε καὶ συνεχὴς οὖσα ἡ καῦσις, οὐ μόνον λοιμὸν τοῖς ἐπικειμένοις τίκτει, ἀλλὰ καὶ κίνδυνον αὐταῖς ταῖς οἰκίαις ἀπὸ τοῦ πυρὸς προσίησι· χρὴ οὖν μὴ μόνον τούτους μὴ εἶναι ὑπὸ τοὺς δημοτείους οἴκους, ἀλλὰ καὶ τῶν παρ' ἑκάτερα ὑπερῴων οἴκων, ἀφίστασθαι πήχεις ϛ', καὶ δίμοιρον· διαχυθήσεται δὲ ὁ καπνὸς πρὸ τῶν ϛ' καὶ δίμοιρον πηχῶν.

ΠΕΡΙ ΥΕΛΟΥΡΓΩΝ ΚΑΙ ΣΙΔΗΡΟΥΡΓΩΝ.

Ὑελουργοὺς καὶ σιδηρουργοὺς, τοὺς ἐργαζομένους τὰς ἀξίνας καὶ τὰς ἅμμας, καὶ τὰ τοιοῦτα μεγάλα ὄργανα, καὶ ἀνδριαντοπλάστας, οὐ χρὴ ἐν αὐταῖς ταῖς πόλεσι τὰ τοιαῦτα ἐργάζεσθαι. εἰ δὲ ἀνάγκη τις γένηται τούτους κατοικεῖν τὰς πόλεις, καὶ τὰς τούτων ἐργασίας ἐν αὐταῖς γίνεσθαι, εἰς τοὺς ἀπῳκισμένους καὶ ἰδιάζοντας τῶν πόλεων τόπους, δεῖν ταύτας ἐργάζεσθαι. πολὺς γὰρ ὁ ἀπὸ τοῦ πυρὸς πέλων κίνδυνος τοῖς οἰκήμασι.

οἰκήμασι, καὶ τοῖς σώμασι συνεχὴς λοιμὸς γίνεται.

### ΠΕΡῚ ἈΜΜΥΔΑΡΙΏΝ ΚΑῚ ΚΑΠΗΛΕΊΩΝ.

Ἡ τῶν ἀμμυδαρείων καὶ ἡ τῶν καπήλων τέχνη, οὐ μόνον τὴν ἀπὸ τοῦ πυρὸς ἔχει λύμην, ἀλλὰ καὶ ἡ ἐξ αὐτοῦ τοῦ ἐλαίου ἀτμὶς, βλάβην ἐπάγει τοῖς σώμασιν· ὅθεν χρὴ μὴ ὑποκεῖσθαι τούτους ἀλλοτρίαις οἰκίαις. ἐν πόλει δὲ φημὶ, ἵνα μὴ ἡ ἀπὸ τούτων ἀτμὶς, ταῖς ἐπικειμέναις προσβάλλουσα οἰκίαις, τοῖς ἐνοικοῦσι τὰς εἰρημένας βλάβας παρέχῃ, καὶ τῶν παρ' ἑκάτερα δὲ παρακειμένων, χρὴ ἀφιστάναι τὰς τούτων θύρας, πήχεις τρεῖς καὶ τρίτον.

### ΠΕΡῚ ΣΧΟΙΝΟΠΛΟΚΩΝ ΚΑῚ ἘΡΙΟΠΛΥΤΩ͂Ν.

Αἱ τῶν σχοινοπλόκων καὶ ἐριοπλυτῶν τέχναι τοῖς πολλοῖς, οὐδὲ νομίζεται λυμαίνεσθαι. ἔστι δὲ ἀπὸ τούτων οὐκ ὀλίγη βλάβη καὶ κίνδυνος· θυμιῶσι γὰρ πολλάκις τὸ θεῖον, καὶ πρῶτον μὲν ἡ τούτων ὀσμὴ ἀηδὴς οὖσα, πολλὴν δυσωδίαν τοῖς ἐνοικοῦσι παρέχει. πολλάκις δὲ καὶ θυμιῶντες, ἐῶσιν ὑπὸ τοὺς σχοίνους, ἢ τὴν ἐρέαν, τὸ πῦρ καὶ τὸ θεῖον, καὶ ἀπὸ τούτων συνεχὴς καῦσις προσγίνεται τοῖς οἰκήμασι, τοῖς παρακειμένοις· μάθησις γὰρ τούτων, ἡ πεῖρα. πολλάκις γὰρ καῦσις ἐγένετο τοῖς τοιούτοις οἰκήμασιν· ὅθεν χρὴ μονάζειν τοὺς τοιούτους οἴκους, καὶ μὴ ἑτέροις ἐπισυνάπτεσθαι. εἰ δὲ ἀνάγκη τις γίνεται καὶ τούτους κατοικεῖσθαι καὶ ἐπισυνάπτεσθαι ἑτέραις οἰκίαις, χρὴ τὸν τούτων δεσπότην, ἐγγράφως ποιεῖν τοῖς παρακειμένοις, ὡς οὐ θυμιάσει ἐμπύρῳ κέχρηται, ἐν τοῖς ἔξωσιν οἴκοις σχοίνους.

### ΠΕΡῚ ΓΑΡΕΨΩ͂Ν.

Ἡ τέχνη τῶν γαρεψῶν καὶ ἡ τῶν τυροποιῶν, οὐ τὴν τυχοῦσαν ποιεῖ τοῖς παρακειμένοις βλάβην. πολλὴ γοῦν ἡ ἀπ' αὐτῆς ἀτμὶς δυσώδης τε ἀμέτρως ἐστὶ καὶ ἐπιβλαβὴς ἐπὶ πολὺ διάστημα· ὅθεν χρὴ τοὺς τοιούτους, παντάπασι μὲν πόλιν μὴ οἰκεῖν, μὴ δὲ κώμην. εἰ δὲ χρεία τούτων ἔχει πρὸς τὰς χρήσεις τῆς πόλεως,

πόλεων, καὶ τῶν κωμῶν ἀφεστάναι στάδια τούτους δεῖ τρία. εἰδέναι δὲ χρή, ὡς ταῦτα πάντα τὰ προειρημένα, ἐπὶ τῶν ἐκ νέου κατασκευαζόντων εἴρηται· εἰ δὲ χάρται εἰσὶ παλαιοὶ, ἢ καὶ δουλεία τις προλαβοῦσα, κεχρῆσθαι δεῖ τοῖς ἐξ ἀρχῆς περὶ αὐτῶν συμπεφωνημένοις.

ΠΕΡΙ` ΟἸΚΟΔΟΜΗ͂Σ ΟἼΚΩΝ. ΠΕΡΙ` ΘΥΡΙ΄ΔΩΝ ἐν ἐπιπέδῳ οἰκήματι, ὅτι δέκα πόδας ἀφίστασθαι χρὴ τοῦ γείτονος τὸν ταῦτα ποιοῦντα.

Τοὺς κατασκευάζοντας καὶ οἰκοδομοῦντας ἐκ νέου οἴκους, ἐν μὲν ἐπιπέδοις ἐν ταῖς πόλεσι, χρὴ ἀφίστασθαι τοῦ γείτονος ἢ τῶν γειτόνων, πόδας δέκα· καὶ ποιεῖν θυρίδας ὡς ἂν βουληθῶσιν ἐν αὐταῖς. θυρίδας δὲ εἰ μὲν οἶκος εἴη ἀποθήκης, ἐξεῖναι αὐτοῖς ἀνοίγειν, ὡς ἂν βουληθεῖεν· ἅπαξ γὰρ καὶ οὐ συνεχῶς ἐκλήσονται, ὡς ἀποθήκης οὔσης τοῦ εἰρημένου οἴκου. ΠΕΡΙ` ΣΤΑΎΛΟΥ. Εἰ δὲ στάβλον εἴη τὸ γινόμενον οἴκημα, ἐν παραλλαγῇ ἀνοίγειν τὴν θύραν τῆς τοῦ γείτονος θύρας, καὶ μὴ καταντικρὺ καὶ ἐπ' εὐθείας αὐτῆς.

ΠΕΡΙ` ΚΑΠΗΛΕΊΟΥ.

Εἰ δὲ καπηλεῖον, ἢ ἕτερόν τι τοιοῦτον εἴη ἐργαστήριον, ὁμοίως ἐν παραλλαγῇ ποιεῖσθαι τὴν τῆς θύρας κατασκευήν· μὴ ἐξεῖναι δὲ τὸν τὸν οἶκον ποιοῦντα ἐκ νέου, καλύβην ποιεῖν, ἢ στιβάδας ἢ ψιάθια πρὸς τὸ τοῖς πίνειν ἐθέλουσι διδόναι, ἐν τῇ ῥύμῃ, ἢ τῇ ἀγορᾷ· ἀλλὰ μόνον ἔσω ἐν τῷ οἴκῳ τὴν τοῦ καπηλείου χρῆσιν ποιεῖν, μήτε μὴν ζῶον ἱστᾶν, μήτε φάτνην κατασκευάζειν πρὸς τῷ γινομένῳ ἐκ νέου οἴκῳ, ἀλλὰ τὴν παρὰ τῶν ζώων ἑπομένην ἀεὶ λύμην τοῖς περιοῦσιν. εἰ δὲ ὁ πρότερος τὴν οἰκίαν ἔχων τὰ προειρημένα αἴτια τοῦ στάβλου καὶ τοῦ καπηλείου καὶ τῶν τοιούτων ἐξ ἀρχῆς ἔχει, μὴ κωλύεσθαι αὐτὸν ἀπὸ τοῦ ἐκ νέας κατασκευάζοντος τοιαῦτα ποιεῖν· ἤδη καταδουλωθέντος τοῦ τόπου ἢ τῶν τόπων. εἰ δὲ παλαιαὶ μέν εἰσι τῶν ἀμφοτέρων αἱ οἰκίαι,

ὁ ἕτερος δὲ αὐτὴν πρὸ τοῦ γείτονος τὴν χρῆσιν εἶχε, τοῦτ' ἐστι σταύλου καὶ τῆς ἔξω φάτνης, καὶ τῆς τῶν ζώων ἔξω στάσεως, καὶ τῆς ἔξω τοῦ καπηλείου χρήσεως, τουτέστι καλύβης, τῆς δὲ ἐναντίας παρόντος καὶ μὴ παραγγελίᾳ χρησαμένου, ἐπὶ δεκαετίᾳ, ἢ καὶ κατὰ ἀπουσίαν αὐτοῦ ἐπὶ εἰκοσαετίᾳ, τηνικαῦτα μὴ ἐξεῖναι τῷ θέλοντι ἐκ νέου ταῦτα ποιεῖν. ἤδη γὰρ κατεδουλώθη τῷ ἐξ ἀρχῆς ἔχοντι τὴν νομὴν, ἐν τῷ τοιούτῳ διαστήματι, καὶ οὐ χρὴ δύο φάτνας ἢ στάσεις ζώων, ἢ καπηλεῖα γίνεσθαι.

## ΠΕΡΙ ΈΤΑΙΡΕΊΟΥ.

Ἑταιρεῖον δὲ μὴ ἐξεῖναι ὁ ἑτέρῳ αὐτὴν κατασκευάζειν, ἀλλὰ τὴν τῆς ἑτέρας οἰκίας ὕβριν, καὶ ταῦτα μὲν ἐν πόλεσιν· ἐν δὲ ταῖς κώμαις περί τε τῶν καπηλείων καὶ τῶν τοιούτων, χρῶνται ἰδίοις ἀναλόγοις. δεῖ γὰρ εἰ μὲν βοῶν στάσεις εἴησαν, τηνικαῦτα ἀφίστασθαι τῶν προειρημένων μέτρων, τὸ ἥμισυ· εἰ δὲ καπηλεῖα, τὸ διπλάσιον· οὐ μόνον ἀλλὰ τὰς πρὸς ἀλλήλους βλάβας, ἀλλὰ καὶ διὰ τὸν τῶν παριόντων ἀπὸ τῶν ζώων κίνδυνον.

εἰδέναι μέντοι χρὴ, ὡς οὐδὲ ἐν στοαῖς δημοσίαις ἢ ἐν πλατείαις ἀγοραῖς, φάτνην δεῖ κατασκευάζειν τῶν ζώων· διὰ τὸν τῶν παριόντων κίνδυνον, ἢ ἐν ἐπὶ κοινοῖς τῶν πόλεων παρόδοις.

## ΠΕΡΙ ὙΨΩΜΑΤΩΝ ΟἸΚΩΝ. ΧΡΗΣΙΜΟΝ

εἰ δὲ δευτέρας οὔσης στέγης ἐξ ἀρχαίου τοῦ ἑνὶ, καὶ ὁ ἕτερος δευτέραν ἐπιθεῖναι βουληθείη στέγην τοῖς ἐξ αὐτοῦ μὴ ἐξ ἀρχῆς ἔχων, ἐξεῖναι αὐτῷ τὸ δεκάποδον ἐῶντι τοῦτο ποιεῖν. εἴγε ἀνάλογοι ἀλλήλαις εἰσὶν αἱ οἰκίαι, καὶ μὴ ὑπέρογκοι ἐξ ἀρχῆς ἦσαν· οὐ γὰρ δίκαιον ἐντελοῦς γινομένης οἰκίας, ἀξιόλογον βλάπτεσθαι οἰκίαν, ἀπὸ τῆς τοιαύτης κατασκευῆς, ἀλλὰ τηνικαῦτα ἀφίστασθαι αὐτὸν, τοῦ δεκαπόδου τὸ διπλάσιον· καὶ οὕτω τὸν οἶκον κατασκευάζειν καὶ θυρίδας ποιεῖν, εἴτε θυρίδας ἔχει εἴτε μὴ, ὁ ἐξ ἀρχῆς οἶκος, καταντικρὺ οὔσας τοῦ γινομένου οἴκου. καὶ ταῦτα μὲν ἐν δευτέρᾳ καὶ τρίτῃ στέγῃ, καὶ ταῖς ἐφε-

ἑξῆς ἐν πόλεσιν· ἐν δὲ κώμαις, στοιχήσουσι τῷ δεκαπόδῳ μέτρῳ, ἐπὶ πάσαις ταῖς θέσεσιν.

ΠΕΡΙ ἀνοιγομένης θύρας ἢ θυρίδος, ἀλλοτρίου οἴκου ἐπικειμένου.

Θύρας δὲ οὔσης ἐν οἴκῳ, ἢ θυρίδος μικρᾶς, καὶ ἐπικειμένου τοίχου ταύτῃ, εἰ βουληθείη ὁ τὴν μικρὰν ἔχων θυρίδα ἢ θύραν, ταύτας ὑπανοῖξαι ἢ μηκῦναι, μὴ ἐξεῖναι αὐτῷ τοῦτο ποιεῖν· ἀλλὰ τὰ ἐπικείμενα τοῦ γείτονος βαρῆ. εἰ δὲ μικρᾶς οὔσης τῆς ἐπικειμένης, ἢ φανεροῦ ὄντος τοῦ τοίχου τοῦ ὑποκειμένου, ἐπίκειται θύρα ἢ θυρὶς· χρὴ τηνικαῦτα τὸν ὑποκείμενον, βουληθέντα ὑπανοῖξαι θύραν ἢ θυρίδα ὑπανοίγειν μὲν, πλὴν μὴ ποιεῖν τοσοῦτον πλάτος ἔχουσαν, ὅσον ἐστὶν ἡ ἐπικειμένη· ἀλλ᾽ ἐᾶν παρ᾽ ἑκάτερα τῆς ὑπανοιγομένης ἀντικρὺ τῆς ἐπικειμένης θύρας ἢ θυρίδος, ἀνὰ δακτύλους ς΄. τοῦτο δὲ ποιεῖ ἐγγράφως ἀσφαλιζόμενον πρὸς τὸν ἐπικείμενον, ὡς εἰ πάθοι τι ὁ τοῖχος ἐν τῷ ὑπανοίγεσθαι μηνῶν ἐντὸς δύο, ὑποκείσεται αὐτὸς τῇ βλάβῃ, ἱμαντωμάτων μέχρι τοσούτων ἤτοι ὑπερθύρων παρεχομένων, παρὰ τοῦ ὑπανοίγοντος.

ΠΕΡΙ ἘΝΑΛΛΑΓΗ͂Σ ΠΙΣΣΟΥ͂ ΚΑῚ ΚΙΌΝΟΣ.

εἰ δὲ πισσὸς εἴη τῷ ὑποκειμένῳ, φέρων τὰ βάρη τοῦ ἐπικειμένου, βουληθῇ δὲ ὁ ὑποκείμενος καὶ τὸν πισσὸν ἔχων, ἀντὶ τούτου κίονα στῆσαι, δεδόσθω αὐτῷ τοῦτο ποιεῖν· παρέξοντι ἀντ᾽ αὐτοῦ τὸν κίονα, οὗ ἡ διάμετρος ἔσω ἕξουσα, ἥμισυ μέρος τοῦ πλάτους τοῦ καταλυομένου πισσοῦ. οἷον, εἰ ὁ πισσὸς ἔχει πόδας δύο, ἐχέτω ἡ διάμετρος τοῦ ἀντ᾽ αὐτοῦ ἀνισταμένου κίονος πῆχυν ἕνα. εἰ δὲ ὁ ἐπικείμενος πισσὸν ἔχει, βουληθῇ δὲ ἀντὶ πισσοῦ ἐπιθεῖναι κίονα, ἐξεῖναι αὐτῷ τοῦτο ποιεῖν, ὑποτιθέντι τῷ κίονι ἱμάντωμα, οὐκ ἔλαττον τὸ πάχος δακτύλων η΄. τοῦτο γὰρ ἀσφαλές ἐστιν ἔργον.

ΠΕΡΙ ΘΥΡΑΣ ἈΝΟΙΓΟΜΕΝΗΣ ἐν ἐπικοίνῳ αὐλῇ.

θύρας δὲ οὔσης ἐν οἴκῳ βαλλούσης εἰς μίαν αὐλὴν, εἰ βουληθῇ ὁ τοῦ τοιούτου οἴκου δεσπότης, διὰ ταύτης τῆς αὐλῆς πρὸς ἄλλην ἐπίκοινον αὐλὴν ἐν ᾗ θύραν ἔχει, ποιῆσαι καὶ ἑτέραν θύραν, ἔξεστιν αὐτῷ τοῦτο ποιεῖν· πρότερον φράττοντι τὴν ἐξ ἀρχῆς. ὁμοίως καὶ ἀποθήκης οὔσης ἐν ἐπικοίνῳ αὐλῇ, καὶ μίαν ἐχούσης θύραν, εἴτε ἐν τῇ ἀγορᾷ, εἴτε ἐντὸς τῆς αὐλῆς, εἰ βουληθῇ ἑτέραν ὑπανοῖξαι θύραν, ἔξεστιν τοῦτο ποιεῖν· φράττοντι πρότερον τὴν ἐξ ἀρχῆς. οὐ γὰρ δίκαιον ἢ ἀφ' ἑτέρας αὐλῆς τῇ ἑτέρᾳ ἐπιβουλὴν διὰ τοῦ αὐτοῦ γίνεσθαι οἰκίας ἢ ἀπὸ τῆς ἀποθήκης, ἢ τοῦ ἐργαστηρίου, τῇ ἐπικοίνῳ αὐλῇ ἐπιβουλὴν γίνεσθαι, διὰ τῆς ἐπανοιγομένης θύρας.

ΠΕΡΙ ἘΞΩΣΤΟΥ.

εἰ δὲ ἐν πόλει τις ἔχει ἐκ παλαιῶν χρόνων, πρὸς ἀγορᾶς πλατεῖαν, ἢ ἀγορᾶς ἐκτὸς ἐκπεπετασμένον ἐξώστην, βουληθῇ δὲ καὶ ὁ γείτων ἐξώστην νέον ἐκπετάσαι· εἴγε θυρίδας ἐκεῖνος ἔχει περὶ τῷ γενομένῳ ἐξώστῃ παρακυπτικὰς, τηνικαῦτα ἔξεστιν αὐτῷ τὸν ἐξώστην ποιεῖν, ἀφισταμένου τοῦ ἑτέρου τὸ τῆς δεκαπόδου τὸ μέτρον.

ΠΕΡΙ ΘΥΡΙΔΩΝ ἀνοιγομένων ἐν τυφλῷ τοίχῳ.

Εἰ δὲ τυφλὸς εἴη τοῖχος καταντικρὺ ἑτέρου τοίχου, θυρίδας ἔχοντος παρακυπτικὰς, βουληθείη δὲ καὶ ὁ τὸν τυφλὸν ἔχων, θυρίδας ἀνοῖξαι φωταγωγούς, ἔξεστιν αὐτῷ τοῦτο ποιεῖν· τουτέστι μετὰ πήχεις τρεῖς καὶ ἡμίσειαν τοῦ πατήματος τοῦ ἑαυτοῦ οἴκου. εἰ δὲ παρακυπτικὰς βουληθείη ὑπανοῖξαι, ἀφισταμένου τοῦ δι' ἐναντίας πόδας ι' τοῦτο ποιείτω· οὕτω γὰρ ἔσται ἡ ἀπόστασις ἱκανὴ, πρὸς τὸ μὴ ἀλλήλοις διὰ λόγου ἐπιβουλεύειν, καὶ παρενοχλεῖν ἀλλήλους τοὺς ἐνοικοῦντας.

Ὅτι τῶν θυρίδων παρακυπτικῶν, ι' πόδας ἀφίστασθαι χρὴ, ἐν ὑπερῴοις οἰκήμασιν.

Ἰστέον ὅτι ἐν μὲν ἐπιπέδοις, δέκα πόδας ἀφίστασθαι τὸν γείτονα χρὴ, καὶ οὕτω θυρίδας ποιεῖν, ὡς ἐν τοῖς ἔμπροσθεν εἴρηται· ἐν δ' ὑπερῴοις, ι' πόδας, εἴγε βούλοιτο παρακυπτικὰς ταύτας ποιεῖν, ὡς ἐνταῦθα κεῖται.

περὶ

## Περὶ οἰκημάτων πλησίον δημοτείου τοίχου ἐκ νέου γινομένων ἐν τόπῳ ψιλῷ.

Εἰ δὲ αὐλὴ ἐξ ἀρχῆς εἴη, παράκειται δὲ καὶ συνῆπται ἑτέρου τινὸς ψιλὸς τόπος, βουληθῇ δὲ οὗτος ἐπισυνάψαι τῷ ἐξ ἀρχῆς τοίχῳ, οἶκον ἐπίπεδον ἢ καὶ ὑπερῷον, εἴγε τυφλὸς εἴη ὁ ἐξ ἀρχῆς τοῖχος, ἔξεστι τῷ τὸν ψιλὸν ἔχοντι τόπον, ἐφ᾽ ὅσον ἂν βούληται ὕψος ἀναγαγεῖν τὰ ἑαυτοῦ οἰκήματα, παρέχοντι εἴπερ ἐπιθείη τὸ ἥμισυ τοῦ τοίχου μέρος· εἰ δὲ μὴ στέγην ἢ στέγας ἔχων ἦ ἐν αὐτῷ, ἀλλ᾽ ἐπερείσει μόνον, ὁ δὲ ἐξ ἀρχαίου κτίσας ἔχει τὰς στέγας, τηνικαῦτα τὸν τὸν ψιλὸν τόπον κεκτημένον, παρέχειν τὸ τοῦ τοίχου τρίτον μέρος, ὡς ἂν τότε διατιμηθῇ ὑπὸ τῶν εἰδημόνων τὸ τούτου ἀνάλωμα.

ΠΕΡΙ ΤΟΞΙΚΩΝ. Εἰ δὲ τοξικὰς ὁ ἐξ ἀρχῆς ἔχει τοῖχος, τῶν οἴκων μηδαμῶς ἑτέρα ἐχόντων φῶτα, καὶ τῶν τοξικῶν ἐχουσῶν δεκαετῆ χρόνον, τηνικαῦτα τὸν ἐθέλοντα ἐκ νέου οἰκοδομῆσαι, ἀφίστασθαι τοῦ εἰρημένου, πήχεις τρεῖς καὶ τρίτον.

ΠΕΡΙ ΦΩΤΩΝ. Εἰ δὲ φῶτα ἔχουσι τὰ οἰκήματα, καὶ ἄνευ τῶν τοξικῶν ἐξ ἑτέρου μέρους, τηνικαῦτα τὰς τοξικὰς νομὴν μὴ ἔχειν, ἀλλ᾽ ἐνσυνάπτεσθαι τῷ οἴκῳ, τὴν τοῦ τὸν ψιλὸν τόπον οἰκίαν ἔχοντος.

ΠΕΡΙ ΚΡΟΥΝΩΝ.

Εἰ δὲ κρουνοὶ ἐξ ἀρχῆς ῥέουσιν εἰς τὸν εἰρημένον ψιλὸν τόπον, μήτε θυρίδας μήτε τοξικὰς ἔχοντος τοῦ τοίχου, βουληθῇ δὲ ὁ τοῦ ψιλοῦ κύριος τόπου οἰκοδομῆσαι, ἐξεῖναι αὐτῷ τοῦτο ποιεῖν, ὑποδεχομένῳ τὰ ὕδατα κατὰ τῶν ἑαυτοῦ δικαίων, μηκυνομένων τῶν κρουνῶν διὰ τὴν τοῦ τοίχου βλάβην· εἰ δὲ θυρίδες ἦσαν ἀποβλέπουσαι ἐξ ἀρχαίων εἰς τὸν εἰρημένον ψιλὸν τόπον, τηνικαῦτα κεχρῆσθαι αὐτοὺς τοῖς προειρημένοις ἐπὶ τῶν θυρίδων νόμοις.

ΠΕΡΙ ΑΝΟΔΟΥ.

Εἰ δὲ ὁ τοῦ ψιλοῦ τόπου δεσπότης ἐπιφθάσει τὰ τοῦ γείτονος δώματα ἐν τῇ οἰκοδομίᾳ, καὶ ἐγγίσει αὐτοῖς, εἰ μὲν ὁ ἐξ ἀρ-

χῆς ἔχων τὰ οἰκήματα, καθημερινὴν ἔχει ἐπὶ τὰ δώματα ἄνοδον τηνικαῦτα μὴ ἐξεῖναι τῷ ἐκ νέου οἰκοδομοῦντι, καθημερινὴν ποιεῖν ἄνοδον εἰς τὰ ἑαυτοῦ, διὰ τὴν εἰς ἀλλήλους ἐπιβουλήν. εἰ δὲ βουληθείη καὶ αὐτὸς ὁ ἐκ νέου κατασκευάζων, ἄνοδον ἐν τοῖς ἑαυτοῦ ποιεῖν δώμασιν, ὑπεραίρειν τοῦ γείτονος πήχεις δύο καὶ ἡμίσειαν· ἱκανὸν γὰρ τὸ ὕψος πρὸς κώλυσιν τῆς εἰς ἀλλήλους ἐπιβουλῆς.

ἜΤΙ ΠΕΡῚ ἈΝΟΔΟΥ.

εἰ δὲ ὁ ἐξ ἀρχῆς ἔχων τὴν οἰκίαν, μὴ ἔχει καθημερινὴν εἰς τὰ δώματα ἄνοδον, ἐπισυνάψει δὲ ὁ τοῦ ψιλοῦ τόπου κύριος ἐν τῷ οἰκοδομεῖν τοῖς τοῦ ἐξ ἀρχῆς ἔχοντος δώμασιν, ἐξεῖναι αὐτῷ καθημερινὴν ποιοῦντι ἑαυτῷ ἄνοδον, θωράκιον ἤτοι τειχίον ἐν τοῖς ἑαυτοῦ κατασκευάζειν· τὸ ὕψος πηχέων τριῶν, μεταξὺ τῶν μερῶν, διὰ τὴν τῶν τοῦ ἑτέρου δωμάτων ἀοχλησίαν. τηνικαῦτα δὲ ἐξεῖναι καὶ τῷ ἑτέρῳ εἰ βουληθῇ καθημερινὴν εἰς τὰ ἑαυτοῦ δώματα ποιεῖν ἄνοδον παρέχοντι τῆς δαπάνης τοῦ θωρακίου, τὸ ἥμισυ μέρος.

ΠΕΡῚ ΔΩΜΑΤΟΥΡΓΊΑΣ.

Ὁμοίως δὲ καὶ ἐν τῇ δωματουργίᾳ καθὼς κέκριται· εἰ μὲν εἰς ἅπλωσιν μόνον ἱματίων καὶ ψύξιν ἄρτων, συνδιδότωσαν τῷ τοῦ δώματος δεσπότῃ, τὸ τρίτον μέρος τοῦ ἀναλώματος. εἰ δὲ ἐν καλύβαις ἢ καὶ ἐκτὸς καλύβων ἐν θέρει ἐν αὐτῷ καθεύδουσιν, τὸ ἥμισυ παρεχέτωσαν μέρος τῆς δωματουργίας. εἰ δὲ δωματικοί εἰσι στέγαι τινὸς ὑποκειμένου, ἄλλος δὲ τὴν τούτων χρῆσιν ἔχει· θυρίδων ἀνεῳγμένων ἐπ᾿ αὐτῷ τῷ δώματι χρὴ τὸν τὴν χρῆσιν τοῦ δώματος ἔχοντα, τοῦ ἀναλώματος δύο παρέχειν μοίρας· τοῦ δ᾿ ὑποκείμενον ἔχοντος οἶκον, τὴν λοιπὴν τρίτην παρέχοντος μοῖραν ἐν ταῖς δωματουργίαις, ὁμοίως δὲ καὶ ἐν τῇ τῆς σανίδος ἀλλαγῇ τοῦ ὑποκειμένου καὶ τὴν στέγην ἔχοντος, τὴν δόκωσιν καὶ τὰ λοιπὰ παρέχοντος· μὴ ἐξεῖναι δὲ τῷ ἐπικειμένῳ καὶ μάλιστα ἐν χειμῶνι, βαρὴ ἐπιτιθέναι τινὰ πρὸς λύμην τῆς δοκώσεως. εἰ δὲ ψήφωσις ἐν τῷ δωματικῷ

τινὶ τόπῳ γενήσεσθαι μέλλει, τηνικαῦτα τὸν ἐπικείμενον ἢ ψηφίζεσθαι ἐθέλοντα, ἢ καὶ μὴ ψηφίζεσθαι ἀσφαλίζεσθαι τὰς δοκούς, ἢ μετεωρίοις ἢ καὶ διατόνοις τισί, καὶ οὕτως ἰδίοις ἀναλώμασι τοῦτο ποιεῖν.

ΠΕΡΙ ἀνοικοδομῆς ἐπικοίνου αὐλῆς, τοίχων καὶ ὅπως ἀναλίσκειν ἐν αὐτοῖς δεῖ τῶν ἐπικειμένων.

Εἰ ἐπίκοινος εἴη αὐλὴ διαφόρων ἀνδρῶν, καὶ δεηθῇ τοῖχος λύσεως καὶ οἰκοδομήσεως θέσεων διαφόρων δύο ἢ καὶ τριῶν καὶ τεσσάρων, πάντες οἱ ἐπικείμενοι τῶν θεμελίων, ὅτε τῆς πρώτης καὶ τῶν ἐφεξῆς, ἐπικοινωνείτωσαν περὶ τοῦ θεμελίου ἀναλώματι, ἀναλόγως τοῖς ὕψεσι τῶν θέσεων, ἐπισυνεπομένων γὰρ πάντων, εὑρεθήσονται οἱ τοῖχοι, πήχεις κ΄ καὶ οὕτως ἀναλόγως παρέξουσιν. οἷον εἰ γὰρ τῆς πρώτης θέσεως ὕψος εἴη, πήχεων δ΄ τῆς δὲ δευτέρας, πήχεων ς΄ τῆς δὲ τρίτης πήχεων ι΄ διδόναι χρὴ ἐν τῷ τῶν θεμελίων ἀναλώματι· τὸν μὲν τῆς πρώτης, τὸ πέμπτον μέρος ἐχούσης ὕψος πήχεις δ΄· τὸν δὲ τῆς δευτέρας, ἐχούσης ὕψος πήχεις ς΄, μέρος τρίτον καὶ δέκατον· τὸν δὲ τῆς τρίτης θέσεως ἐχούσης ὕψος πήχεις ι΄, μέρος τὸ ἥμισυ. εἰ δὲ ἀντὶ χώματος ὄντος ἐν βάθει ὑπὸ γῆν, εἴη ὁ τῆς πρώτης θέσεως τοῖχος, οἷα πολλάκις γίνεται ὑπεξαιρούμενος εἰς λόγον τῶν θεμελίων, πήχεως ἑνὸς ἡμίσεως, αὐτός τε καὶ τοῖς ἐπικειμένοις καθὼς προείρηται τὸ λοιπὸν τὸν τῆς ἐπιπέδου θέσεως ποιεῖν, ἕκαστος δὲ ἄχρι τῶν δοκῶν τῶν ἐπικειμένων, περὶ αὐτοῦ ποιείτω οἴκῳ καὶ οἰκοδομείτω, τοῦ ἐπικειμένου τὴν ἐπίσφιγξιν ποιοῦντος. εἰ δὲ ὁ τῆς πρώτης δεηθείη τοῖχος λύσεως· αἱ δὲ ἐπικείμεναι ἄλλαι θέσεις μὴ δεηθῶσι, τηνικαῦτα χρὴ ἕκαστον τῶν ἐπικειμένων τὸν αὐτοῦ κρεμᾶν τοῖχον, τοῦ τῆς πρώτης θέσεως λύοντος καὶ οἰκοδομοῦντος πάλιν, ἄχρι τῆς δοκώσεως· ἀλλὰ τῆς πρώτης θέσεως ἐπιγινώσκοντος τοῦ ἐπικειμένου τὸν τόπον τῶν ζωστήρων, καὶ τῆς τῶν δοκῶν περισφίγξεως.

περὶ

ΠΕΡῚ ἈΝΟΙΚΟΔΟΜῆΣ ΤΟΊΧΟΥ ΠΥΛΏΝΟΣ.

εἰ δὲ ὁ πᾶς τοῖχος πασῶν τῶν θέσεων δεηθείη λύσεως, δεῖ τὴν ἑαυτοῦ ἕκαστον στέγην ἀνακρεμᾶν. εἰ δὲ πυλῶνος εἴη τοῖχος, ἢ ἐπικειμένου παροδικοῦ, τηνικαῦτα χρὴ τὸν συνημμένον τῷ πυλῶνι οἶκον, παρέχειν μέρος ἥμισυ· παρέχειν δὲ καὶ τὸν τῷ πυλῶνι κεχρημένον κατὰ ἀναλογίαν τῶν τε ἐνοικίων, καὶ τῆς τῶν οἴκων ὀχλήσεως.

ΠΕΡῚ ΟἸΚΟΔΟΜῆΣ ΚΑῚ ἘΠΟΙΚΟΔΟΜῆΣ ἐν ψιλῷ τόπῳ, καὶ περὶ τῶν ἐν αὐταῖς στεγῶν, ὅπως χρὴ γίνεσθαι ἢ διορθοῦσθαι.

εἰ ψιλοῦ ὄντος τοῦ ἐπικειμένου τόπου, βουληθεῖεν οἱ τούτου δεσπόται οἰκοδομῆσαί τε καὶ ἐποικοδομῆσαι· δι' εἰ τῆς κάτω θέσεως δεσπόζει τις, τῆς δὲ δευτέρας θέσεως ἕτερος, τῆς δὲ τρίτης θέσεως καὶ τῶν ἐφεξῆς ἄλλος εἴτε ἀπὸ πράσεως, εἴτε οὕτως αὐτῶν ἀγορασάντων, χρὴ μὲν ἐν τῇ οἰκίᾳ, ἐξακολουθεῖν τοῖς ἔθεσι τῆς οἰκίας. περὶ δὲ τῶν στεγῶν, εἰ μὲν καθὼς εἴρηται νεουργεῖς εἴησαν αἱ στέγαι, καὶ νῦν ἐξ ἀρχῆς γενόμεναι, ἕκαστον τὴν ἑαυτοῦ ποιεῖν στέγην, ἄχρι τῆς χαρακώσεως. εἰ δὲ συνισταμένων τῶν στεγῶν, ἡ τῆς πρώτης θέσεως δεηθείη διορθώσεως, ἐν μὲν τῇ καισαρείᾳ, ἔθος τι διέσφαλμεν, ὥστε ποιεῖν ἕκαστον τὴν ἑαυτοῦ στέγην καθὼς προείρηται. ἐν δὲ ἀσκάλωνι, ἐξ ἡμισείας μοίρας τόν τε ἐπικείμενον καὶ τὸν ὑποκείμενον ποιεῖν. ἡμεῖς δὲ τὸ μέσον συνιδόντες καὶ τὸ ἀκόλουθον, τὸν μὲν ὑποκείμενον, δύο μοίρας φαμὲν, ἐν τῇ στέγῃ δεῖ παρέχειν, τὸν δὲ ἐπικείμενον, μίαν, ὥστε τὸ δίμοιρον καὶ τρίτον. εἰ δὲ ἡ ἀνωτάτω δεηθείη στέγη ἡ περὶ τοῖς δώμασι, δεῖ τὸν ὑπερκείμενον ποιεῖν πᾶσαν τὴν στέγην, συνδιδόντων αὐτῷ πάντων ὁμοῦ τῶν τοῖς δώμασι κεχρημένων, ἐν τῇ συνίδι καὶ τῇ ταύτης καθηλώσει κατὰ ἀναλογίαν τοῦ ἑαυτοῦ οἰκήματος. εἰ δὲ ἐν ταῖς στέγαις οἶνον ἢ ὄσπρεια, ἢ τι τοιοῦτον ἐν ὡρείοις ἀποτεθέασι, τῆς δοκώσεως διδόναι τὸν ὑπερκειμένον, τὸ

δίμοιρον

δίμοιρον μέρος, τοῦ ὑποκειμένου παρέχοντος τὸ λοιπὸν τρίτον· κεχρῆσθαι δὲ ἕκαστον, ἔν τε δημοσίαις στοαῖς καὶ ἰδιωτικαῖς, καὶ παραδρομήσει τῷ προβεβλημένῳ αὐτοῦ οἴκῳ, ἄχρι τοῦ ἡμίσεως τῶν διοριζόντων τόπων, τὰ ἑαυτοῦ καὶ τοῦ γείτονος.

ΠΕΡΙ ΔΙΟΡΘΩΣΕΩΣ ΔΗΜΟΣΙΩΝ ΣΤΟῶν, αἷς ἰδιωτικοὶ οἶκοι ἐπίκεινται καὶ ὑπόκεινται.

εἰ δὲ στοαῖς ὑπόκεινται καὶ ἐπίκεινται ἰδιωτικοὶ οἶκοι ἐπίπεδοί τε καὶ ὑπερῷοι, εἰ δεηθείη δημοσία στοὰ ἐπιποιήσεως, καὶ διορθώσεως, ἐπεὶ γ᾽ ὥσπερ χρὴ ἐν μὲν τῇ προβολῇ, καὶ τῇ τῶν κιόνων στάσει, καὶ τῇ τοῦ ἐπιστύλου κατασκευῇ, τὰ μὲν ἐργαστήρια μέρος ἥμισυ, διὰ τὴν χρῆσιν ἣν ἔχουσιν ἐν αὐτῇ. τὸ πολὺ γὰρ τῆς χρήσεως, τὸ ἐργαστήριον ἔχει ἐν τῇ στοᾷ· τοὺς δὲ τῇ στοᾷ ἐπικειμένους, μέρος ἥμισυ, διὰ τὰ ἐπικείμενα τῇ στοᾷ βάρη· ἀζήμιος δὲ ἔστω ὁ τοῖς ἐπιπέδοις ἐπικείμενος, καὶ ἀφορῶν εἰς τὴν εἰρημένην στοάν, ὡς μηδεμιᾶς ὀχλήσεως παρ᾽ αὐτοῦ ἢ ὠφελείας αὐτῷ γινομένης, ἀλλὰ μᾶλλον καὶ σκοτιζομένου αὐτοῦ ὑπὸ τῆς στοᾶς. εἰ δὲ τὰ τῆς εἰρημένης στοᾶς στέγη διορθώσεως δεηθείη, τηνικαῦτα χρὴ τὸ μὲν ἐργαστήριον ἐπιγινώσκειν τὸ ἥμισυ τοῦ ἀναλώματος μέρος· τὸν δὲ τούτῳ ὑποκείμενον, καὶ εἰς στοὰν ἀφορῶντα, μέρος ἕκτον· τὸν δὲ ἐπικείμενον ἢ τοὺς ἐπικειμένους τῇ στοᾷ, τὸ λοιπὸν τρίτον μέρος, ἥμισυ γὰρ μέρος. ὁ τὸ ἐργαστήριον ἔχων διὰ τοῦτο ἐπιγινώσκει, διὰ τὴν τῆς στοᾶς χρῆσιν· ὁ δὲ τούτῳ ὑποκείμενος, ἕκτον μέρος δίδωσι διὰ τὸ ἄβροχον· ὁ δὲ τῇ στοᾷ ἐπικείμενος ἢ ἐπικείμενοι, τὸ τρίτον μέρος παρέχουσι διὰ τὴν τῆς στοᾶς ὄχλησιν. εἰδέναι μέντοι χρή, ὡς εἰ πάθοι κίων δημοσίας στοᾶς, ἢ κεφαλή, ἢ βάσις, ἢ οἰκοδομὴ ἕως πισσοῦ, ὁ δημόσιος ὀφείλει ταῦτα ποιεῖν.

ΠΕΡΙ ΜΕΣΑΥΛΟΥ.

εἰ μέσαυλον εἴη αὐλῆς τετραπλεύρου, τῆς μιᾶς τῶν τεσσάρων περιλαμβανούσης τὸ μέσαυλον, τῆς δὲ ἑτέρας πλευρᾶς ἑτέρας ὅ-

σης αὐλῆς, καὶ τοῦ τὴν μίαν πλευρὰν ἐχούσης αὐλῆς, μὴ χρῆσιν κεκτημένης ἐν τῷ μεσαύλῳ· δεηθείη δὲ τὸ μέσαυλον καθάρσεως ἢ ἑτέρου τινὸς, ἀζήμιος ἔστω ἡ μὴ κεχρημένη. εἰ δὲ δεηθείη ὁ πᾶς τῆς μὴ κεχρημένης αὐλῆς τοῖχος λύσεως καὶ οἰκοδομῆς, πολλῶν ὄντων τῶν θέσεων, οὐ χρὴ διδόναι τὸν τὴν χρῆσιν τοῦ μεσαύλου ἔχοντα, τῷ παντὶ τῶν θέσεων ἀναλώματι, ἀλλὰ μόνῳ τῷ θεμελίῳ· καὶ ἄχρι πηχῶν δ´ τὸ ἥμισυ μέρος, τοῦ περικλειομένου ἕνεκεν καὶ περιοριζομένου, ὁμοίως καὶ ὑπὲρ τῆς ἐπαύλεως. εἰ γὰρ ἔπαυλις εἴη γυμνὴ, οἰκήματα δὲ συνημμένα ταύτῃ διορίζοιεν· τήν τε ἔπαυλιν καὶ τὴν τοῦ ἑτέρου αὐλὴν, τηνικαῦτα χρὴ πάντα τὸν τοῖχον τὸν ἑαυτοῦ κατασκευάζειν, τὸν τῆς αὐλῆς δεσπότην· συνδιδόντος καὶ τοῦ τῆς ἐπαύλεως δεσπότου εἰς τὴν κτίσιν τὴν ὑπὲρ τοῦ θεμελίου, ἄχρι πηχῶν δ´, τὸ ἥμισυ· θριγγοῦ γὰρ ἤτοι φραγμοῦ λόγον ἔχει ὁ τοιοῦτος. Σημείωσαι ὅπερ χρὴ συνδιδόναι τοὺς πλησιαστὰς τοῖχον ἑτέρας αὐλῆς ἀνεγειρομένου τοῦ διορίζοντος τὰ δίκαια αὐτῶν δηλονότι.

## ΠΕΡΙ ἈΝΑΝΕΩ͂ΣΕΩΣ οἴκου παλαιοῦ.

Προστάττομεν, ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν, παρὰ τὸ ἀρχαῖον σχῆμα μὴ παρεξίτω, μήτε ἀφαιρείτω τὰ φῶτα ἢ τὴν ἄποψιν τῶν γειτόνων· εἰ μὴ ἄρα δουλείαν ἔχει τοιαύτην κατὰ σύμφωνον, ἢ ἐπερώτησιν παραχωρηθεῖσαν αὐτῷ, ἢ ἐπιτρέπουσαν ὡς βούλεται τὸ παλαιὸν ἐναμείβειν σχῆμα· ὁ γὰρ τοιαύτην ἔχων δουλείαν, ἀκωλύτως ἃ βούλεται οἰκοδομείτω. εἰ καὶ βλάπτει τοὺς γείτονας. ἐπειδὴ τοῦτο κατὰ σύμφωνον ἢ ἐπερώτησιν αὐτῷ ἐπιτέτραπται· ἡνίκα δὲ οἶκος δύο ἀντικρὺ ἀλλήλων εἰσὶ, χρὴ μεταξὺ αὐτῶν δώδεκα πόδας εἶναι, ἀρχομένους ἀπὸ τοῦ ἐπικειμένου τοῖς θεμελίοις οἰκοδομήματος, καὶ μέχρι παντὸς τοῦ ὕψους φυλαττομένους. τούτου γὰρ τοῦ διαστήματος φυλαττομένου, ἔξεστιν ἑκάστῳ εἰς ἄπειρον ὕψος τὸν ἴδιον ἐγείρειν οἶκον, καὶ θυρίδας ἐν αὐτῷ παρακυπτικὰς κατασκευάζειν· εἴτε νέον οἰκοδομεῖν

εἴτε

ἔπι παλαιὸν οἶκον ἀνασκευάζειν· ἔπι τὸν ἐκ πυρὸς διαφθαρέντα τέλει.

## ΠΕΡΙ΄ ΑΠΟ΄ΨΕΩΣ.

Ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει, ἄχρι τοῦ κίονος, δώδεκα μόνους ἀπ᾽ αὐτῶν πόδας, μὴ ἀφαιρείσθω ἐξ εὐθείας ὁρᾶν τὴν θάλασσαν, ἔσω ἐν τοῖς ἰδίοις οἴκοις, ἢ καθήμενος ἐν αὐτοῖς, καὶ μὴ ἀναγκαζόμενος παρατρέπειν ἑαυτὸν εἰς πλάγιον, ἐφ᾽ ὃ ἰδεῖν θάλασσαν. Ἐὰν δὲ ἑκατὸν ποδῶν ἐν μέσῳ τῶν δύο οἴκων ἔχει διάστημα, ἐξέστω ἀκωλύτως κτίζειν τῷ βουλομένῳ, καὶ τὴν εὐθὺ θάλασσαν ἄποψιν ἀφαιρεῖν τοῦ κίονος. εἰ δέ τις ἀπὸ μαγειρείου, ἢ ἀπὸ ἀφεδρῶνος, ἢ κλιμακῶνος, ἢ ἀπὸ βαστερνίων ἤγουν τῶν λεγομένων παρόδων, ἤτοι διαβατῶν, ἄποψιν ἔχει εὐθὺ θάλασσαν, τὴν τοιαύτην ἄποψιν, ὁ ὁ ἑκατὸν ποδῶν ἐντὸς οἰκοδομῶν, ἀκωλύτως ἀφαιρεῖται· εἰ μόνον δέκα πόδες εἰσὶ μεταξὺ τῶν οἴκων. εἰ δὲ καὶ σύμφωνον ἔστιν εὐθυτέρων τινὶ τὴν οἰκοδομὴν, κρατείτω τὸ σύμφωνον εἰ καὶ βλάπτει τὸν κίονα περὶ θαλάσσης ἄποψιν. ἔπι αὐτὸς ὁ νῦν δεσπόζων τοῦ οἴκου συνεφώνησεν, ἔπι οἱ προκτησάμενοι αὐτοῦ τὸν οἶκον, οὐ δὲ γὰρ προσήκει τὰς ὑπαρχούσας τινὶ δουλείας, διὰ τῶν ξενικῶν νομῶν ἀναιρεῖσθαι. Ἡ εὐθὺ θάλασσαν ἐντὸς ἑκατὸν ποδῶν οὖσα ἄποψις, οὐ μόνον κατ᾽ εὐθεῖαν, ἀλλὰ καὶ ἐκ πλαγίου ὀφείλει εἶναι ἀκαινοτόμητος· τοῦτο γὰρ προστίθησιν ὁ παρὼν τύπος φυλάττων τὴν Ζήνωνος διάταξιν καὶ τὴν νεαρὰν ἑρμηνεύων.

## ΠΕΡΙ΄ ΑΠΟ΄ΨΕΩΣ ΘΑΛΑ΄ΣΣΗΣ.

Ἡ ὁρατικὴ δύναμις, πασῶν τῶν αἰσθήσεων ὀξυτάτη οὖσα, ἀπὸ πλείστου διαστήματος τὴν ἐνέργειαν ἔχει, ὅθεν οὐ χρὴ ἁπλῶς οὐδὲ ὡς ἔτυχε περὶ ταύτης ἀποφαίνεσθαι· ἀλλ᾽ ἐνθέντας μέτρα τούτοις στοιχεῖν. φασὶ μὲν γὰρ, νόμιμοι τρεῖς εἶναι ἀπόψεως, θαλάσσης, κήπων, γραφῆς δημοσίας· πάντας δὲ ἀορίστως τιθέντες τοῖς κτίζουσι † ζητοῦσιν· ὁρᾶται μὲν ἡ θάλασσα, ἀπὸ μιλίων πολλάκις τεσσαράκοντα, καὶ πρὸς τούτῳ. ὁρᾶται δὲ

κῆπος, καὶ φυτὰ καὶ ἄλση, ἀπὸ μιλίων εἴκοσιν· ὁρᾶται δὲ καὶ δημοσία γραφὴ, ἀπὸ πήχεων οὐχ ἧττον διακοσίων, καὶ εἰ ταύταις ἐστοιχοῦμεν ταῖς ἀπόψεσιν, οὐκ ἂν οἰκία ἢ κώμη ἢ πόλις ἐκτίζετο. εἰσὶ δὲ καὶ ἄλλαι ἀπόψεις, οὐ κατ' εὐθεῖαν ὁρῶσαι, ἀλλὰ πλάγιαι καὶ βεβιασμέναι, καὶ ταύτας ἀπόψεις οὐ φημί. χρὴ οὖν τὸν θαλάσσης ἀπόψει ἐν τῷ οἰκοδομεῖν ἐμποδισθέντα, κατ' εὐθεῖαν οὔσῃ καὶ μὴ πλαγίαν ἐχούσῃ τὴν θέσιν, ἀφεστάναι τοῦ τὴν ἄποψιν κατ' εὐθεῖαν ἔχοντος, ἢ μὴ πλαγίαν καὶ βεβιασμένην. εἰ μὲν ὁρᾷ λιμένα καὶ αἰγιαλὸν, κἂν ἁπλῶς τῇ κώμῃ, ἢ πόλει, ἢ στάσεις πλοίων πλεῖον μὴ ἐχούσῃ λιμένα, τὸ παράπαν μὴ κωλύειν, μήτε ἀφαιρεῖν τὴν τοιαύτην ἄποψιν· ἱκανὴ γὰρ ἡ ἀπὸ τούτων ψυχαγωγία τοῖς ὁρῶσιν. εἰ δὲ ἀπωτέρω καὶ πελάγη ὁρᾷ, ταύτην οὐδεμίαν λογιζόμεθα ἄποψιν· καθὼς γὰρ εἴρηται καὶ ἀπὸ πεντήκοντα μιλίων, τὸ τῆς θαλάττης ὁρᾶται μέγεθος, καὶ οὐ δίκαιον ἀπὸ τοσούτου ἐμποδίζεσθαι τοὺς οἰκοδομεῖν ἐθέλοντας διαστήματος.

ΠΕΡΙ' ἈΠΟΨΕΩΣ ΚΗΠΩΝ ΚΑΙ' ΦΥΤΩ͂Ν.

Καὶ τὸ τῶν κήπων καὶ τῶν φυτῶν χωρίον, ἀπὸ τοῦ ῥηθέντος ὁρᾶται διαστήματος, καὶ οὐ πάντως ἀπὸ τοσούτου χρὴ τοὺς οἰκοδομεῖν ἐθέλοντας ἐμποδίζεσθαι· ἀλλὰ δεῖ τὸν ἀπὸ ταύτης τῆς ἀπόψεως κωλύοντα, κωλύειν οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχεν, ἀλλ' ἀπὸ ποδῶν πεντήκοντα.

ΠΕΡΙ' ἈΠΟΨΕΩΣ ΔΗΜΟΣΙ'ΑΣ γραφῆς.

Ἐπὶ τοσοῦτον ἀφεστάναι χρὴ τὸν κτίζειν βουλόμενον, καὶ δημοσίας γραφῆς ἄποψιν ἀπὸ τοῦ κτίζοντος λαβεῖν, ἐφ' ὅσον τι τῶν ἐγγεγραμμένων τῇ ἱστορίᾳ γνώριμον ὁρᾶται· δῆλον εἴ τις αὐτὴν θεωρῶν τὴν γραφὴν, ἐπιγινώσκει καὶ ὁρᾷ τοὺς ἐγγεγραμμένους ἀπὸ τῆς αὐτοῦ οἰκίας, Ἀχιλλέα ἢ Αἴαντα, ἢ τοιοῦτόν τινα, τότε γὰρ χρὴ αὐτὸν κωλύειν τὸν ἀφαιρεῖν βουλόμενον, ταύτην τῆς γραφὴν τῆς ἀπόψεως. εἰ δὲ μήτε γνώριμόν τι τῶν ἐγγεγραμμένων εἴη, μήτε μὴν αὐτῆς ὁρᾷ τῆς ἱστορίαν, ἢ τίς καὶ ποίαν ἔχει

ἀπὸ

ἀπὸ ταύτης τέρψιν, ὁ τὸν οἰκοδομοῦντα κωλύων.

### ΠΕΡΙ ΚΑΤΟΠΤΕΙΑΣ.

Τινὲς τῶν φιλοπραγμόνων καὶ φθονερῶν, κωλύειν ἐπιχειροῦσι τοὺς οἴκους κατασκευάζοντας ἢ μέλλοντας κατοπτείαν ἀπὸ τούτου ποιεῖσθαι τοῖς γείτοσιν· ὅτι δὲ τοῖς νόμοις εἴρηται, ὅτι μὴν ἀπὸ τῶν παλαιῶν οἰκημάτων ὁρῶμεν, ὡς οἱ παλαιοὶ ταύτην ἀδικίαν ἐλογίζοντο. βλέπομεν γὰρ πάσας σχεδὸν εἰπεῖν τὰς οἰκίας, ἀλλήλας κατοπτευούσας, καὶ οὐδεὶς φθόνος τοὺς παλαιοὺς κατεῖχεν· ὅθεν καὶ ἡμεῖς τὴν τῆς κατοπτείας οὐ λογιζόμεθα βλάβην· ἕκαστος οὖν τῶν νομιζόντων ταύτην εἶναι βλάβην, συγχωρείτω μὲν τοῖς κτίζουσι, αὐτὸς δὲ τὰ ἑαυτοῦ ἀσφαλιζέτω οἰκήματα, καὶ ἀθεώρητα φυλαττέτω. ἔτι διὰ τῶν ἀνοικτῶν καλουμένων καγγέλων, ἔτι διὰ τῶν συρτῶν, ἢ ὡς ἂν αὐτὸς βουληθείη· οὐ γὰρ δίκαιον δι᾽ ἑτέρου βλάβην, τὰ ἑαυτοῦ τινὰ ἀσφαλίζεσθαι.

### ΠΕΡΙ ΑΠΟΨΕΩΣ ΟΡΩΝ.

Τὴν δὲ τῶν ὀρῶν ἄποψιν, οὐ δύναταί τις κωλύειν, ὡς εἶπεν ὁ Παπιανὸς ἐν τῷ τετάρτῳ βιβλίῳ τῶν κοιαιστιώνων ἐν τῇ τελευταίᾳ τοῦ τίτλου κοιαιστιῶνι. ἡ δὲ διάταξις Ζήνωνος ἔχει, ὅτι καὶ ἑκατὸν πόδας ἀπέχει ὁ γείτων, οὐ κωλύεται βουλόμενος οἰκοδομεῖν, διὰ τὸ ἀφαιρεῖσθαι τὴν ἄποψιν τὴν δὲ θάλασσαν· τοῦτο δὲ καὶ ἐπὶ ὄρους ἕλκειν δυνάμεθα. ἐπειδὴ τερπνή τις ἡ θέα τοῦ ὄρους, ὥσπερ τῆς θαλάσσης, καὶ ἀπὸ τῶν ὁμοίων τὰ ὅμοια τέμνειν δεῖ· καὶ ταῦτα μὲν πάντα ὑπομνήσεως ἕνεκα συνῆκται. εἰ δέ τι παρεμπέσοι παρὰ τὰ εἰρημένα, ἀπὸ τῶν ὁμοίων τὰ ὅμοια σκοπεῖν. βλάβας μέντοι ὡμολογημένας καὶ μὴ κατὰ φθόνον μεμηχανημένας, δεῖ ἀναιρεῖν, σκοποῦντας εἰ δι᾽ αὐτὸ βλάπτεται τί τὸ δι᾽ ἐναντίας μέρος, καὶ οὕτω κριθήσεται ταῦτα παρὰ τοῖς ἀνθρώποις.

### ΠΕΡΙ ΗΛΙΑΚΟΥ ΗΤΟΙ ΕΞΩΣΤΟΥ.

Ἡλιακὸν τὸν παρά τισιν ἐξώστην καλούμενον, ὅς τις ἂν βουληθῇ ποιῆσαι, εἰ μὲν ἔχει πλησίον ἰδιωτικὰ κλίσματα, ἀναγκάζεται ποιεῖν τὸν ἡλιακὸν, δέκα πόδας τῶν ἰδιωτικῶν κλισμάτων ἀπέχοντα· εἰ δὲ δημόσια τούτῳ πλησιάζουσι κλίσματα, ιε΄ πόδας ἀπεχέτω τῶν κλισμάτων ὁ γινόμενος παρὰ τούτων ἡλιακός.

## ΠΕΡΙ ΦΡΑΓΜΩΝ ἈΜΠΕΛΩΝΩΝ ΠΕΡΙΒΟΛΙΩΝ, καὶ ὀπῶν αἰέτων.

Οἱ τῶν ἀμπελώνων καὶ τῶν περιβολίων φραγμοὶ, καὶ τὰ ἀλλότρια ἐδάφη, ἐν οἷς οὐκ εἰσὶν οἰκίαι καὶ τὰ τῶν γειτόνων ἐξάδρα ἓξ μόνον πόδας ἀφ' ἑαυτῶν τὸν πλησίον κτίζειν βουλομένους ἀποδιώκουσιν. Ὅτε μέσου ὄντος στενωποῦ ἢ πλατείας οἰκοδομεῖ τις τὸν ἑαυτοῦ οἶκον, εἰ καὶ πλέον ἔχει τῶν δώδεκα ποδῶν τὸ τοῦ στενωποῦ ἢ τῆς πλατείας μέτρον, μὴ ἀφαιρείσθω τὸ περιττὸν, καὶ τῷ ἰδίῳ οἴκῳ προστιθέσθω· οὐ δὲ γὰρ ἐπὶ βλάβῃ τοῦ δημοσίου, τοὺς δώδεκα πόδας ὥρισεν ἡ διάταξις, ἀλλ' ὥστε μὴ στενότερον τῶν δώδεκα ποδῶν εἶναι τὸν μεταξὺ τῶν οἴκων ἀέρα. Ὅτε δὲ πλέον τὸ τῆς ῥύμης εὑρεθῇ ἢ τῆς πλατείας μέτρον, μηδὲν ἐξ αὐτοῦ ἀφαιρεῖσθαι, ἀλλὰ τῇ πόλει σώζεσθαι τὰ οἰκεῖα. Ἐὰν δὲ παλαιῶν ὄντων τῶν οἴκων, εὑρεθῇ μεταξὺ αὐτῶν καθαρὸς ἀὴρ, στενώτερος ὢν τῶν δέκα ποδῶν, μηδενὶ αὐτῶν ἐξέστω παρὰ τὸ παλαιὸν σχῆμα, ὑψοῦν τὸν ἴδιον οἶκον, ἢ θυρίδας ποιεῖν. Εἰ μέν τοι δέκα ποδῶν εἴησαν ἐν μέσῳ ἢ μὴ ἐλάττονες, τότε παρακυπτικὰς μὲν μὴ ἐξέστω τῷ κτίζοντι ποιεῖν· εἰ μὴ πρότερον εἶχεν αὐτὰς, φωταγωγοὺς δὲ ἐξέστω αὐτῷ ποιεῖν, ἀπὸ ἓξ ποδῶν τοῦ πάτου ἀνοιγομένας· μηδενὸς δυναμένου ποιεῖν τὸ ὑδροπάτιον ἐν τῷ οἴκῳ τῷ ἰδίῳ, καὶ διὰ τοῦτο τὴν φωταγωγὸν θυρίδα παρασκευάζειν παρακυπτικά. Περὶ φωταγωγῶν θυρίδων γινομένων ἐν διαστήματι δέκα ποδῶν.

## ΠΕΡΙ ΣΩΛΑΡΙΩΝ ἘΝ τῇ ὁδῷ γινομένων.

εἰ δέ-

εἰ δέκα ποδῶν ὁ στενωπὸς εἴη μόνον, μηδεὶς ποιείτω σωλάρια· τὰ δὲ γινόμενα, δεκαπέντε πόδας ἀπεχέτω τοῦ ἐδάφους, καὶ μὴ ἐχέτω συγκίονας κάτωθεν λιθίνους, ἢ ξυλίνους, ἢ τοίχους, ὥστε ἢ τὸν ἀέρα ἀποφράττεσθαι, ἢ τὴν δημοσίαν ὁδὸν ἀδικεῖσθαι. μήτε κλίμακες γινέσθωσαν εἰς τὸν στενωπὸν, ἀνοίγουσαι ἐπὶ τὰ σωλάρια· ἐντεῦθεν γὰρ ἧττον ἐπικείσεται τοῦ πυρὸς ἡ συμφορά. οὐδεὶς κωλύεται βουλόμενος ὑψῶσαι, εἰ μὴ ἄρα ἐβάρησεν ἑαυτὸν δουλείᾳ τοῦ μὴ ὑψοῦν. Δουλείαν ἐπιτιθέναι τοῖς ἐπικοίνοις οἰκήμασιν, ὁ εἷς τῶν κοινωνῶν παρὰ γνώμην τοῦ ἑτέρου, οὐ δύναται· κατὰ δένδρων μέντοι καὶ κήπων, δουλεία ἀπλῶς οὐ φυλάττεται. Ἀπὸ γυμνοῦ τόπου, οὐκ ἔστι κώλυσις ὑψοῦν. Ἐὰν πεσόντα οἶκον ἀνανεῶν βούληται ὑψῶσαι, καὶ ἐμποδίσῃ τις τοῖς τοῦ γείτονος φωσὶν, ἢ ἕτερόν τι ποιήσῃ ἐπὶ βλάβῃ τοῦ γείτονος, ἀναγκάζεται καὶ τὸν τύπον καὶ τὴν κατάστασιν τῶν προτέρων οἰκημάτων, καὶ τὸ παλαιὸν σχῆμα φυλάττειν. οὗ τινος τὰ οἰκήματα δικαίῳ δουλείας ὑπέρκειται, ἐν τῇ ἐξουσίᾳ τούτου ἐστὶν, ἐπ' ἄπειρον ταῦτα ὑψοῦν. ἐν ᾧ μέντοι τὰ ὑποκείμενα τοῦ γείτονος μὴ βαρύνειν δουλείᾳ βαρυτέρᾳ, παρ' ἣν φέρειν ὀφείλουσιν.

### ΠΕΡΙ ἈΝΟΊΞΕΩΣ ΠΥΛΩ͂ΝΟΣ.

οὐ καλῶς τις κωλύει τὸν γείτονα αὐτοῦ ἀνοίγοντα πυλῶνα, κατὰ τῆς δημοσίας ὁδοῦ, τοῦ ἀπὸ τῶν κεράμων αὐτοῦ σταλαγμοῦ, ἐν ᾧ μὴ βλάπτει τὴν πάροδον. τὰ ἰδιωτικὰ κτίσματα, δεκαπέντε πόδας ἀπεχέτωσαν τῶν δημοσίων· ὥστε μήτε τὸ δημόσιον κινδυνεύειν, μήτε αὐτὰ ἔτι δεδιέναι τοὺς λοιπούς.

Ὁ κτίσας ἐν δημοσίῳ τόπῳ καὶ βλάπτων τὴν πόλιν, καταβαλέτω αὐτὸ μὴ ἔχων χρόνου παραγραφήν· μὴ δὲ εἰ βασιλεὺς ἐπέτρεψεν αὐτῷ κτίσαι. Ὁ μὴ ἔχων δίκαιον φωταγωγῶν θυρίδων, οὐ δύναται τυφλὸν τοῖχον ἀνοίγειν καὶ ποιεῖν θυρίδας.

περὶ

ΠΕΡῚ ΤΟΥ̑ ἘΝ ἀλλοτρίοις κτίζοντος ἢ ἐπικτίζοντος.

Ἐάν τις ἐπικτίσῃ τοῖς ἐμοῖς οἰκήμασιν ἀνώγεα, ἐγὼ τούτων γίνομαι κύριος, διὰ τὸν κανόνα τὸν λέγοντα, εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις. εἰ δὲ καὶ ἐν τῷ ἐμῷ ἐδάφει κτίσει τις, δεσπότης γίνομαι τοῦ οἰκήματος, ἐφ' ὅσον ἐν τῇ αὐτῇ καταστάσει μένει τὸ οἴκημα. ἐὰν γὰρ καταλυθῇ, δύναται ὁ οἰκοδομήσας ἐκδικῆσαι τὰς ὕλας· ἔτι καλῇ πίστει ἔτι κακῇ ᾠκοδόμησεν. Ὁ ἔχων τὰ ἀνώγεα, τοῖς ἰδίοις ἐπικτίζει ὅσον θέλει· μὴ βαρῶν μέντοι τὰ ἀνώγεα ὑπὲρ δύναμιν.

ΠΕΡῚ ΚΟΝΙΑΜΆΤΩΝ ἘΝ ἈΛΛΟΤΡΊΩ τοίχῳ γινομένων.

Εἰ ὁ γείτων μου ἐν τῷ τοίχῳ μου κονιάματα ἤτοι ζωγραφίας ἔχει, καλῶς κινῶ ἵνα ταῦτα ἀφέληται. Οὔτε φοῦρνον οὔτε ἑστίαν δύναταί τις ἐν τῷ ἐπικοίνῳ τοίχῳ ποιεῖν, ἐν ᾧ τὸν ἐπίκοινον τοῖχον τὸ πῦρ καταβλάπτει. Ἐάν τις πριήσῃ τυρεψεῖον ἐξ οὗ καπνὸς ἐκπεμπόμενος καταβλάπτει τοὺς ἐν τοῖς ὑψηλοτέροις οἰκοῦντας, δύνανται κατὰ νόμους οἱ βλαπτόμενοι κωλύειν αὐτὸν εἰσπέμπειν τὸν καπνόν· εἰ μὴ ἄρα τι δίκαιον παρεχώρησεν αὐτὸν εἰσπέμπειν τὸν καπνόν· ἀλλὰ καὶ τὸ ἀνάπαλιν, εἰ οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις ὕδωρ ῥίπτουσιν, ἢ κόπρον, ὃ βλάπτουσι τοὺς ἐν τοῖς χθαμαλωτέροις οἰκοῦντας, κωλύονται τοῦτο ποιεῖν. ἐπὶ τοσοῦτον γὰρ ἔξεστι ποιεῖν τι ἐπὶ τοῖς ἑαυτοῦ, ἐφ' ὅσον ἕτερον μὴ καταβλάπτειν, τὸ αὐτὸ καὶ περὶ δυσωδίας.

ΠΕΡῚ ΚΛΊΣΕΩΣ ΤΟΊΧΟΥ.

Ἐὰν ὁ τοῖχος σου κατὰ τοῦ οἴκου μου κλίνῃ, ἢ μέσου ποδός, ἀναγκάζω σε ἀνορθοῦν αὐτόν. Ἐάν τις κατὰ ἀλλοτρίου οἴκου κατὰ βίαν θυρίδα πριήσῃ, ἀναγκάζεται οἰκείοις ἀναλώμασι τὸ ἀρχαῖον ἀποκαταστῆσαι σχῆμα. Κλίμακα τοῦ κοινοῦ τοίχου πλησίον δύναμαι στῆσαι· οὐδεμία γὰρ ἐντεῦθεν προσγίνεται βλάβη, διὰ τὸ καὶ τὴν ἀφαίρεσιν αὐτοῦ εὔκολον εἶναι.

περὶ

## ΠΕΡῚ ΝΟΜῶΝ ΚΡΟΥΝῶΝ ΘΥΡΊΔΩΝ, καὶ τοξικῆς.

Νομὴ κρουνῶν γενομένη ἐπὶ ὀμβρείων ὑδάτων ἐξ ἀρχῆς ὄντων κρουνῶν, καὶ εἰς ψιλὸν ἕτερον τόπον τὰ ὕδατα χαλώντων, ἄχρι πήχεων τριῶν καὶ τρίτου· τοσαύτη γὰρ γενομένη ἡ τῶν κρουνῶν ἔκστασις· ἡ δὲ περὶ τοξικῆς καὶ θυρίδων εἴρηται.

Εἰδέναι μέντοι χρὴ ὡς οὐ δεσπόζει τοῦ τοιούτου τοιχισμοῦ, ὁ τοὺς κρουνοὺς ἢ τὰς θυρίδας, ἢ τὰς τοξικὰς ἔχων, ὅτε χρὴ αὐτὸν εἰσιέναι εἰς τὸν παρακείμενον ψιλὸν τόπον· εἰ μὴ μόνον τοῦ κυρίῳ τῆς τοῦ τοίχου διορθώσεως, οὔτε μὴν τὸν τοῦ ψιλοῦ τοίχου δεσπότην, χρὴ ἀρδεύειν πρὸς τῷ τοίχῳ, ἢ καταφυτεύειν, ἀλλὰ στοιχεῖν τοῖς εἰς τὰ περὶ φυτῶν μέτροις εἰρημένα. ἡ δὲ τῶν ὑδάτων λύμη, τοῖς γειτνιῶσιν οὐκ ὀλίγην ἐπιφέρει βλάβην, ὅθεν καὶ περὶ τούτων ἀναγκαῖον ἡγησάμεθα ἐκ μέρους τὰ ἐμπίπτοντα εἰπεῖν.

## ΠΕΡῚ ὉΛΚΟῦ ἈΓΩΓΟῦ ΚΑῚ ΕὐΡΊΠΟΥ.

τὸν ἐθέλοντα ὁλκὸν ἢ ἀγωγὸν, ἢ εὔριπον κήπου, ἢ ἑτέρου τινὸς κατασκευάζειν, χρὴ ἀποστάντα τοῦ τοῦ γείτονος τοίχου πῆχυν ἕνα, τοῦτο ποιεῖν· διὰ τὴν τῆς παραρροίας σῆψιν. εἰ δὲ μὴ τοῖχος εἴη γειτνιῶν, ἀλλὰ χωρίον, ἐξεῖναι αὐτῷ καθὼς βούλεται εἰς τὰ ἑαυτοῦ ποιεῖν.

## ΠΕΡῚ ΛΆΚΚΟΥ.

Ὁ θέλων λάκκον εἰς τὰ ἑαυτοῦ κατασκευάζειν, ἀποστὰς τοῦ τοῦ γείτονος θεμελίου πήχεις ἓξ καὶ δίμοιρον, τοῦτο ποιείτω· ἱκανὸν γὰρ τὸ διάστημα πρὸς τὸ μὴ συγχωσθῆναι τὸ ὕδωρ, καὶ κατενεχθῆναι εἰς τὸν τοῦ γείτονος τοῖχον.

## ΠΕΡῚ ΚΟΠΡΟΔΟΧΕΊΟΥ.

τὸν κοπροδοχεῖον βουλόμενον ἢ λίμνην κατασκευάζειν ἐκ νέου ἐν τοῖς ἑαυτοῦ· εἰ μὲν οἰκοδομητὸς εἴη ὁ τοῦ κοπροδοχείου τοῖχος ὁ προσεγγίζων τῷ γείτονι, χρὴ ἀφίστασθαι τοῦ τοῦ γείτονος τοίχου, πήχεις τρεῖς· καὶ οὕτως οἰκοδομεῖν τὸν τοῖχον, ἐγχώρηγον μέντοι καὶ οὐκ ἐλάττονα τὸ πάχος, πήχεως ἑνὸς· πλα

κοιοῦ δὲ ἢ χαλκοῦ τὸ τοῦ κοπροδοχείου ἢ τῆς λίμνης πέλμα· τὸ πρὸς αὐτῷ τῷ γενομένῳ τοίχῳ, ἄχρι τῆς ἡμισείας πήχεως· τὸ δὲ πλάτος τριῶν καὶ τρίτον, διὰ τὴν τῶν σκαπτόντων ὄρυξιν, καὶ τὴν τοῦ ὕδατος παραρροίαν. εἰ δὲ ὀρυκτὸς εἴη ὁ τοῦ κοπροδοχείου ἢ τῆς λίμνης τόπος, τοίχου μὴ γενομένου, τηνικαῦτα χρὴ ἀφιστᾶν αὐτὸν, τοῦ τοῦ γείτονος τοίχου, τὴν τοῦ κοπρῶνος πλευρὰν τὴν πρὸς τῷ γείτονι, πήχεις ἓξ καὶ κ´· καὶ οὕτω τὴν ὄρυξιν ποιεῖν. εἰ δὲ τῷ χρόνῳ ὑπορυσσομένης τῆς γῆς ἐπικαταλάβοι τῶν προειρημένων τῶν τριῶν πήχεων καὶ τρίτου, τηνικαῦτα καταναγκάζεσθαι αὐτὸν, τὸν προειρημένον τοῖχον ποιεῖν, καὶ ταῦτα μὲν ἐν οἷς παράκεινται οἰκήματα. εἰ δὲ ψιλοὶ τόποι εἰσὶν οἱ τοῦ γείτονος, τῶν εἰρημένων μέτρων τὸ ἥμισυ· εἰ δὲ ἀμφοτέρων εἴησαν τῶν μερῶν κοπρῶνες, ἀφιστάτωσαν πήχεις ἀλλήλων μεταξὺ δύο, οὕτω ποιείτωσαν.

## ΠΕΡῚ ΧΡΙΣΤΗΡΊΩΝ.

Τὸν μὴ ἔχοντα ἐν αὐλῇ χριστήρια βουλόμενον δὲ κατασκευάσαι πρὸς τῷ ἐπικοίνῳ τοῦ γείτονος τοίχῳ, χρὴ ποιεῖν εἰς τὰ ἑαυτοῦ μέρη τοῦ ἐπικοίνου τοίχου πρὸς τοῖς γινομένοις χριστηρίοις, τοῖχον ἐγχώρηγον· οὗ τὸ πάχος οὐκ ἔλαττον πήχεως καὶ διμοίρου. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ὑπονόμων εἰρήσθω, οὕτω γὰρ ἄφθορος διαμένει, ὁ ἐπίκοινος τοῖχος.

## ΠΕΡῚ ὙΠΟΝΌΜΩΝ.

Χρὴ δὲ ἐν τῇ τῶν ὑπονόμων κατασκευῇ καὶ διορθώσει, δέχεσθαι τὴν κατασκευὴν ἀπ᾽ ἀλλήλων εἰς τὰς αὐλὰς, εἰς τοὺς οἱ κοινοὶ δι᾽ εἰ ἀπὸ αὐλῆς ἐξιᾶσιν ὑπόνομοι, χρὴ τὸν ταύτης δεσπότην ἀποκαθιστᾶν καὶ ποιεῖν τὸ ἀνάλωμα, ἄχρι σοῦ ἐπικαταλάβοι ἑτέρας αὐλῆς ἄφεσιν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐφεξῆς ἄχρι τοῦ δημοσίου ὀλκοῦ. εἰ δὲ ὁ δημόσιος ὀλκὸς πολὺ ἀφέστηκε τῆς τελευταίας αὐλῆς, χρὴ αὐτὴν μετὰ τῆς τελευταίας αὐλῆς παρέχειν κατὰ ἀναλογίαν τῶν πρὸ αὐτῆς· τὸ δὲ λοιπὸν μερί-

ζεσθαι καὶ εἰς τὰς λοιπὰς, κατὰ ἀναλογίαν τοῦ ἑαυτοῦ μεγέθους. τοὺς ὑπονομιαίους καράβους οὕτω δεῖ καθαίρειν καὶ ἐπανορθοῦν, ἀρχόμενος ἕκαστος ἀπὸ τῶν ἰδίων τόπων μέχρις ἂν φθάσῃ ἑτέρων δεσποτῶν τόπον. εἰ δὲ κῆπον παρέρχεται ὁ αὐτὸς ὑπονομιαῖος κάραβος, τὸν κύριον τοῦ κήπου ὀρύσσειν τῆς ἀρδευομένης γῆς, καὶ ἀνακαθαίρειν τοὺς νεμομένους, τῆς μυροσπινήσεως ὀφειλούσης γενέσθαι, ἐκ τοῦ νεμομένου τὸν τοιοῦτον κῆπον· τῆς σαπρείας ἐῤῥιπτομένης ἔξω τοῦ τοιούτου κήπου. ὁμοίως δὲ καὶ ἐάν τις γένηται χρεία ὑπαλλαγῆς ὀστράκων καὶ σωληναρίων τῶν καθεδρείων, ἕκαστος ἀπὸ τοῦ ἰδίου καθεδρείου ἀρχόμενος, διορθούσθω μέχρις ἂν φθάσῃ ἑτέρου γείτονος καθεδρείαν.

## ΠΕΡΙ ΥΠΟΝΟΜΟΥ.

τὸν θέλοντα ἀπὸ ὑπερῴου χρηστείου χαλαστὴν ὑπόνομον ἐπίπεδον ποιῆσαι, χρὴ μὲν εἰς τὰ ἑαυτοῦ κατασκευάζειν, καὶ μὴ ἐπικοινωνεῖν ἑτέροις τοίχοις. εἰ δὲ προκατάληψις γένηται καὶ δουλεία, καὶ φθορὰ τῷ τοίχῳ τις ἀπὸ ταύτης συμβῇ, τηνικαῦτα τὸν τῆς χαλαστῆς τὴν χρῆσιν ἔχοντα, εἰς τὸ τοῦ τοίχου ἀνάλωμα ἐπιγνῶναι τὸ διπλάσιον. ὁμοίως καὶ ἐπὶ τῶν τε εἰς λάκκους χαλώντων, ὄμβρια ὕδατα κατασκευῆς εἰρήσθω. ἑνὶ δὲ λόγῳ πᾶς κρουνὸς ἢ χαλαστὴς ῥυπαρῶν ὑδάτων, μὴ χαλάτω ἀπὸ οἰκίας εἰς πλατεῖαν ἀγορὰν ἢ στοὰν δημοσίαν ἢ ῥύμην, ἢ ἁπλῶς εἰπεῖν εἰς κοινὴν πάροδον, ἔν τε πόλει καὶ κώμῃ· διὰ τὰς γινομένας ἀπὸ τούτων βλάβας τοῖς παριοῦσιν.

## ΠΕΡΙ ΟΡΥΓΜΑΤΟΣ.

τῷ ἐγχωρείῳ ἢ ψιλῷ τόπῳ ἢ ἐπαύλει τινὶ, βουλομένῳ ὄρυγμα ἢ ἕτερόν τι ποιεῖν πρὸς τῷ τοῦ γείτονος τοίχῳ, τὰ χώματα ῥίπτειν οὐ δεῖ παρὰ τὸν τοῖχον· ἵνα μὴ βλάβη τῷ τὴν οἰκίαν ἔχοντι ἀπὸ τούτου συμβῇ. λόφου γὰρ καὶ παναστήματος γινομένου, εὐάλωτος ἔσται ἡ τοῦ γείτονος οἰκία, ὑγρότητος δὲ

ὕσης ἐν τῇ τοῦ ἐπαναστήματος γῇ, ἢ καὶ ὀμβριμαίων ὑδάτων ἐπιγινομένων, διαφθαρτὸς γίνεται ὁ τοῦ γείτονος τοῖχος. εἰ οὖν ἀνάγκη τις γένηται καὶ τῷ ὀρύγματι παραχωρηθείη τόπον ποιῆσαι πρὸς τὸν τοῦ γείτονος τοίχῳ, μὴ ἐᾶσθαι ἐκεῖ τὴν ἐκ τοῦ ὀρύξεως γῆν πρὸς καιρὸν πολὺν, ἀλλ᾽ ἄχρις ἡμερῶν ὀλίγων, ὅτι γὰρ σῆψις ἀπὸ τῶν τοσούτων ἡμερῶν γίνεται· φυλάξει δὲ καὶ τὴν οἰκίαν αὐτοῦ ὁ γείτων, ὀλίγων οὐσῶν τῶν ἡμερῶν. εἰ δὲ λόφος τις εἰς βοήθειαν εἴη τοῦ τοίχου, τοῦ τὴν οἰκίαν ἔχοντος, μὴ ἐξεῖναι τῷ γείτονι τὸν οὖν ψιλὸν ἔχοντι τόπον, ἀφαιρεῖν τοῦτον, οὐδεὶς δύναται κόπρον πλησίον τοῦ ἀλλοτρίου τοίχου ἔχειν, εἰ μὴ τοιαύτην δουλείαν ἔχει. ὀρύττειν γοῦν, οὐ χρὴ ἵνα ἐπὶ βλάβῃ τοῦ γείτονος, πρὸς τοῖς αὐτοῦ θεμελίοις· ἀπὸ γὰρ τούτου, οὐκ ὀλίγοι κίνδυνοι τοῖς οἰκήμασι τίκτονται, ἀλλ᾽ ἀποστάντα τὰ εἰρημένα μέτρα ἐπί τε λιμνῶν καὶ κοπροδοχείων καὶ λάκκων, οὕτω ποιεῖν τὴν ὄρυξιν. εἰ δὲ καὶ ὡς τῷ τοῦ γείτονος θεμελίῳ ἐπισυνάψαι βουληθείη ἐκ νέου ἕτερον θεμέλιον, μὴ ἐξεῖναι αὐτὸν ὑπορύττειν πλέον τοῦ τοῦ γείτονος θεμελίου· συγκατενεχθήσεται γὰρ ὁ παλαιὸς τῇ ὀρύξει.

## ΠΕΡῚ ΦΥΤΩ͂Ν.

Ἡ τῶν φυτῶν καταφύτευσις, μὴ ἀναλόγως τοῖς μεγέθεσι τὴν ἀπόστασιν, ἀπὸ τῶν οἰκιῶν ἔχουσα, οὐ τὰς τυχούσας ταῖς οἰκίαις ἐπιφέρει βλάβας. ῥιζοβολοῦντα γὰρ τὰ φυτὰ ἢ καὶ πρὸς τὸ μεγεθυνθῆναι ἀρδευόμενα, καὶ ἐγγίζοντα τοῖς τοίχοις ἢ ταῖς οἰκίαις, ἢ ταῖς θυρίσι, καὶ μάλιστα ταῖς ληνοῖς, ἢ τοῖς τῶν κήπων εὐρίποις, βλάπτει τὰ μέγιστα, ἐκ θεμελίων γὰρ τοὺς τοίχους ὠθεῖ, κλοπῆς δὲ αἰτία γίνεται διὰ τῶν θυρίδων· ἐπισκιάζει γὰρ τοῖς ἐπιρρίπτειν βουλομένοις, ἑτέραν θέσιν. ῥήξεις δὲ καὶ ἐμπτώσεις ἐργάζεται ταῖς ληνοῖς, καὶ τοῖς τῶν κήπων εὐρίποις. ὅθεν χρὴ τὸν θέλοντα καταφυτεύειν φυτὰ, ἀφεστάναι τῆς τοῦ γείτονος οἰκίας, μέτρα ταῦτα· εἰ μὴ

ἄμπελον

ἄμπελον φυτεῦσαι βουληθείη μὴ πλείω ἔχων, ἀφίστασθαι πήχεις ἓξ καὶ δίμοιρον. μηλέαι δὲ καὶ ῥοιαὶ καὶ τὰ τούτοις ἰσομεγέθη, πήχεις δέκα· συκομοραίαι δὲ ἢ πλάτανον, ἢ αἴγειρον, ἢ τὰ τούτοις ἰσομεγέθη πήχεις κ΄. εἰ δὲ καὶ τούτων τῶν μέτρων πεθέντων οἱ τῶν φυτῶν κλάδοι κατὰ τῶν τοῦ γείτονος οἰκιῶν ἐπαρθῶσι· καρποῦσθαι δεῖ τὸν τὰς οἰκίας ἔχοντα, ἄχρις οὗ ἀπὸ τῶν αὐτῶν οἰκημάτων ἢ δωμάτων φθαίνει. τὰ δὲ θαμνώδη, πήχεις τρεῖς καὶ τρίτον· τὰ λαχανώδη δὲ καὶ μὴ γεωργίας ἐπιδεόμενα, τουτέστι κινάρας ἢ πετροσέλινα, ἢ ῥόδα ἢ τὰ τοιαῦτα καθὼς εἴρηται μὴ γεωργούμενα, καὶ πρὸς αὐτῷ τῷ τοίχῳ γενήσεται· ἀρδεύειν δὲ καὶ ἀροτρεύειν, ἄχρις αὐτῶν τῶν τριῶν καὶ τρίτου πηχέων ἐξεῖναι τῷ τὸ χωρίον ἔχοντι, καὶ ταῦτα μὲν ἐπὶ τῶν μὴ ἐξ ἀρχῆς ἐχόντων τὰ φυτά· φυτῶν δὲ ὄντων ἐπὶ ψιλοῦ τόπου καὶ τοῦ τοῦ ψιλοῦ τόπου δεσπότου ἐκ καινῆς ποιοῦντος τὰς οἰκοδομάς, ἀργὰ ἔσται τὰ δηλούμενα περὶ αὐτῶν μέτρα· αὐτὸς γὰρ καινοτομήσει καὶ οὐ καινοτομηθήσεται, ἐπὶ ἑαυτῷ ἐπιγράψει τὰς ἀπὸ τῶν φυτῶν βλάβας. Ἐάν τις δημόσιον τόπον, ἢ ὁδὸν, ἢ πηγὴν παρ' ἀλλοτρίᾳ χώρᾳ ὀρύττῃ, τὸν ὅρον μὴ παραβαινέτω· ἐὰν τοῖχον, πόδα ἕνα ἀπολείπειν· ἐὰν δὲ οἴκημα, πόδας ἕξ· ἐὰν τάφον ἢ βόθρον ὀρύσσῃ, ὅσον τὸ τοῦ βάθους εἴη, τοσοῦτον ἀπολείπειν· ἐὰν δὲ φρέαρ, ὀργυιάν· εἰ μήπω φρέαρ προϋπάρχει τοῦ γείτονος, καὶ διὰ τοῦ καινοῦ ἔργου βλάπτεται· ἐλαίαν δὲ καὶ συκῆν, πόδας ἐννέα ἀπὸ τοῦ ἀλλοτρίου φυτεύειν· τὰ δ' ἄλλα δένδρα, πόδας πέντε.

## ΠΕΡΙ ΔΕΝΔΡΩΝ.

Ἐὰν δένδρον τοῦ γείτονος ἐν τῷ μεσαυλίῳ κείμενον, μεγάλας ἐκτείναν ῥίζας, τοὺς θεμελίους τῆς ἐμῆς βλάπτῃ οἰκίας, προνοίᾳ τοῦ ἄρχοντος, ἀναγκαζέσθω ὁ γείτων ἐκτέμνειν.

Ὅτι τὸ βλάπτον δένδρον οἶκον ἀλλότριον, ἐκ ῥίζης τέμνεται· τὸ δὲ βλάπτον ἀγρὸν, κλαδεύεται, εἰ ὑπὲρ δεκαπέντε πό-

δας ὑφ᾽ οὗται.

## ΠΕΡῚ ὙΔΆΤΩΝ.

Ἡ περὶ ὕδατος πλησμονῆς ἀγωγὴ, τότε ἁρμόζει, ὅτε τις ἔργον ἐν τῷ ἰδίῳ ἀγρῷ ποιήσει, κἂν δημόσιος αὐτὸν διαδέχηται τόπος· εἰ δέ τις ἐν δημοσίῳ τόπῳ ποιήσει ἔργον, ἀργεῖ, καὶ ἑαυτῷ μεμφέσθω μὴ προνοήσας ἑαυτοῦ, διὰ τῆς περὶ τῆς μελλούσης ζημίας, ἀσφαλείας. Ὕδωρ εἰς τόπον τινὸς κατερχόμενον καὶ βλάπτον αὐτὸν, ὃ δὴ πρότερον παρ᾽ αὐτοῦ δι᾽ ἔργου τινὸς κατέρχεσθαι κωλυθὲν, ἐὰν ἐκ τοῦ κωλυθῆναι καταῤῥέειν, ὑπερβλύσῃ καὶ βλάψῃ ἕτερον, ἀφίεται εἰς τὴν προτέραν νομὴν καὶ φοράν· καὶ ὁ τὸ ἔργον τὸ κωλῦον αὐτὸ ποιήσας, ἀναγκάζεται καταλύειν τὸ ἔργον, καὶ ἀφιέναι ῥέειν τὸ ὕδωρ, εἰ καὶ τὰ μάλιστα παρὰ τοῦ ὕδατος βλάπτοιτο. Ἐὰν ποταμὸν δι᾽ ὠφέλειάν μου καὶ οὐ διὰ βλάβην μου ἀποστρέψω, καὶ ἐκ τούτου βλαβῇ ὁ ἀγρός σου, οὐκ ἔχεις κατ᾽ ἐμοῦ τὴν περὶ ὕδατος πλησμονῆς ἀγωγήν, ὅτι ὁ δεσπότης τοῦ δουλεύοντος ἀγροῦ εἰς τὸ ὑποδέχεσθαι τὸ ὕδωρ κατὰ τοῦ δεσπότου τοῦ δουλευομένου· εἰ μὴ ἀμέσως ἐντεῦθεν βλάπτεται. Ἐάν τινα βλάπτῃ τὸ ὄμβριμον ὕδωρ, διὰ τῆς ἰδίας ὕδατος πλησμονῆς ἀγωγῆς, ἀναστρέφεται. ὄμβριμον δὲ ὕδωρ ἐστὶ, τὸ ἀπὸ τοῦ οὐρανοῦ καταιβὸν, κἂν ἄλλῳ μίγνυται· αὕτη δὲ ἡ ἀγωγὴ ἁρμόζει, ὅτε χειροποιήτου ἔργου γενομένου μήπω τὸ ὕδωρ ἔβλαψεν· ἀλλ᾽ ἐλπίζεται βλάπτειν. εἰ δὲ μὴ γέγονεν ἔργον ἀλλὰ κατὰ φύσιν ῥέον τὸ ὕδωρ βλάψει, οὐχ ἁρμόζει. Ἐὰν περιέλῃ ὁ γείτων παλαιὸν ἔργον, καὶ τὸ ὕδωρ ἐκ τούτου φυσικῶς ῥέον βλάψῃ τὸν ὑποκείμενον ἀγρὸν, οὐ χώραν τῇ περὶ ὕδατος πλησμονῆς ἀγωγῇ. ἀεὶ γὰρ τοῖς ὑποκειμένοις ἀγροῖς, ἐπίκειται δουλεία τὸ ὑποδέχεσθαι τὸ φυσικῶς ῥέον ὕδωρ ἐκ τῶν ὑπερκειμένων· ἐὰν δὲ διὰ τὸ περιαιρεθῆναι τὸ ἔργον σφοδρότερον ἄρξηται ῥεῖν ἢ ἀθροίζεσθαι, χώραν ἔχει. Οὐκ ἔξεστιν τοῖς γείτοσι ποιεῖν ἔργον, δι᾽ οὗ αἱ λίμναι ἢ αὔξοιεν ἢ μειοῦνται. Ἡ ἀγωγὴ ἡ περὶ ὕδατος πλησμο-

νῆς εἰσάγεται εἰς πάντα τὰ χειροποίητα ἔργα, εἰ μὴ διὰ γεωργίαν γίνεται. Οὐκ ἔξεστι διὰ χειροποιήτου ἔργου μεταφέρειν τὸν ποταμόν, πλὴν ἔξεστι κατὰ τῆς ἰδίας ὄχθης ποιεῖν ἔργα, ὥστε μὴ βλάπτειν τὸν ποταμὸν τοὺς ἀγρούς. Ἐὰν ἡ πηγὴ ἀφ' ἧς ἕλκει τις ὕδωρ ξηρανθεῖσα ἐπί τινας χρόνους, αὖθις πρὸς τὰς ἑαυτῆς ἐπανέλθῃ φλέβας, καὶ πάλιν τὸ ὕδωρ ἄρξηται φέρεσθαι, ἀνανεοῦται αὐτῷ ἡ δουλεία, καὶ ἀποκαθίσταται ὁ τοῦ ὕδατος ἑλκισμός, καθὼς ἦν τὸ πρότερον. Ἡ δουλεία τοῦ ὕδατος ἐὰν οὕτω συστῇ ὥστε ἐν μόνῳ τῷ μέρει κεχρῆσθαι αὐτῷ, ἢ ἐν ἑνὶ μηνὶ καὶ ὑπὲρ ἐνιαυτὸν ἢ ὑπὲρ μῆνα, διπλασιάζεται ὁ χρόνος τῆς ἀχρησίας, τὸ αὐτὸ καὶ ἐπὶ τῆς ὁδοῦ. εἰ δὲ ὑπὲρ ἡμέραν ἢ ὑπὲρ ὥραν, ἢ μίαν ὥραν, ἢ μόνην τὴν ἡμέραν, ἢ μόνην τὴν νύκτα, νομίμῳ χρόνῳ φθείρεται· μία γάρ ἐστιν ἡ δουλεία. Ἐὰν εἰς τὸ ἐπίκοινον ῥεῖθρον εἷς τῶν κοινωνῶν δαπανήσῃ ἀνακαινίζων τοῦτο, ἕξει κατὰ τοῦ ἑτέρου τὴν ὑπὲρ αὐτοῦ μόνου τοῦ ἐπικοίνου πράγματος ἀγωγήν· ἀπαιτεῖν τὸ γενόμενον δαπάνημα ἐφ' οἷς ἀνάλωσεν. Ἐάν τις σοι παραχωρήσῃ δίκαιον ἀντλήσεως εἰς τὸ διαφέρον αὐτῷ ὕδωρ, ἀναγκάζεταί σοι καὶ ἄκρον δουλείαν τῆς ὁδοῦ παραχωρῆσαι· ἐπεὶ ἄλλως μὴ δύνασαι χρήσασθαι τῷ τῆς ἀντλήσεως δικαίῳ. Οὐκ ἔξεστι τινὶ σωλῆνας προσπλάσαι ἤτοι συζεῦξαι τῷ ἐπικοίνῳ τοίχῳ, ὡς δι' αὐτῶν ἕλκειν ὕδωρ. Ὁ ἔχων δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα, δύναται κτᾶσθαι δουλείαν, τοῦ ἐν αὐτῷ ποιεῖν καλύβην. Ὁ δ' ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ, εἰδότος τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατ' αὐτοῦ τοῦ ἀγροῦ δουλείαν τῷ νενομισμένῳ χρόνῳ· τουτέστι τῷ τριετεῖ. ἐὰν δὲ πρὸ τοῦ παρελθεῖν τοῦτον τὸν χρόνον κωλύσῃ αὐτὸν ὁ δεσπότης τοῦ ἀγροῦ ἐπάγειν τὸ ὕδωρ, οὐ δύναται ἀπαιτεῖν αὐτὸς τὰ περὶ τὸν ὁλκὸν γινόμενα αὐτοῦ δαπανήματα· ἀλλὰ καὶ αὐτοῦ τοῦ ὁλκοῦ δεσπότης γίνεται, ὁ τοῦ ἐδάφους κύριος ἕως ὅτε

συνέστη-

σης αὐλῆς, καὶ τῆς τὴν μίαν πλευρὰν ἐχούσης αὐλῆς, μὴ χρῆσιν κεκτημένης ἐν τῷ μεσαύλῳ· δεηθείη δὲ τὸ μέσαυλον καθάρσεως ἢ ἑτέρου τινὸς, ἀζήμιος ἔστω ἡ μὴ κεχρημένη. εἰ δὲ δεηθείη ὁ πᾶς τῆς μὴ κεχρημένης αὐλῆς τοῖχος λύσεως καὶ οἰκοδομῆς, πολλῶν οὐσῶν τῶν θέσεων, οὐ χρὴ διδόναι τὸν τὴν χρῆσιν τοῦ μεσαύλου ἔχοντα, τῷ παντὶ τῶν θέσεων ἀναλώματι, ἀλλὰ μόνῳ τῷ θεμελίῳ· καὶ ἄχρι πηχῶν δ̄ τὸ ἥμισυ μέρος, τοῦ περικλειομένου ἕνεκεν καὶ περιοριζομένου, ὁμοίως καὶ ἐπὶ τῶν ἐπαύλεων. εἰ γὰρ ἔπαυλις εἴη γυμνὴ, οἰκήματα δὲ συνημμένα ταύτῃ διορίζοιεν τήν τε ἔπαυλιν καὶ τὴν τοῦ ἑτέρου αὐλὴν, τηνικαῦτα χρὴ πάντα τὸν τοῖχον τὸν ἑαυτοῦ κατασκευάζειν, τὸν τῆς αὐλῆς δεσπότην· συνδιδόντος καὶ τοῦ τῆς ἐπαύλεως δεσπότου εἰς τὴν κτίσιν τὴν ὑπὲρ τοῦ θεμελίου, ἄχρι πηχῶν δ̄, τὸ ἥμισυ· θριγγοῦ γὰρ ἤτοι φραγμοῦ λόγον ἔχει τὸ τοιοῦτον. Σημείωσαι ὅτι οὐ χρὴ συνδιδόναι τοὺς πλησιαστὰς τοίχου ἑτέρας αὐλῆς ἀνεγειρομένου τοῦ διορίζοντος τὰ δίκαια αὐτῶν δηλονότι.

## ΠΕΡΙ ἈΝΑΝΕΩΣΕΩΣ οἴκου παλαιοῦ.

Προστάττομεν, ὁ τὸν παλαιὸν οἶκον ἀνανεῶν, παρὰ τὸ ἀρχαῖον σχῆμα μὴ παρεξίτω, μήτε ἀφαιρείτω τὰ φῶτα ἢ τὴν ἄποψιν τῶν γειτόνων· εἰ μὴ ἄρα δουλείαν ἔχει τοιαύτην κατὰ σύμφωνον, ἢ ἐπερώτησιν παραχωρηθεῖσαν αὐτῷ, ἢ ἐπιτρέπουσαν ὡς βούλεται τὸ παλαιὸν ἐναμείβειν σχῆμα· ὁ γὰρ τοιαύτην ἔχων δουλείαν, ἀκωλύτως ἃ βούλεται οἰκοδομείτω. εἰ καὶ βλάπτει τοὺς γείτονας. ἐπειδὴ τοῦτο κατὰ σύμφωνον ἢ ἐπερώτησιν αὐτῷ ἐπιτέτραπται· ἡνίκα δὲ οἶκοι δύο ἀντικρὺ ἀλλήλων εἰσὶ, χρὴ μεταξὺ αὐτῶν δώδεκα πόδας εἶναι, ἀρχομένους ἀπὸ τοῦ ἐπικειμένου τοῖς θεμελίοις οἰκοδομήματος, καὶ μέχρι παντὸς τοῦ ὕψους φυλαττομένους. τούτου γὰρ τοῦ διαστήματος φυλαττομένου, ἔξεστιν ἑκάστῳ εἰς ἄπειρον ὕψος τὸν ἴδιον ἐγείρειν οἶκον, καὶ θυρίδας ἐν αὐτῷ παρακυπτικὰς κατασκευάζειν· εἴτε νέον οἰκοδομεῖται

εἴτε

εἴτε παλαιὸν οἶκον ἀνασκευάζειν· εἴτε τὸν ἐκ πυρὸς διαφθαρέντα τέλει. ΠΕΡΙ' Α'ΠΟ'ΨΕΩΣ.

Ἐν ταύτῃ τῇ εὐδαίμονι πόλει, ἀπέχει τοῦ γείτονος, δώδεκα μόνους ἀπαιτῶν πόδας, μὴ ἀφαιρείσθω ἐξ εὐθείας ὁρᾶν τὴν θάλασσαν, ἑστὼς ἐν τοῖς ἰδίοις οἴκοις, ἢ καθήμενος ἐν αὐτοῖς, καὶ μὴ ἀναγκαζόμενος παρατρέπειν ἑαυτὸν εἰς πλάγιον, ἐφ' ᾧ ἰδεῖν θάλασσαν. Ἐὰν δὲ ἑκατὸν ποδῶν ἐν μέσῳ τῶν δύο οἴκων εἴη διάστημα, ἐξέστω ἀκωλύτως κτίζειν τῷ βουλομένῳ, καὶ τὴν ἐπὶ θάλασσαν ἄποψιν ἀφαιρεῖν τοῦ γείτονος. εἰ δέ τις ἀπὸ μαγειρείου, ἢ ἀπὸ ἀφεδρῶνος, ἢ κλιμακῶνος, ἢ ἀπὸ βαστερνίων ἤγουν τῶν λεγομένων παρόδων, ἤτοι διαβατῶν, ἄποψιν ἔχει ἐπὶ θάλασσαν, τὴν τοιαύτην ἄποψιν, ὁ ἑκατὸν ποδῶν ἐντὸς οἰκοδομῶν, ἀκωλύτως ἀφαιρεῖται· εἰ μόνον δέκα πόδες εἰσὶ μεταξὺ τῶν οἴκων. εἰ δὲ καὶ σύμφωνον ἐστὶν ἐπιτρέπον τινὶ τὴν οἰκοδομὴν, κρατείτω τὸ σύμφωνον εἰ καὶ βλάπτει τὸν γείτονα περὶ θαλάσσης ἄποψιν. εἴτε αὐτὸς ὁ νῦν δεσπόζων τοῦ οἴκου συνεφώνησεν, εἴτε οἱ προκτησάμενοι αὐτοῦ τὸν οἶκον, οὐ δὲ γὰρ προσήκει τὰς ὑπαρχούσας τινὶ δουλείας, διὰ τῶν γενικῶν νομῶν ἀναιρεῖσθαι. Ἡ ἐπὶ θάλασσαν ἐντὸς ἑκατὸν ποδῶν οὖσα ἄποψις, οὐ μόνον κατ' εὐθεῖαν, ἀλλὰ καὶ ἐκ πλαγίου ὀφείλει εἶναι ἀκαινοτόμητος· οὕτω γὰρ προστίθησιν ὁ παρὼν τύπος φυλάττων τὴν Ζήνωνος διάταξιν καὶ τὴν νεαρὰν ἑρμηνεύων. ΠΕΡΙ' Α'ΠΟ'ΨΕΩΣ ΘΑΛΑ'ΣΣΗΣ.

Ἡ ὁρατικὴ δύναμις, πασῶν τῶν αἰσθήσεων ὀξυτάτη οὖσα, ἀπὸ πλείστου διαστήματος τὴν ἐνέργειαν ἔχει, ὅθεν οὐ χρὴ ἁπλῶς οὐδὲ ὡς ἔτυχε περὶ ταύτης ἀποφαίνεσθαι· ἀλλ' ἐνθέντας μέτρα τούτοις στοιχεῖν. φασὶ μὲν γὰρ, νόμοι τρεῖς εἶναι ἀπόψεως, θαλάσσης, κήπων, γραφῆς δημοσίας· πάντας δὲ ἀορίστως τιθέντες τοῖς κτίζουσι † ζητοῦσιν· ὁρᾶται μὲν ἡ θάλασσα, ἀπὸ μιλίων πολλάκις τεσσαράκοντα, καὶ περαιτέρω. ὁρᾶται δὲ

κῆπος, καὶ φυτὰ καὶ ἄλση, ἀπὸ μιλίων εἴκοσιν· ὁρᾶται δὲ καὶ δημοσία γραφὴ, ἀπὸ πήχεων οὐχ ἧττον διακοσίων, καὶ εἰ ταύταις ἐστοιχοῦμεν ταῖς ἀπόψεσιν, οὐκ ἂν οἰκία ἢ κώμη ἢ πόλις ἐκτίζετο. εἰσὶ δὲ καὶ ἄλλαι ἀπόψεις, οὐ κατ' εὐθεῖαν ὁρῶσαι, ἀλλὰ πλάγιαι καὶ βεβιασμέναι, ἃς ταύτας ἀπόψεις οὔ φημι. χρὴ οὖν τὸν θαλάσσης ἀπόψει ἐν τῷ οἰκοδομεῖν ἐπιπροσθοῦντα, κατ' εὐθεῖαν οὔσῃ καὶ μὴ πλαγίαν ἐχούσῃ τὴν θέσιν, ἀφεστάναι τοῦ τὴν ἄποψιν κατ' εὐθεῖαν ἔχοντος, ἢ μὴ πλαγίαν καὶ βεβιασμένην. εἰ μὲν ὁρᾷ λιμένα καὶ αἰγιαλὸν, κἂν ἁπλῶς τῇ κώμῃ, ἢ πόλει, ἢ στάσεις πλοίων τέλειον μὴ ἐχούσῃ λιμένα, τὸ παράπαν μὴ κωλύειν, μήτε ἀφαιρεῖν τὴν τοιαύτην ἄποψιν· ἱκανὴ γὰρ ἡ ἀπὸ τούτων ψυχαγωγία τοῖς ὁρῶσιν. εἰ δὲ ἀπωτέρω καὶ πελάγη ὁρᾷ, ταύτην οὐδεμίαν λογιζόμεθα ἄποψιν· καθὼς γὰρ εἴρηται καὶ ἀπὸ τεσσαράκοντα μιλίων, διὰ τὸ τῆς θαλάσσης ὁρᾶται μέγεθος, καὶ οὐ δίκαιον ἀπὸ τοσούτου ἐμποδίζεσθαι τοὺς οἰκοδομεῖν ἐθέλοντας διαστήματος.

ΠΕΡῚ ἈΠΌΨΕΩΣ ΚΉΠΩΝ ΚΑῚ ΦΥΤΩ͂Ν.

Καὶ ὁ τῶν κήπων καὶ τῶν φυτῶν χωρίον, ἀπὸ τοῦ ῥηθέντος ὁρᾶται διαστήματος, καὶ οὐ πάντως ἀπὸ τοσούτου χρὴ τοὺς οἰκοδομεῖν ἐθέλοντας ἐμποδίζεσθαι· ἀλλὰ δεῖ τὸν ἀπὸ ταύτης τῆς ἀπόψεως κωλύοντα, κωλύειν οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχεν, ἀλλ' ἀπὸ ποδῶν πεντήκοντα.

ΠΕΡῚ ἈΠΌΨΕΩΣ ΔΗΜΟΣΊΑΣ γραφῆς.

Ἐπὶ τούτων ἀφεστάναι χρὴ τὸν κτίζειν βουλόμενον, καὶ δημοσίας γραφῆς ἄποψιν ἀπὸ τοῦ γείτονος λαβεῖν, ἐφ' ὅσον τι τῶν ἐγγεγραμμένων τῇ ἱστορίᾳ γνώριμον ὁρᾶται· οἷον εἴ τις αὐτὴν θεωρῶν τὴν γραφὴν, ἐπιγινώσκει ἃ ὁρᾷ τοὺς ἐγγεγραμμένους ἀπὸ τῆς αὐτοῦ οἰκίας, ἀχιλλέα ἢ αἴαντα, ἢ τοιοῦτόν τινα, τότε γὰρ χρὴ αὐτὸν κωλύειν τὸν ἀφαιρεῖν βουλόμενον, ταύτην τὴν γραφὴν τῆς ἀπόψεως. εἰ δὲ μήτε γνώριμόν τι τῶν ἐγγεγραμμένων εἴη, μήτε μὴν αὐτῆς ὁρᾷ τῆς ἱστορίας, τίς καὶ ποίαν ἔχει

ἀπὸ

ἀλλὰ ταύτης τέρψιν, ὁ τὸν οἰκοδομοῦντα κωλύων.

ΠΕΡΙ ΚΑΤΟΠΤΕΙΑΣ.

Τινὲς τῶν φιλοπραγμόνων καὶ φθονερῶν, κωλύειν ἐπιχειροῦσι τοὺς οἴκους κατασκευάζοντας ἢ μέλλοντας κατοπτείαν ἀπὸ τούτου ποιεῖσθαι τοῖς γείτοσιν· ὅτι δὲ τοῖς νόμοις εἴρηται, ὅτι μὴν ἀλλὰ τῶν παλαιῶν οἰκημάτων ὁρῶμεν, ὡς οἱ παλαιοὶ ταύτην ἀδικίαν ἐλογίζοντο. βλέπομεν γὰρ πάσας σχεδὸν εἰπεῖν τὰς οἰκίας, ἀλλήλας καθορώσας, καὶ οὐδὲ εἰς φθόνον τοὺς παλαιοὺς κατεῖχεν· ὅθεν καὶ ἡμεῖς τὴν τῆς κατοπτείας οὐ λογιζόμεθα βλάβην· ἕκαστος οὖν τῶν νομιζόντων ταύτην εἶναι βλάβην, συγχωρείτω μὲν τῷ κτίζοντι, αὐτὸς δὲ τὰ ἑαυτοῦ ἀσφαλιζέτω οἰκήματα, καὶ ἀθεώρητα φυλαττέτω. ἔτι διὰ τῶν αἰνοικτῶν καλουμένων καγγέλλων, ἔτι διὰ τῶν συρτῶν, ἢ ὡς ἂν αὐτὸς βουληθείη· οὐ γὰρ δίκαιον δι' ἑτέρου βλάβην, τὰ ἑαυτοῦ τινὰ ἀσφαλίζεσθαι.

ΠΕΡΙ ΑΠΟΨΕΩΣ ΟΡΩΝ.

Τὴν οὐδὲ τὰ ὄρη ἄποψιν, οὐ δύναταί τις κωλύειν, ὡς εἶπεν ὁ Παπιανὸς ἐν ὑστέρῳ βιβλίῳ τῶν κοιαιστιώνων ἐν τῇ τελευταίᾳ τοῦ τίτλου κοιαιστιῶνι. ἡ δὲ διάταξις Ζήνωνος ἔχει, ὅτι ἐὰν ἑκατὸν πόδας ἀπέχῃ ὁ γείτων, οὐ κωλύεται βουλόμενος οἰκοδομεῖν, ἀλλὰ τ' ἀφαιρεῖσθαι τὴν ἄποψιν τὴν οὐδὲ θάλασσαν· τοῦτο δὲ καὶ οὐδὲ ὄρους ἕλκειν δυνάμεθα. ἐπειδὴ τερπνή τις ἡ θέα τοῦ ὄρους, ὥσπερ τῆς θαλάσσης, καὶ ἀλλὰ τῶν ὁμοίων τὰ ὅμοια τέμνειν δεῖ· καὶ ταῦτα μὲν πάντα ὑπομνήσεως ἕνεκα συνῆκται. εἰ δέ τι παρεμπέσοι παρὰ τὰ εἰρημένα, ἀλλὰ τῶν ὁμοίων τὰ ὅμοια σκοπεῖν. βλάβας μέντοι ὡμολογημένας καὶ μὴ κατὰ φθόνον μεμηχανημένας, δεῖ ἀναιρεῖν, σκοποῦντας εἰ δι' αὐτὸ βλάπτεταί τι τὸ δι' ἐναντίας μέρος, καὶ οὕτω κριθήσεται ταῦτα παρὰ τοῖς ἀνθρώποις.

ΠΕΡΙ ΗΛΙΑΚΟΥ ΗΤΟΙ ΕΞΩΣΤΟΥ.

Ἡλιακὸν τὸν παρά τινων ἡλιώσιμον καλούμενον, ὅς τις ἂν βουληθῇ ποιῆσαι, εἰ μὲν ἔχει πλησίον ἰδιωτικὰ κλίσματα, ἀναγκάζεται ποιεῖν τὸν ἡλιακὸν, δέκα πόδας τῶν ἰδιωτικῶν κλισμάτων ἀπέχοντα· εἰ δὲ δημόσια τούτῳ πλησιάζουσι κλίσματα, ιε πόδας ἀπεχέτω τῶν κλισμάτων ὁ γινόμενος παρὰ τούτων ἡλιακός.

## ΠΕΡῚ ΦΡΑΓΜΩ͂Ν ἈΜΠΕΛΏΝΩΝ ΠΕΡΙΒΟΛΊων, καὶ ὀπῶν αἰέτων.

Οἱ τῶν ἀμπελώνων καὶ τῶν περιβολίων φραγμοὶ, καὶ τὰ ἀλλότρια ἐδάφη, ἐν οἷς οὐκ εἰσὶν οἰκίαι καὶ τὰ τῶν γειτόνων ὕπαιθρα, ἓξ μόνον πόδας ἀφ' ἑαυτῶν τὸν πλησίον κτίζειν βουλομένους ἀποδιώκουσιν. Ὅτι μέσον ὄντος στενωποῦ ἢ πλατείας οἰκοδομεῖ τις τὸν ἑαυτοῦ οἶκον, εἰ καὶ πλέον ἔχει τῶν δώδεκα ποδῶν τὸ τοῦ στενωποῦ ἢ τῆς πλατείας μέτρον, μὴ ἀφαιρείσθω τὸ περιττὸν, καὶ τῷ ἰδίῳ οἴκῳ προστιθέσθω· οὐδὲ γὰρ εἰς βλάβην τοῦ δημοσίου, τοὺς δώδεκα πόδας ὥρισεν ἡ διάταξις, ἀλλ' ὥστε μὴ στενώτερον τῶν δώδεκα ποδῶν εἶναι τὸν μεταξὺ τῶν οἴκων ἀέρα. Ὅτι δὲ πλέον τὸ τῆς ῥύμης εὑρεθῇ ἢ τῆς πλατείας μέτρον, μηδὲν ἐξ αὐτοῦ ἀφαιρεῖσθαι, ἀλλὰ τῇ πόλει σώζεσθαι τὰ οἰκεῖα. Ἐὰν δὲ παλαιῶν ὄντων τῶν οἴκων, εὑρεθῇ μεταξὺ αὐτῶν καθαρὸς ἀὴρ, στενώτερος ὢν τῶν δέκα ποδῶν, μηδενὶ αὐτῶν ἐξέστω παρὰ τὸ παλαιὸν σχῆμα, ὑψοῦν τὸν ἴδιον οἶκον, ἢ θυρίδας ποιεῖν. Εἰ μέντοι δέκα πόδας ἔχουσιν ἐν μέσῳ ἢ μὴ ἐλάττονες, τότε παρακυπτικὰς μὲν μὴ ἐξέστω τῷ κτίζοντι ποιεῖν, εἰ μὴ πρότερον εἶχεν αὐτάς, φωταγωγοὺς δὲ ἐξέστω αὐτῷ ποιεῖν, ἀπὸ ἓξ ποδῶν τοῦ πάτου αἰρομένας· μηδενὸς δυναμένου ποιεῖν ὑποδοπάτιον ἐν τῷ οἴκῳ τῷ ἰδίῳ, καὶ διὰ τούτου τὴν φωταγωγὸν θυρίδα παρασκευάζειν παρακυπτικήν. Περὶ φωταγωγῶν θυρίδων γινομένων ἐν διαστήματι δέκα ποδῶν.

## ΠΕΡῚ ΣΩΛΑΡΊΩΝ ἘΝ τῇ ὁδῷ γινομένων.

εἰ δὲ-

εἰ δέκα ποδῶν ὁ στενωπὸς εἴη μόνον, μηδεὶς ποιείτω σωλάρια· τὰ δὲ γινόμενα, δεκαπέντε πόδας ἀπεχέτω τοῦ ἐδάφους, καὶ μὴ ἐχέτω συγκίονας κάτωθεν λιθίνους, ἢ ξυλίνους, ἢ τοίχους, ὥστε ἢ τὸν ἀέρα ἀποφράττεσθαι, ἢ τὴν δημοσίαν ὁδὸν ἀδικεῖσθαι. μήτε κλίμακες γινέσθωσαν εἰς τὸν στενωπὸν, ἀνιοῦσαι ἐπὶ τὰ σωλάρια· ἐντεῦθεν γὰρ ἧττον ἐπικινήσεται τοῦ πυρὸς ἡ συμφορά. οὐδεὶς κωλύεται βουλόμενος ὑψῶσαι, εἰ μὴ ἄρα ἐβάρησεν ἑαυτὸν δουλείᾳ τοῦ μὴ ὑψοῦν. Δουλείαν ἐπιτιθέναι τοῖς ἐπικοίνοις οἰκήμασι, ὁ εἷς τῶν κοινωνῶν παρὰ γνώμην τοῦ ἑτέρου, οὐ δύναται· κατὰ δένδρων μέν τοι καὶ κήπων, δουλεία ἀπείρως οὐ φυλάττεται. Ἀπὸ γυμνοῦ τόπου, οὐκ ἔστι κώλυσις ὑψοῦν. Ἐὰν πεσόντα οἶκον ἀνανεῶν βούληται ὑψῶσαι, καὶ ἐμποδίσῃ τις τοῖς τοῦ γείτονος φωσὶν, ἢ ἕτερόν τι ποιήσῃ ἐπὶ βλάβῃ τοῦ γείτονος, ἀναγκάζεται καὶ τὸν τύπον καὶ τὴν κατάστασιν τῶν πρώην οἰκημάτων, καὶ τὸ παλαιὸν σχῆμα φυλάττειν. οὗ τινος τὰ οἰκήματα δικαίῳ δουλείας ὑπόκειται, ἐν τῇ ἐξουσίᾳ τούτου ἐστὶν, ἐπ᾽ ἄπειρον ταῦτα ὑψοῦν. ἐν ᾧ μέν τοι τὰ ὑποκείμενα τοῦ γείτονος μὴ βαρύνειν δουλείᾳ βαρυτέρᾳ, παρ᾽ ἣν φέρειν ὀφείλουσιν.

ΠΕΡΙ ἈΝΟΙΞΕΩΣ ΠΥΛΩΝΟΣ.

οὐ καλῶς τις κωλύει τὸν γείτονα αὐτοῦ ἀνοίγοντα πυλῶνα, κατὰ τῆς δημοσίας ὁδοῦ, τοῦ ἀπὸ τῶν κεράμων αὐτοῦ σταλαγμοῦ, ἐν ᾧ μὴ βλάπτει τὴν πάροδον. τὰ ἰδιωτικὰ κτίσματα, δεκαπέντε πόδας ἀπεχέτωσαν τῶν δημοσίων· ὥς τε μήτε τὸ δημόσιον κινδυνεύειν, μήτε αὐτὰ ἔτι δεδιέναι τουλοιπόν.

ὁ κτίσας ἐν δημοσίῳ τόπῳ καὶ βλάπτων τὴν πόλιν, καταβαλέτω αὐτὸ μὴ ἔχων χρόνου παραγραφήν· μηδὲ εἰ βασιλεὺς ἐπέτρεψεν αὐτῷ κτίσαι. ὁ μὴ ἔχων δίκαιον φωταγωγῶν θυρίδων, οὐ δύναται τυφλὸν τοῖχον ἀνοίγειν καὶ ποιεῖν θυρίδας.

ΠΕΡΙ ΤΟΥ ἘΝ ἀλλοτρίοις κτίζοντος ἢ ἐπικτίζοντος.

Ἐάν τις ἐπικτίσῃ τοῖς ἐμοῖς οἰκήμασιν ἀνώγεα, ἐγὼ τούτων γίνομαι κύριος, ἀλλὰ τὸν κανόνα τὸν λέγοντα, εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις. εἰ δὲ καὶ ἐν τῷ ἐμῷ ἐδάφει κτίσει τις, δεσπότης γίνομαι τοῦ οἰκήματος, ἐφ' ὅσον ἐν τῇ αὐτῇ καταστάσει μένει τὸ οἴκημα. ἐὰν γὰρ καταλυθῇ, δύναται ὁ οἰκοδομήσας ἐκδικῆσαι τὰς ὕλας· εἴτε καλῇ πίστει εἴτε κακῇ ᾠκοδόμησεν. Ὁ ἔχων τὰ ἀνώγεα, τοῖς ἰδίοις ἐπικτίζει ὅσον θέλει· μὴ βαρῶν μέντοι τὰ ἀνώγεα ὑπὲρ δύναμιν.

ΠΕΡΙ ΚΟΝΙΑΜΑΤΩΝ ἘΝ ἈΛΛΟΤΡΙῼ τοίχῳ γινομένων.

Εἰ ὁ γείτων μου ἐν τῷ τοίχῳ μου κονιάματα ἤτοι ζωγραφίας ἔχει, καλῶς κινῶ ἵνα ταῦτα ἀφέληται. Οὔτε φοῦρνον οὔτε ἑστίαν δύναταί τις ἐν τῷ ἐπικοίνῳ τοίχῳ ποιεῖν, ἐν ᾧ τὸ ἐπίκοινον τοῖχον τὸ πῦρ καταβλάπτει. Ἐάν τις ποιήσῃ τυρεψεῖον ἐξ οὗ καπνὸς ἐκπεμπόμενος καταβλάπτει τοὺς ἐν τοῖς ὑψηλοτέροις οἰκοῦντας, δύνανται κατὰ νόμους οἱ βλαπτόμενοι κωλύειν αὐτὸν εἰσπέμπειν τὸν καπνόν· εἰ μὴ ἄρα τι δίκαιον παρεχώρησεν αὐτὸν εἰσπέμπειν τὸν καπνόν· ἀλλὰ καὶ τὸ ἀνάπαλιν, εἰ οἱ ἐν ταῖς ὑψηλοτέραις στέγαις ὕδωρ ῥίπτουσιν, ἢ κόπρον, καὶ βλάπτουσι τοὺς ἐν τοῖς χθαμαλωτέροις οἰκοῦντας, κωλύονται τοῦτο ποιεῖν. ἐπὶ τούτων γὰρ ἔξεστι ποιεῖν τι ἐπὶ τοῖς ἑαυτοῦ, ἐφ' ὅσον ἕτερον μὴ καταβλάπτειν, τὸ αὐτὸ καὶ περὶ δυσωδίας.

ΠΕΡΙ ΚΛΙΣΕΩΣ ΤΟΙΧΟΥ.

Ἐὰν ὁ τοῖχος σου κατὰ τοῦ οἴκου μου κλίνῃ, ἥμισυ ποδός, ἀναγκάζω σε ἀνορθοῦν αὐτόν. Ἐάν τις κατὰ ἀλλοτρίου οἴκου κατὰ βίαν θυρίδα ποιήσῃ, ἀναγκάζεται οἰκείοις ἀναλώμασιν τὸ ἀρχαῖον ἀποκαταστῆσαι σχῆμα. Κλίμακα τοῦ κοινοῦ τοίχου πλησίον δύναμαι στῆσαι· οὐδεμία γὰρ ἐντεῦθεν προσγίνεται βλάβη, ἀλλὰ τὸ καὶ τὴν ἀφαίρεσιν αὐτοῦ, εὔκολον εἶναι.

περὶ

## ΠΕΡΙ ΝΟΜΩ͂Ν ΚΡΟΥΝΩ͂Ν ΘΥΡΊΔΩΝ, καὶ τοξικῆς.

Νομὴ κρουνῶν νενόμισται ἐπὶ ὀμβρείων ὑδάτων ἐξ ἀρχῆς ὄντων κρουνῶν, καὶ εἰς ψιλὸν ἑτέρου τόπον τὰ ὕδατα χαλώντων, ἄχρι πηχῶν τριῶν καὶ τρίτου· τοσαύτη γὰρ νενόμισται ἡ τῶν κρουνῶν ἔκστασις· ἡ δὲ περὶ τοξικῆς καὶ θυρίδων εἴρηται.

Εἰδέναι μέντοι χρὴ ὡς οὐ διασώζει τοῦ τοιούτου τοιχισμοῦ, ὁ τοὺς κρουνοὺς ἢ τὰς θυρίδας, ἢ τὰς τοξικὰς ἔχων, ὅτε χρὴ αὐτὸν εἰσιέναι εἰς τὸν παρακείμενον ψιλὸν τόπον· εἰ μὴ μόνον τῷ κυρείῳ τῆς τοῦ τοίχου διορθώσεως, οὔτε μὴν τὸν τοῦ ψιλοῦ τοίχου διασπᾶν, χρὴ ἀρδεύειν πρὸς τῷ τοίχῳ, ἢ καταφυτεύειν, ἀλλὰ στοιχεῖν τοῖς εἰς τὰ περὶ φυτῶν μέτροις εἰρημένα. ἡ δὲ τῶν ὑδάτων λύμη, τοῖς γειτνιῶσιν οὐκ ὀλίγην ἐπιφέρει βλάβην, ὅθεν καὶ περὶ τούτων ἀναγκαῖον ἡγησάμεθα ἐκ μέρους τὰ ἐμπίπτοντα εἰπεῖν.

## ΠΕΡΙ ὉΛΚΟΥ͂ ἈΓΩΓΟΥ͂ ΚΑΙ ΕὐΡΊΠΟΥ.

τὸν ἐθέλοντα ὁλκὸν ἢ ἀγωγὸν, ἢ εὔριπον κήπου, ἢ ἑτέρου τινὸς κατασκευάζειν, χρὴ ἀποστάντα τοῦ τοῦ γείτονος τοίχου πῆχυν ἕνα, τοῦτο ποιεῖν· διὰ τὴν τῆς παραρροίας σῆψιν. εἰ δὲ μὴ τοῖχος εἴη γειτνιῶν, ἀλλὰ χωρίον, ἐξεῖναι αὐτῷ καθὼς βούλεται εἰς τὰ ἑαυτοῦ ποιεῖν.

## ΠΕΡΙ ΛΆΚΚΟΥ.

Ὁ θέλων λάκκον εἰς τὰ ἑαυτοῦ κατασκευάζειν, ἀποστὰς τοῦ τοῦ γείτονος θεμελίου πήχεις ἓξ καὶ δίμοιρον, τοῦτο ποιείτω· ἱκανὸν γὰρ τὸ διάστημα πρὸς τὸ μὴ συγχωσθῆναι τὸ ὕδωρ, καὶ κατενεχθῆναι εἰς τὸν τοῦ γείτονος τοῖχον.

## ΠΕΡΙ ΚΟΠΡΟΔΟΧΕΊΟΥ.

τὸν κοπροδοχεῖον βουλόμενον ἢ λίμνην κατασκευάζειν ἐκ νέου ἐν τοῖς ἑαυτοῦ· εἰ μὲν οἰκοδομητὸς εἴη ὁ τοῦ κοπροδοχείου τοῖχος ὁ προσεγγίζων τῷ γείτονι, χρὴ ἀφίστασθαι τοῦ τοῦ γείτονος τοίχου, πήχεις τρεῖς· καὶ οὕτως οἰκοδομεῖν τὸν τοῖχον, ἐγχόρηγον μέντοι καὶ οὐκ ἐλάττονα τὸ πάχος, πήχεως ἑνὸς πλα

κοινοῦ δὲ ἢ χαλκοῦ τὸ τοῦ κοπροδοχείου ἢ τῆς λίμνης πέλμα· τὸ πρὸς αὐτῷ τῷ γινομένῳ τοίχῳ, ἄχρι τῆς ἡμισείας πήχεως· τὸ δὲ πλάτος τριῶν καὶ τρίτου, διὰ τὴν τῶν σκαπτόντων ὄρυξιν, καὶ τὴν τοῦ ὕδατος παραρροίαν. εἰ δὲ ὀρυκτὸς εἴη ὁ τοῦ κοπροδοχείου ἢ τῆς λίμνης τόπος, τοίχου μὴ γινομένου, τηνικαῦτα χρὴ ἀφιστᾶν αὐτὸν, τοῦ τοῦ γείτονος τοίχου, τὴν τοῦ κοπρῶνος πλευρὰν τὴν πρὸς τῷ γείτονι, πήχεις ἓξ καὶ κε· καὶ οὕτω τὴν ὄρυξιν ποιεῖν. εἰ δὲ τῷ χρόνῳ ὑπορυσσομένης τῆς γῆς ἐπικαταλάβοι τῷ προειρημένῳ τῶν τριῶν πήχεων καὶ τρίτου, τηνικαῦτα καταναγκάζεσθαι αὐτὸν, τὸν προειρημένον τοῖχον ποιεῖν, καὶ ταῦτα μὲν ἐν οἷς παράκεινται οἰκήματα. εἰ δὲ ψιλοὶ τόποι εἰσὶν οἱ τοῦ γείτονος, τῶν εἰρημένων μέτρων τὸ ἥμισυ· εἰ δὲ ἀμφοτέρων εἶεν τὰ μέρη τῶν κοπρώνων, ἀφιστάτωσαν πήχεις ἀλλήλων μεταξὺ δύο, τοσοῦτον ποιείτωσαν.

## ΠΕΡΙ ΧΡΙΣΤΗΡΙΩΝ.

τὸν μὴ ἔχοντα ἐν αὐλῇ χριστήρια βουλόμενον δὲ κατασκευάσαι πρὸς τῷ ἐπικοίνῳ τοῦ γείτονος τοίχῳ, χρὴ ποιεῖν εἰς τὰ ἑαυτοῦ μέρη τοῦ ἐπικοίνου τοίχου πρὸς τοῖς γινομένοις χριστηρίοις, τοῖχον ἐγχώρητον· οὗ τὸ πάχος οὐκ ἔλαττον πήχεως καὶ διμοίρου. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ὑπονόμων εἰρήσθω, οὕτω γὰρ ἄφθορος διαμενεῖ, ὁ ἐπίκοινος τοῖχος.

## ΠΕΡΙ ὙΠΟΝΟΜΩΝ.

χρὴ δὲ ἐν τῇ τῶν ὑπονόμων κατασκευῇ καὶ διορθώσει, δέχεσθαι τὴν κατασκευὴν ἀπαλλήλων εἰς τὰς αὐλὰς, εἰς τοὺς οἴκους· διὸ εἰ ἀπὸ αὐλῆς ἐξιᾶσιν ὑπόνομοι, χρὴ τὸν ταύτης δεσπότην ἀνακαθιστᾶν καὶ ποιεῖν τὸ ἀνάλωμα, ἄχρις οὗ ἐπικαταλάβοι ἑτέρας αὐλῆς ἄφεσιν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐφεξῆς ἄχρι τοῦ δημοσίου ὁλκοῦ. εἰ δὲ ὁ δημόσιος ὁλκὸς πολὺ ἀφέστηκε τῆς πλευταίας αὐλῆς, χρὴ αὐτὴν μετὰ τῆς πλευταίας αὐλῆς παρέχειν κατὰ ἀναλογίαν τῶν πρὸ αὐτῆς· τὸ δὲ λοιπὸν μερίζεσθαι

ζεσθαι καὶ εἰς τὰς λοιπὰς, κατὰ ἀναλογίαν τοῦ ἑαυτοῦ μεγέθους. Τοὺς ὑπονομιαίους καράβους οὕτω δεῖ καθαίρειν καὶ ἐπανορθοῦν, ἀρχόμενος ἕκαστος ἀπὸ τῶν ἰδίων τόπων μέχρις ἂν φθάσῃ ἑτέρων δεσποτῶν τόπον. εἰ δὲ κῆπον παρέρχεται ὁ αὐτὸς ὑπονομιαῖος κάραβος, τὸν κύριον τοῦ κήπου ὀρύσσειν τῆς ἀρδευομένης γῆς, καὶ ἀνακαθαίρειν τοὺς νεμομένους, τῆς μυροποιήσεως ὀφειλούσης γίνεσθαι, ἐκ τοῦ νεμομένου τὸν τοιοῦτον κῆπον· τῆς σαπείας ἑπομένης ἔξω τοῦ τοιούτου κήπου. Ὁμοίως δὲ καὶ ἐάν τις γένηται χρεία ὑπαλλαγῆς ὀστράκων καὶ σωληναρίων τῶν καθεδρίων, ἕκαστος ἀπὸ τοῦ ἰδίου καθεδρίου ἀρχόμενος, διορθούσθω μέχρις ἂν φθάσῃ ἑτέρου γείτονος καθεδρίαν.

## ΠΕΡΙ ὙΠΟΝΟΜΟΥ.

Τὸν θέλοντα ἀπὸ ὑπερῴου χρηστείου χαλαστὴν ὑπόνομον ἰδιόπεδον ποιῆσαι, χρὴ μὲν εἰς τὰ ἑαυτοῦ κατασκευάζειν, καὶ μὴ ἐπικοινωνεῖν ἑτέροις τοίχοις. εἰ δὲ προκατάληψις γένηται καὶ δουλεία, καὶ φθορὰ περὶ τοίχῳ τις ἀπὸ ταύτης συμβῇ, τηνικαῦτα τὸν τῆς χαλαστῆς τὴν χρῆσιν ἔχοντα, εἰς τὸ τοῦ τοίχου ἀνάλωμα ἐπιγνῶναι τὸ διπλάσιον. ὁμοίως καὶ ἐπὶ τῶν τῶν εἰς λάκκους χαλώντων, ὄμβρια ὕδατα κατασκευῆς εἰρήσθω. ἑνὶ δὲ λόγῳ πᾶς κρουνὸς ἢ χαλαστὴρ ῥυπαρῶν ὑδάτων, μὴ χαλάτω ἀπὸ οἰκίας εἰς πλατεῖαν ἀγορὰν ἢ στοὰν δημοσίαν ἢ ῥύμην, ἢ ἁπλῶς εἰπεῖν εἰς κοινὴν πάροδον, εἴτε πόλει ἢ κώμῃ· διὰ τὰς γινομένας ἀπὸ τούτων βλάβας τοῖς παριοῦσιν.

## ΠΕΡΙ ὈΡΥΓΜΑΤΟΣ.

Τῷ ἐγχωρείῳ ἢ ψιλῷ τόπῳ ἢ ἐπαύλει τινὶ, βουλομένῳ ὄρυγμα ἢ ἕτερόν τι ποιεῖν πρὸς τὸν τοῦ γείτονος τοίχῳ, τὰ χώματα ῥίπτειν οὐ δεῖ παρὰ τὸν τοῖχον· ἵνα μὴ βλάβη περὶ τὴν οἰκίαν ἔχοντι ἀπὸ τούτου συμβῇ. λόφου γὰρ καὶ παναστήματος γινομένου, εὐάλωτος ἔσται ἡ τοῦ γείτονος οἰκία, ὑγρότητος δὲ

οὔσης ἐν τῇ τοῦ ἐπαναστήματος γῇ, ἢ καὶ ὀμβριμαίων ὑδάτων ἐπιγινομένων, διαφθαρτὸς γενήσεται ὁ τοῦ γείτονος τοῖχος. εἰ οὖν ἀνάγκη τις γένηται καὶ τὸ ὄρυγμα τι παραχωρηθείη τοῦτο ποιῆσαι πρὸς τὸν τοῦ γείτονος τοίχῳ, μὴ ἐᾶσθαι ἐκεῖ τὴν ἐκεῖ ὀρύξεως γῆν πρὸς καιρὸν πολύν, ἀλλ' ἄχρις ἡμερῶν ὀλίγων, ὅτι γὰρ σῆψις ἀπὸ τῶν τοσούτων ἡμερῶν γενήσεται· φυλάξει δὲ καὶ τὴν οἰκίαν αὐτοῦ ὁ γείτων, ὀλίγων οὐσῶν τῶν ἡμερῶν. εἰ δὲ λόφος τις εἰς βοήθειαν εἴη τοῦ τοίχου, τοῦ τὴν οἰκίαν ἔχοντος, μὴ ἐξεῖναι τῷ γείτονι τῷ τὸν ψιλὸν ἔχοντι τόπον, ἀφαιρεῖν τοῦτον, οὐδεὶς δύναται κόπρον πλησίον τοῦ δημοσίου τοίχου ἔχειν, εἰ μὴ τοιαύτην δουλείαν ἔχει. ὀρύττειν γῆν, οὐ χρὴ ἵνα ἐπὶ βλάβῃ τοῦ γείτονος, πρὸς τοῖς αὐτοῦ θεμελίοις· ἀπὸ γὰρ τούτου, οὐκ ὀλίγοι κίνδυνοι τοῖς οἰκήμασι τίκτονται, ἀλλ' ἀποστάντα τὰ εἰρημένα μέτρα ἐπί τι λιμνῶν καὶ κοπροδοχείων ἢ λάκκων, οὕτω ποιεῖν τὴν ὄρυξιν. εἰ δὲ καὶ ὑπὸ τὸ γείτονος θεμελίῳ ἐπισυνάψαι βουληθείη ἐκ νέου ἕτερον θεμέλιον, μὴ ἐξεῖναι αὐτῷ ἀπορύττειν πλέον τοῦ τοῦ γείτονος θεμελίου· συγκατενεχθήσεται γὰρ ὁ παλαιὸς τῇ ὀρύξει.

## ΠΕΡΙ ΦΥΤΩΝ.

Ἡ τῶν φυτῶν καταφύτευσις, μὴ ἀναλόγως τοῖς μεγέθεσι τὴν ἀπόστασιν, ἀπὸ τῶν οἰκιῶν ἔχουσα, οὐ τὰς τυχούσας ταῖς οἰκίαις ἐπιφέρει βλάβας. ῥιζοβολοῦντα γὰρ τὰ φυτὰ ἢ καὶ πρὸς τὸ μεγεθυνθῆναι αὐξανόμενα, καὶ ἐγγίζοντα τοῖς τοίχοις ἢ ταῖς οἰκίαις, ἢ ταῖς θυρίσι, καὶ μάλιστα ταῖς ληνοῖς, ἢ τοῖς τῶν κήπων διείποις, βλάπτει τὰ μέγιστα, ἐκ θεμελίων γὰρ τοὺς τοίχους ὠθεῖ, κλοπῆς δὲ αἰτία γίνεται διὰ τῶν θυρίδων ἐπισκιάζει δὲ τοῖς ἐπιῤῥίπτειν βουλομένοις, ἑτέραν θέσιν, ῥήξεις δὲ καὶ ἐμπτώσεις ἐργάζεται ταῖς ληνοῖς, καὶ τοῖς τῶν κήπων διείπεις· ὅθεν χρὴ τοὺς θέλοντας καταφυτεύειν φυτὰ, ἀφεστάναι τῆς τοῦ γείτονος οἰκίας, μέτρα ταῦτα· εἰ μὴ

ἄμπελον φυτεῦσαι βουληθείη μὴ πλεῖον ἔχων, ἀφίστασθαι πήχεις ἓξ καὶ δίμοιρον. μηλέαν δὲ καὶ ῥοιὰν καὶ τὰ τούτοις ἰσομεγέθη, πήχεις δέκα· συκομοραίαν δὲ ἢ πλάτανον, ἢ αἴγειρον, ἢ τὰ τούτοις ἰσομεγέθη πήχεις η´. εἰ δὲ καὶ τούτων τῶν μεῖζον πεθαίτων οἱ τῶν φυτῶν κλάδοι κατὰ τῶν τοῦ γείτονος οἰκιῶν ἐπαρθῶσι· καρποῦσθαι δεῖ τὸν τὰς οἰκίας ἔχοντα, ἄχρις οὗ ἀπὸ τῶν αὐτῶν οἰκημάτων ἢ δωμάτων φθάνει. τὰ δὲ θαμνώδη, πήχεις τρεῖς καὶ τρίτον· τὰ λαχανώδη δὲ καὶ μὴ γεωργίας ἐπιδεόμενα, τουτέστι κινάρας ἢ πετροσέλινα, ἢ ῥόδα ἢ τὰ τοιαῦτα καθὼς εἴρηται μὴ γεωργούμενα, καὶ πρὸς αὐτῷ τῷ τοίχῳ γενήσεται· ἀρδεύειν δὲ καὶ ἀροφρεύειν, ἄχρις αὐτοῦ τοῦ τριῶν καὶ τρίτου πηχέων ἐξεῖναι τῷ τὸ χωρίον ἔχοντι, καὶ ταῦτα μὲν ἐπὶ τῶν μὴ ἐξ ἀρχῆς ἐχόντων τὰ φυτά· φυτῶν δὲ ὄντων ἐν ψιλοῦ τόπου καὶ τοῦ τοῦ ψιλοῦ τόπου δεσπότου ἐκ καινῆς ποιοῦντος τὰς οἰκοδομὰς, ἀργὰ ἔσται τὰ δηλούμενα περὶ αὐτοῦ μέτρα· αὐτὸς γὰρ καινοτομήσει καὶ οὐ καινοτομηθήσεται, ἐν ἑαυτῷ ἐπιγράψει τὰς ἀπὸ τῶν φυτῶν βλάβας. Ἐάν τις δημόσιον τόπον, ἢ ὁδὸν, ἢ πηγὴν παρ' ἀλλοτρίᾳ χώρᾳ ὀρύττῃ, τὸν ὅρον μὴ παραβαινέτω· ἐὰν τοῖχον, πόδα ἕνα ἀπολείπειν· ἐὰν δὲ οἴκημα, πόδας ἕξ· ἐὰν τάφον ἢ βόθρον ὀρύσσῃ, ὅσον τὸ τοῦ βάθους εἴη, τοσοῦτον ἀπολείπειν· ἐὰν δὲ φρέαρ, ὀργυιάν· εἰ μήπω φρέαρ προϋπάρχει τοῦ γείτονος, καὶ διὰ τοῦ καινοῦ ἔργου βλάπτεται· ἐλαίαν δὲ καὶ συκῆν, πόδας ἐννέα ἀπὸ τοῦ ἀλλοτρίου φυτεύειν· τὰ δ' ἄλλα δένδρα, πόδας πέντε.

## ΠΕΡΙ ΔΕΝΔΡΩΝ.

Ἐὰν δένδρον τοῦ γείτονος ἐν τῷ μεσαυλίῳ κείμενον, μεγάλας ἐκτείναν ῥίζας, τοὺς θεμελίους τῆς ἐμῆς βλάπτῃ οἰκίας, προνοίᾳ τοῦ ἄρχοντος, ἀναγκαζέσθω ὁ γείτων ἐκτέμνειν.

Ὅτι τὸ βλάπτον δένδρον οἶκον ἀλλότριον, ἐκ ῥίζης τέμνεται· τὸ δὲ βλάπτον ἀγρὸν, κλαδεύεται, ἐς ὑπὲρ δεκαπέντε πό-

νῆς εἰσάγεται εἰς πάντα τὰ χειροποίητα ἔργα, εἰ μὴ διὰ γεωργίαν γίνεται. Οὐκ ἔξεστι διὰ χειροποιήτου ἔργου μεταφέρειν τὸν ποταμὸν, πλὴν ἔξεστι κατὰ τῆς ἰδίας ὄχθης ποιεῖν ἔργους, ὥστε μὴ βλάπτειν τὸν ποταμὸν τοὺς ἀγρούς. Ἐὰν ἡ πηγὴ ἀφ' ἧς ἕλκει τις ὕδωρ ξηρανθεῖσα ἐπί τινας χρόνους, αὖθις πρὸς τὰς ἑαυτῆς ἐπανέλθῃ φλέβας, καὶ πάλιν τὸ ὕδωρ ἄρξηται φέρεσθαι, ἀνανεοῦται αὐτῷ ἡ δουλεία, ὡς ἀποκαθίσταται ὁ τοῦ ὕδατος ἑλκισμὸς, καθὼς ἦν τὸ πρότερον. Ἡ δουλεία τοῦ ὕδατος ἐὰν οὕτω συστῇ ὥστε ἐν μόνῳ τῷ μέρει κεχρῆσθαι αὐτῷ, ἢ ἐν ἑνὶ μηνὶ καὶ ὑπὲρ ἐνιαυτὸν ἢ ὑπὲρ μῆνα, διπλασιάζεται ὁ χρόνος τῆς ἀχρησίας, τὸ αὐτὸ καὶ ἐπὶ τῆς ὁδοῦ. Εἰ δὲ ὑπὲρ ἡμέραν ἢ ὑπὲρ ὥραν, ἢ μίαν ὥραν, ἢ μόνην τὴν ἡμέραν, ἢ μόνην τὴν νύκτα, νομίμῳ χρόνῳ φθείρεται· μία γάρ ἐστιν ἡ δουλεία. Ἐὰν εἰς τὸ ἐπίκοινον ῥεῖθρον εἰς τὴν κοινωνῶν δαπανήσῃ ἀνακαινίζων τοῦτο, ἕξει κατὰ τοῦ ἑτέρου τὴν ὑπὲρ αὐτοῦ μόνου τοῦ ἐπικοίνου πράγματος ἀγωγὴν· ἀπαιτεῖν τὸ γενόμενον δαπάνημα ἐφ' οἷς ἀνάλωσεν. Ἐάν τις σοι παραχωρήσῃ δίκαιον ἀντλήσεως εἰς τὸ διαφέρον αὐτῷ ὕδωρ, ἀναγκάζεταί σοι ὡς ἀκόλουθον δουλείαν τῆς ὁδοῦ παραχωρεῖσθαι· ἐπεὶ ἄλλως μὴ δύνασθαι χρήσασθαι, τῷ τῆς ἀντλήσεως δικαίῳ. Οὐκ ἔξεστί τινι σωλῆνας προσαπλῶσαι ἤτοι συζεῦξαι τῷ ἐπικοίνῳ τοίχῳ, ὡς δι' αὐτῶν ἕλκειν ὕδωρ. Ὁ ἔχων δουλείαν τοῦ ποτίζειν καὶ βόσκειν ἐν τῷ ἀγρῷ σου θρέμματα, δύναται κτᾶσθαι δουλείαν, τοῦ ἐν αὐτῷ ποιεῖν καλύβην. Ὁ δ' ἀλλοτρίου ἀγροῦ ἕλκων ὕδωρ, εἰδότος τοῦ δεσπότου τοῦ ἀγροῦ, κτᾶται κατ' αὐτοῦ τοῦ ἀγροῦ δουλείαν τῷ νενομισμένῳ χρόνῳ· τουτέστι τῷ τριετεῖ. Ἐὰν δὲ πρὸ τοῦ παρελθεῖν τοῦτον τὸν χρόνον κωλύσῃ αὐτὸν ὁ δεσπότης τοῦ ἀγροῦ ἐπάγειν τὸ ὕδωρ, οὐ δύναται ἀπαιτεῖν αὐτοὺς τὰ περὶ τὸν ὁλκὸν γινόμενα αὐτοῦ δαπανήματα· ἀλλὰ ὡς αὐτοῦ τοῦ ὁλκοῦ δεσπότης γίνεται, ὁ τοῦ ἐδάφους κύριος ἕως ὅτε

συνέστηκεν ὁ ὁλκός· διαλυομένου γὰρ αὐτοῦ, τὰς ὕλας ὁ πάλαι δεσπότης ἐκδικεῖ. Ἐὰν ὁ προκτήτωρ οὐκ ἠδύνατο κωλῦσαι τὴν τοῦ ὕδατος πάροδον, οὐδὲ ὁ νῦν ἀγοραστὴς δύναται κωλύειν· μετὰ γὰρ τοῦ αὐτοῦ βάρους ἀγοράζειν δοκεῖ. Οἱ χθαμαλώτεροι τῶν ἀγρῶν σιωπηρὰν δουλείαν τοῖς ὑψηλοτέροις παρέχουσιν εἰς τὸ ὑποδέχεσθαι τὰ ἴδια αὐτῶν ὕδατα· κέρδος ἔχοντες ἀντὶ τούτου τοῦ βάρους, τὸ πᾶσαν τὴν λιπαρότητα τῶν ὑψηλοτέρων πεδίων ὑποδέχεσθαι. Ὅτι τρία ἐστὶ καθ' ἃ ὁ κάτω ἀγρὸς δουλεύει τῷ ἄνω ἀγρῷ· νόμος, φύσις τοῦ τόπου, καὶ συνήθεια. Ἐὰν πλησίον τοῦ ἀγροῦ σου ὑδραγώγιον ἔχω, παρέχεται σιωπηρῶς τῇ τοιαύτῃ δουλείᾳ, ταῦτα· ἀνανεοῦν τὸ ῥεῖθρον, καὶ τὸ ἐξιέναι καὶ εἰσιέναι, ἐμέ τε καὶ τοὺς ἐμοὺς τεχνίτας, ἕως ἀνανεώσει τοῦ ὁλκοῦ· χρεωστεῖς δέ μοι καὶ διαστήματα καταλιμπάνειν, ὡς ἂν δι' αὐτοῦ, καὶ ἐκ δεξιοῦ καὶ ἐξ ἀριστεροῦ περιέρχεσθαί με ἕως τὸ ῥεῖθρον· καὶ ἵνα ἐν αὐτῷ ἀποτίθημι γῆν καὶ λίθους, καὶ τὴν ὕλην τὴν ἐκ τοῦ ὁλκοῦ ἀναφερομένην, καὶ ἄσβεστον καὶ ψάμμον, πρὸς ἀνανέωσιν τοῦ ὑδραγωγίου. Ἐὰν πιπράσκων ἀγροῦ μέρος συμφωνήσω δι' αὐτοῦ ἕλκειν ὕδωρ, καὶ μήπω ποιήσαντός μου τὸν ὀχετὸν, ὁ νόμιμος παρέλθῃ χρόνος, σώζεταί μοι τὸ δίκαιον· εἰ δ' ἐπωνησάμην μὲν, μὴ ἐχρησάμην δὲ φθείρεται.

## ΠΕΡΙ ΠΟΤΑΜΟΥ.

Ἐὰν ποταμὸς μέσον δύο ἀγρῶν ῥέῃ, τουτέστι τοῦ σοῦ καὶ τοῦ ἐμοῦ· εἶτα καταβραχὺ καὶ ἀνεπαισθήτως προσθήσῃ γῆν τῇ ἐμῇ γῇ, ὡς μὴ δύνασθαι τινὰ νοῆσαι, πόσον καὶ ἐν ποίῳ χρόνῳ τῆς ἡμετέρας ἐστὶ δεσποτείας, τὸ προστεθειμένον τοῦτο ἐμὸν γίνεται. εἰ δὲ ἡ τοῦ ποταμοῦ βίαια ὁρμὴ μέρος τι τοῦ σοῦ ἀγροῦ ἀφέλοιτο, καὶ τῷ ἐμῷ προσήγαγεν ἀγρῷ, δῆλόν ἐστιν ὅτι τὸ προστεθὲν, τῆς σῆς μένει δεσποτείας· οὐ δὲ γοῦν ἀνεπαισθήτως τοῦτο γέγονεν. Ἐὰν ὕδωρ ἕλκοντός μου δι' ὑδραγωγίου, φέρηται δι'

ἴως

ἕως τόπου τινὸς· μὴ δείκνυται δὲ δι' ὅλου τοῦ ὁλκοῦ τὸ ὕδωρ, φθαρέντος τυχὸν τοῦ ὑδραγωγίου, ἐν τῷ μέσῳ ἀβλαβὴς ἡ κατὰ παντὸς τοῦ ὁλκοῦ δουλεία φυλάττεται.

## ΠΕΡῚ ΔΟΥΛΕΊΑΣ.

Ἡ δουλεία γίνεται ἢ ἐν τῷ ἐδάφει, ἢ ἐν τοῖς κτίσμασιν· ὅταν γὰρ ἔχῃ τις ὁδὸν πλατεῖαν, ἢ μονοπάτιον διέρχεσθαι δι' ἀγροῦ δημοτείου, ἢ ὕδωρ διαβιβάζειν, δουλεία λέγεται ἐδαφική. ὅτε δὲ εἰς τὴν οἰκίαν τοῦ γείτονος ἐπιθήσῃ ξύλα, ἢ ὕδατα κεράμων ἀπολύσῃ, ἢ βάρος θῇ, λέγεται δουλεία ἐν τῷ κτίσματι· βεβαιοῦνται δὲ αἱ δουλεῖαι, ἢ διὰ συμφώνων, ἢ διὰ χρονίας παρατάσεως, ἤγουν δεκαετίας. καὶ τὸ ἕλκειν ὕδωρ ἀπὸ πηγῆς ἀλλοτρίας, δουλεία ἐστίν. οὐ συνίσταται τοιοῦτον εἶδος δουλείας, ὥστε μὴ ἐξεῖναι με ἐν τῷ οἴκῳ μου, τὴν ἑστίαν ἅπτειν, ἢ πυρὰν ἅπτειν καὶ καθέζεσθαι ἢ λούεσθαι, ὅθεν κἂν ταῦτα συμφωνηθῇ, ἀνίσχυρα κατὰ νόμους εἰσίν. Ἐὰν τις πιπράσκων οἶκον εἴπῃ τῷ ἀγοραστῇ γενικῶς, ὅτι δουλεία βεβάρηται ὁ οἶκος, οὐκ ἀναγκάζεται δουλείας ἐλεύθερον αὐτὸν παραδοῦναι· ὅθεν κἂν μὴ ἐδήλωσε, δύναται δουλείαν ἐπιθεῖναι. πρὸ μέντοι τῆς παραδόσεως, ἢ ἵνα οἴκῳ τῷ πράτου δουλεύσῃ, ἢ δημοτείῳ οἴκῳ. εἰ δὲ πιπράσκων ὅτι ἰδικῶς ἔχει, τῷ δεῖνι δουλεύει ὁ οἶκος, καὶ παραχωρήσει ἐκείνῳ τὴν δουλείαν, ζήτησιν οὐκ ἔχει. τὸ μὴ ἐξεῖναι τινὶ καπνὸν, ἀπὸ δεψοῦ ἢ καπνοδόχου βαλανείου ἐπιπέμπειν τῷ γείτονι, ἢ κόπρον ἢ ὕδωρ ῥίπτειν, εἶδος δουλείας ἐστίν. Ἐὰν χρεωστῶ σοι δουλείαν τοῦ μὴ κτίζειν καὶ κτίσω, καὶ παρέλθοι χρόνος, ἀναιρεῖται σοι ἡ κατ' ἐμοῦ δουλεία διὰ τὸν χρόνον. Ἐὰν χρεωστῇς μοι τοιαύτην δουλείαν, ὥστε μὴ ἐξεῖναι σε εἰς ὕψος αἴρειν τὴν σὴν οἰκίαν, ἵνα μὴ ἐμποδίσῃς τῷ φωτὶ τῆς ἐμῆς οἰκίας· ὅπερ διὰ τῶν θυρίδων τῶν ἐμῶν ἐν τῷ ἐμῷ οἴκῳ ἐχορηγεῖτο μοι. ἐγὼ δὲ ἐπιφελόμενος τὴν δουλείαν ἐπὶ δέκα ἢ εἴκοσιν ἔτη· ἢ κλεῖσαι τὰς

ἐμὰς θυρίδας, ἢ ἀνῳκοδόμησα αὐτὰς, τουτέστιν ἔφραξα, καὶ ἔμεινε τοῦτο τὸ σχῆμα ἐπὶ τῶν εἰρημένων χρόνων, τηνικαῦτα διαφθείρεται τὸ τῆς δουλείας δίκαιον, ἡνίκα ὕψωσας σὺ τὴν σὴν οἰκίαν, καὶ ἔμεινεν αὐτὴ εἰς ὕψος ἀχθεῖσα χρόνον δεκαετῆ ἢ εἰκοσαετῆ. ἰδοὺ γὰρ ἐνταῦθα κατὰ τῇ δουλείᾳ οὐκ ἐχρησάμην, ἐν τῷ πεφραγμένας ἔχειν τὰς θυρίδας, καὶ σὺ σαυτῷ περιεποίησας τὴν ἐλευθερίαν τῷ ἀνυψῶσαί σε, διὸ ἀπώλετό μοι ἡ δουλεία. εἰ μέντοι γε ἐμοῦ κεκλεισμένας ἔχοντος τὰς θυρίδας ἐπὶ τοσοῦτον χρόνον οὐδὲν παρὰ σοῦ γέγονε καινότερον, τουτέστιν οὐκ ἀνύψωσας τὸν σὸν οἶκον, ἀκέραιός μοι ἐστὶν ἡ δουλεία, καὶ ἐὰν ἀνοίξω τὰς θυρίδας μετὰ δέκα ἢ εἴκοσιν ἔτη· σὺ δὲ θέλεις ἀνυψῶσαι, δύναμαί σε κωλύειν· ἀλλὰ τὸ προσόν μοι δίκαιον.

Ἐὰν παραχωρηθῇ μοι δουλεία, ὥστε ἐμβῆναι μοι τοὺς ἐμοὺς δοκοὺς τοῖς σοῖς ἐπιτεθεῖναι οἴκοις, καὶ τὸν σὸν βαρύνειν τοῖχον· εἶτα ἀποθέμενος τὸν σὸν συμπτύξας τοῖχον ἐκεῖ, τοὺς ἐμοὺς δοκοὺς, ἀφελόμενος δέ με τὰ ταῦτα, καὶ δεκαετίαν ἔμεινα, μὴ ἀντιτιθέμενος ἐν ταῖς γενομέναις ὀπαῖς τοὺς ἐμοὺς δοκούς. εἰ μὲν ἔμειναν αἱ ὀπαὶ οὕτως ἀνεῳγμέναι ὥσπερ ἦσαν ὅτε ἐλάμβανον τοὺς ἐμοὺς δοκοὺς, οὐδὲ εἰς τὸν χρόνον περιποιήσει ἐλευθερίαν· εἰ δὲ ἐμοῦ τοὺς δοκοὺς ἀφελομένου, σὺ τὰς ὀπὰς ἔφραξας καὶ ἀνῳκοδόμησας αὐτὰς, καὶ μετὰ τὸ ἀνῳκοδόμησας δέκα ἢ εἴκοσιν ἔτη παρῆλθον, προσεγένετό μοι ἡ ἐλευθερία· ἀλλὰ τῆς χρήσεως γὰρ ἔλαβον τὴν δεσποτείαν ταύτην, ἐπὶ τοσοῦτον χρόνον ἀνοικοδομηθείσας ἔχων τὰς ὀπάς. εἰ δὲ μηδὲν ἐποίησας καινότερον· ἀλλ᾽ εἴασας ταύτας ἐπὶ σχήματι, σώζεταί μοι διαπαντὸς τὸ τῆς δουλείας δίκαιον· καὶ βουληθέντι μοι τυχὸν μετὰ δέκα ἢ εἴκοσιν ἔτη, πάλιν ἀντιτίθεσθαι τοὺς δοκοὺς κατὰ τὸν σὸν τοῖχον, ἐν ταῖς αὐταῖς ὀπαῖς, οὐδὲν ἐναντιωθήσεται, ἀλλὰ τὸ μὴ κτήσασθαί σε ἐλευθερίαν ἐκ τοῦ χρῆσθαι.

Τῆς ἐπὶ τάφον ἀγούσης ὁδοῦ, οὐδέποτε ἡ δουλεία τῇ τοῦ χρόνου παραδρομῇ, ἐκ τοῦ μὴ χρῆσθαι φθείρεται. Ὅς τις χω-

εἰς

εἰς καλδίσεως βασιλικῆς καταπεμφθείσης, παρὰ ἐπάρχῳ τῆς πόλεως, πολλὰς ῥύμας, ἢ μέρη τούτων, τοῖς ἰδίοις ἀναφράξει οἴκοις, ἢ καταχρήσεται, ταῖς στοαῖς εἰς οἰκίαν χρῆσιν ἀφελθὲν ἀναμφισβητήτως τὰ ἀρχαῖα δίκαια τῇ πόλει ἀποδώσει.

Πᾶσα δουλεία καὶ πᾶσα χρῆσις ἐπὶ τῶν μὴ κεχρημένων διὰ τῆς τοῦ χρόνου παραδρομῆς, ἐπὶ μὲν τῶν παρόντων, δεκαετίᾳ ἐπὶ δὲ τῶν ἀπόντων, εἰκοσαετίᾳ ἀπόλλυται.

ΠΕΡῚ ΤΗ͂Σ ΚΑΚΗ͂ ΠΊΣΤΕΙ ΝΟΜΗ͂Σ.

Οὐκ ἔστι κακῇ πίστει νομεὺς, ὁ δεδωκὼς τὸ τίμημα.

ΠΕΡῚ ΤΗ͂Σ ΚΑΛΗ͂ ΠΊΣΤΕΙ ΝΟΜΗ͂Σ.

Ὁ καλῇ πίστει μὲν ἀγοράσας, μετὰ δὲ τὸ γνῶναι τοῦτο εἶναι ἀλλότριον, κτίσας ἐν αὐτῷ, τὰ μὲν δαπανήματα οὐκ ἀπαιτεῖ· συγχωρεῖται δὲ τοῦ ἐδάφους περιελεῖν τὸ οἰκοδόμημα, δίχα ζημίας τοῦ ἐδάφους τοῦ δεσπότου. ΣΧΟΛ. Ὁ ἐν εἰδήσει ἀγοράζων πρᾶγμα ἀλλότριον, κακῇ πίστει νομεὺς κυρίως κατονομάζεται· καὶ τοὺς καρποὺς πάντας οὓς ἔφθασε λαβεῖν ἐκ τοῦ πράγματος, οὐ μὴν ἀλλὰ καὶ ὅσους μὲν οὐκ ἠδυνήθη λαβεῖν, ὁ δὲ ἀληθὴς δεσπότης τοῦ πράγματος κερδῆσαι ἠδύνατο, ἀποκαθίστησι μετὰ τοῦ πράγματος τῷ ἀληθεῖ δεσπότῃ αὐτοῦ, κινοῦντι καὶ ἐκνικῶντι αὐτόν. οὐ πάντοτε ὁ διδοὺς τίμημα, καὶ ὁ ἀγοράζων ἐν εἰδήσει ἀλλότριον, κακῇ πίστει νομεὺς τελείως ἐστίν· ἐὰν γάρ τις ἔχων πολλοὺς δανειστὰς, καὶ βουλόμενος περιγράψαι αὐτοὺς, πωλήσῃ μοι τὸν ἀγρὸν αὐτοῦ, γινώσκοντι διὰ περιγραφῆς τῶν δανειστῶν αὐτοῦ τὴν τοῦ πράγματος διάπρασιν γίνεσθαι, οὐ λέγομαι τελείως κακῇ πίστει νομεὺς, ἀλλὰ κατά τι μὲν ὡς τοιοῦτος νομεὺς καταβλάπτομαι· ἐν ἑτέροις δὲ θάλπομαι. εἰ δὲ ἔλθοιεν οἱ δανεισταὶ τοῦ τὸ πρᾶγμα μοι πεπρακότος, καὶ ἀπαιτῶσιν αὐτὸ ἐξ ἐμοῦ, οὐ πάντας τοὺς καρποὺς οὓς ἀπὸ τοῦ πράγματος ἔλαβον, ἢ λαβεῖν ἐκεῖνοι ἠδύναντο, σὺν τῷ πράγματι πρὸς αὐτοὺς ἀποκαταστῆσαι ἀναγκασθή-

σομαι, ἀλλὰ τοὺς μὲν ἐν τῷ καιρῷ τῆς πράσεως ἠρτημένους· τυχὸν δὲ τὸ πιπρασκόμενον ἀμπελῶν ἦν, ἢ τοὺς καρποὺς κατ' ἐκεῖνον τὸν καιρὸν κρεμαμένους εἶχεν ἐν ἑαυτῷ ἀποκαταστῆσαι καταδικασθήσομαι· οὐ μόνον δὲ τούτους, ἀλλὰ καὶ οὓς λαβεῖν ἔφθασα μετὰ τὸ κατ' ἐμοῦ κινῆσαι τοὺς δανειστὰς τοῦ τὸν πράσαντός μοι. τοὺς δὲ ἐν τῷ μέσῳ χρόνῳ κερδαίνω, ὥσπερ καὶ κακῇ πίστει νομεύς εἰμι, κἂν τὸ τίμημα δέδωκα, καὶ καλῶς· καθὸ μὲν γὰρ ὁ πωλήσας μοι δεσπότης ἐτύγχανε, καὶ ἀλλότριον οὐκ ἦν μοι τελείως τὸ πιπρασκόμενον δύναμαι κερδαίνειν τοὺς ἐν τῷ μέσῳ καρπούς, καθὸ δὲ ἠπιστάμην γίνεσθαι τὴν πρᾶσιν πρὸς περιγραφὴν τῶν δανειστῶν τοῦ πωλοῦντός μοι, ὡς κακῇ πίστει νομεὺς κατακρίνομαι.

Ἐὰν ἀλλότριον ἀγρὸν ἀγνοῶν τις καλῇ πίστει ἀγοράσας, σπείρῃ ἢ κτίσῃ ἐν αὐτῷ, χρὴ τὸν δικαστὴν μὴ ὡς ἔτυχεν ἀποφαίνεσθαι, ἀλλὰ τὰ πρόσωπα, καὶ τὰς αἰτίας σκοπεῖν. τὰ μὲν πρόσωπα οὕτως, ἐὰν ὁ ἀληθὴς δεσπότης τοῦ ἀγροῦ, εὔπορος ὢν ταῦτα ἔμελλε ποιεῖν καὶ οἰκοδομεῖν, ἢ γεωργεῖν τὸν ἀγρόν, καταδικάζειν αὐτὸν δοῦναι τὴν γινομένην δαπάνην, καὶ οὕτω τὸν ἀγρὸν ἀναλαβεῖν· τουτέστιν εἰς ὅ τι βελτίων ἐγένετο ὁ ἀγρός, εἰς τὸ δαπάνημα αὐτὸν καταδικάζειν· ταῦτα μὲν οὖν εἰ εὔπορος ὢν ὁ κύριος τοῦ ἀγροῦ, ἔμελλε ταῦτα ποιεῖν. εἰ δὲ τυχὸν πένης ὢν οὐκ ἐβούλετο ταῦτα ποιεῖν, ἀρκεῖ τῷ καλῇ πίστει νεμομένῳ τὸν ἀγρόν, δίχα βλάβης τοῦ ἀγροῦ, περιελεῖν πάντα ὅσα ἐποίησεν, εἰ μὴ ὁ τοῦ ἀγροῦ δεσπότης ἑτοίμως ἔχει δοῦναι τῷ νεμομένῳ, ὅσα μέλλει λαμβάνειν μετὰ τὸ καταλυθῆναι τὸ οἰκοδόμημα, τὰς ὕλας πιπράσκων. τὰς δὲ αἰτίας οὕτω χρὴ σκοπεῖν· τυχὸν εἰ ὁ τοῦ ἀγροῦ δεσπότης πράσιμον αὐτὸν ἔχει, ὡς μέλλει πωλεῖν αὐτόν· τότε γὰρ οὐ συγχωρεῖται κἂν ἄπορος ἐστί, μόνην τὴν τῶν ὑλῶν παρέχειν διατίμησιν, ἀλλ' εἰς ὅ τι βελτίων γέγονεν ὁ ἀγρὸς καταδικάζεται. Ὁ βουλόμενος πλησίον ἀλλοτρίου ἀλωνίου οἰκοδομεῖν, ἐν ᾧ καταβλάπτει τὸν τοῦ

του δεσπότου, κωλύεται ὑπ' αὐτοῦ. Ἐὰν ἐπὶ πέντε ἐνιαυτοὺς μὴ χρησάμενος τῇ τοῦ ἀγροῦ μου δουλείᾳ, πωλήσω αὐτὸν ἑτέρῳ, ἀφαιρεῖται τὰ πέντε ἔτη τῇ ἀγορασίᾳ, ἵνα ἐκεῖνος ἐὰν ἐπὶ πέντε ἐνιαυτοὺς ἄλλους μὴ χρήσηται τῇ δουλείᾳ, ἐκπέσῃ αὐτῆς. εἰς μὲν γὰρ τὸ κτήσασθαι ἐλευθερίαν τῆς δουλείας, τὸν αὐτὸν ἀπαιτοῦμεν εἶναι παρ' ὅλον τὸν νόμιμον καιρόν· εἰς δὲ τὸ ἀπολέσαι, διὰ τῆς ἀχρησίας ἀρκούμεθα, τοῦ μὴ δὲ χρήσασθαι καὶ μόνον παρ' ὅλον τὸν τοῦ νόμου καιρὸν, καὶ οὐ πολυπραγμονόμεθα, εἴτε εἷς, εἴτε πλείους εἰσὶν οἱ μὴ χρησάμενοι. Ἡνίκα δημοσία ὁδὸς, ἢ σεισμοῦ συμβεβηκότος, ἢ ἐπικλύσαντος αὐτὴν ποταμοῦ ἀπόλλυται, ὁ πλησιάζων δεσπότης ἀναγκάζεται παρέχειν τὴν δημοσίαν ὁδὸν διὰ τῶν ἰδίων τόπων.

Πάντα τὰ χερσαῖα, τὰ θαλάττια τὰ ἐναέρια ζῶα, τῶν λαμβανόντων γίνεται, μετὰ καὶ ὧν τίκτουσι· τὸ γὰρ μηδενὸς ὂν, τοῦ προκαταλαμβάνοντος γίνεται. Νῆσος ἐν θαλάττῃ φυομένη, τοῦ προκαταλαμβάνοντος γίνεται. Νῆσος ποταμία, εἰ μὲν ἐν τῷ μέσῳ φυῇ, τοῖς ἐν ἑκατέρᾳ ὄχθῃ κεκτημένοις, κατὰ τὸ μέρος τοῦ πλάτους διοίσει· εἰ δὲ τῷ ἑνὶ πλησιάσει αὐτοῦ ἔσται. Ὁ ἐν αἰγιαλῷ κτίζων, δεσπόζει τοῦ κτισθέντος· ὁ δὲ ἐν ὄχθῃ ποταμοῦ κτίζων, οὐ δεσπόζει αὐτῶν. Αἰγιαλός ἐστι, τόπος μέχρις οὗ τὸ χειμέριον κῦμα ἔξεισιν, ὥς περ οὖν κᾀν τῷ θέρει μέχρι τῶν τόπων ἐκείνων, τὸν αἰγιαλὸν ὁριζόμεθα.

Ἐὰν τινες ὅπου δήποτε διὰ προσχώσεως προσκτήσωνται γῆν, δεσπόται αὐτῆς γίνονται.

## ΠΕΡΙ ΤΗΣ ΕΝ ΑΓΡΩ ΟΙΚΗΣΕΩΣ.

### ΝΕΑΡΑ τοῦ καίσαρος Λέοντος λϛ΄.

Ὁρίζομεν τοὺς ἐπὶ νοῦν βαλλομένους ἐν ἀροσίμοις τόποις καινῶν οἰκήσεων κατασκευὴν, εἰ μὲν ἡ ἀφθονία παρέχει, δυσὶ τόξου βολαῖς ἐκ τῶν γειτόνων ὁρίων, μετρεῖσθαι τὸ διάστημα τῆς νέας κατασκευῆς. εἰ δ' οὐ χαρίζεται δι' ἔνδειαν ἀφθο-

νίας τοῦτον μέτρον ἡ χώρα τῷ ἀξιώματι, μετρεῖσθαι καὶ μιᾶς τόξου βολῆς· ἐντὸς δὲ τοῦ ὡρισμένου ὁρίσματος, οὐδενὶ παρέχεται ἄδεια τῆς τοιαύτης τῶν οἰκήτων νεουργίας. Αὕτη ἡ νεαρὰ καὶ ἐν τῷ περὶ νομῆς καὶ δεσποτείας ἁρμόζει τίτλῳ.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂ ΝΕΑΡΑ` μϛ. Ἀγρῶν ἀλλήλοις διαφόρου δεσποτείας παρακειμένων, καὶ τοῦ μὲν ὑπερκειμένου ἔχοντος τὴν χώραν· τοῦ δὲ ὑποκειμένου ὄντος, καὶ ἐν ἐπιπέδῳ ὁριζομένου. ἐὰν ὁ ὑπερκείμενος ἀγρὸς μέρει τινὶ συγκατασπασθεὶς, ἢ σὺν φυτοῖς, ἢ τούτων χωρὶς, τὸν ὑποκείμενον τὸ ῥῆγμα δεξάμενον ἐπικαλύψῃ, μὴ ἁπλῶς ἔχειν ἄδειαν, μήτε τὸν δεσπότην τοῦ ὑποβεβηκότος ἀγροῦ, ὡς ἰδίας αὐτὸν ποιεῖσθαι τῆς κατασπασθείσης ὕλης, τοῦ ἐν τοῖς αὐτοῦ ὁρίοις ἐπίκειται· μήτε μὴν τὸν τοῦ ὑπερκειμένου κύριον, καὶ τὴν ῥῆξιν πεπονθότα, κἀκεῖνον προσφιλονεικεῖν τῶν ὁρίων κυριεύειν, ὡς τὸ ῥῆγμα τὸ ὑπερπεπτωκὸς ὑποδέδεκται. ἀλλὰ τὸν τοῦ ὑποκειμένου ἀγροῦ κύριον, παραχωρεῖν τῷ τοῦ ὑπερκειμένου ἀγροῦ κυρίῳ· εἰ βούλοιτο τὴν κατασπασθεῖσαν ὕλην εἴτε σύμφυτος εἴη, εἴτε φυτῶν ἔρημος, ἀναλαβεῖν καὶ ἀνακομίζεσθαι· τὸν δὲ, τῶν δύο αἱρεῖσθαι τὸ ἕτερον, ἢ τὴν ὕλην λαβόντα, καθὼς ἐξ ἀρχῆς δεσπόζειν αὐτῆς κειμένης ἐν τοῖς ἰδίοις ὁρίοις, ἢ εἰ τοῦτο μὴ βούλοιτο, ἀπέχεσθαι παντελῶς αὐτὸν μετὰ τῆς ὕλης, καὶ τῶν δεξαμένων ταύτην ὁρίων, καὶ μὴ παρέχειν πράγματα τῷ τοῦ ὑποδεξαμένου ἀγροῦ τὰ συγκατασπασθέντα δεσπόζοντι. τὰ αὐτὰ καὶ ἐπὶ οἰκιῶν παρακειμένων ἀλλήλαις, τῆς μὲν ὑπερκειμένης· τῆς δὲ, ὑποκειμένης.

ΠΕΡΙ` λειτουργιῶν, πλωΐμων καὶ κομμερκίου. τίτλ. ε.

Τῶν λειτουργιῶν, αἱ μὲν, εἰς πρόσωπα τίθενται, καὶ καλοῦνται προσωπικαὶ, ὡς ὅταν τις δι᾽ ἑαυτοῦ ἀγγαρείαν, ἢ ἑτέραν τινὰ δουλείαν, τῷ δημοσίῳ ἀποδιδῷ· αἱ δὲ, εἰς κτήσεις τινὰς καὶ οὐσίας, καὶ καλοῦνται οὐσιακαί· εἰσὶ δὲ αὗται μὲν αἱ οὐσια-

καὶ

καὶ δηλονότι, καὶ μονιμώτεραι· αἱ δὲ προσωπικαὶ, εὐχερέστερον ἐναλλάσσονται, τῇ γὰρ τοῦ προσώπου μεταπτώσει, ἢ πλεῖα λείψει, καὶ αὗται συναπόλλυνται. οὐ δυνατὸν ἀπαργυρίζεσθαι λειτουργίαν, τουτέστιν ἀντὶ τοῦ λειτουργίας καὶ τοῦ ἐργάζεσθαι αὐτὴν, διδόναι χρήματα· ὡς ὅταν τις διὰ τὴν ἐπικειμένην αὐτῷ δημοσιακὴν δουλείαν, πειρᾶται χρήματα ἀντὶ ταύτης διδόναι καὶ ἀπολύεσθαι, τοῦτο δὲ γίνεται ὅταν σωματικὴ, ἀλλ᾽ οὐ χρηματικὴ λειτουργία τινὶ ἐπίκειται. τῷ λειτουργίαν ἔχοντι ἐπικλᾶται ἤγουν ἐπιτίθεται καὶ τιμὴ, τῷ δὲ τιμὴν ἔχοντι, οὐκ ἐπικλᾶται ἐνέργεια.

## ΠΕΡΙ ἘΚΚΛΗΣΙΑΣ.

Ὅτι ἐκκλησία οὐ λειτουργεῖ, εἰ μὴ εἰς ἀνανέωσιν γεφύρας, καὶ ὁδοστρωσιῶν· ὑπόκειται δὲ καὶ ἀγγαρείαις ἐν καιρῷ στρατοπέδου, ἐν τούτοις δὲ καὶ ἀξία, καὶ οἶκος ἀγγαρευέσθω ἢ παραγγαρευέσθω. οἱ τῶν ἐπισκόπων κληρικοὶ ἀπὸ μὲν τῶν προσωπικῶν λειτουργιῶν, ἐξκουσσεύονται, ἀπὸ δὲ τῶν κτηματικῶν, οὔ. πᾶς εἰς τὸν λιμένα καὶ τὸν ἀγωγὸν καὶ τὴν κατασκευὴν τῶν τειχῶν συνεισφερέτω ὑπηρεσίας ἐκ μηδεμιᾶς ἐξκουσατευόμενος. ὁ ἔχων δεκαὲξ παῖδας, πάντων λειτουργημάτων ἀπαλλάττεται. οἱ ἀρτοποιοὶ, μηδεμιᾷ ὑποκείσθωσαν λειτουργίᾳ, μήτε αὐτοὶ, μήτε τὰ τούτων ζῶα, ὡς ἂν ἀπερισπάστως τὸν ἄρτον ἐργάζονται. οἱ ὁπλοποιοὶ, ἀρχιατροὶ, γραμμάτων διδάσκαλοι, ζωγράφων παιδευταὶ, τοῦ βάρους τῶν μετάτων, ἐλεύθεροι διατηρείσθωσαν. Ἡ προσώποις διδομένη ἀτέλεια, οὐ διαβαίνει εἰς κληρονόμους· εἰ δὲ γένει ἢ ἀπογόνοις δοθῇ, οὐχ ἁρμόζει τοῖς ἀπὸ θηλυγονίας.

Ἁρμόζει αὕτη καὶ τοῖς ἐκ θηλυγονίας κατὰ τὴν νεαράν.

τοῖς τέλεσιν, οἱ ἀγροὶ οὐ μὴν τὰ πρόσωπα ἐνέχονται.

τὰ δημόσια τέλη, οὐκ εἰσὶ κατὰ προσώπων, ἀλλὰ κατὰ πραγμάτων, καὶ δεῖ τὸν ἄρχοντα τῆς ἐπαρχίας σπουδάζειν, ἵνα μη-

δεὶς ὑπὲρ ὧν οὐ νέμεται συντελῇ.

## ΠΕΡῚ ΤΩ͂Ν ΛΊΘΟΥΣ ΚΟΠΤΌΝΤΩΝ.

Ἐὰν λίθους τινὲς εἰς ἰδιωτικὸν τόπον κόπτωσι, δέκατον τῷ δημοσίῳ, καὶ δέκατον τῷ δεσπότῃ διδότωσαν, τὸ δὲ λοιπὸν ἐχέτωσαν αὐτοὶ ὑπὲρ κόπου. Ἐν ἑκάστῳ ἐνιαυτῷ, δεκαεπτὰ κεράτια εἷς ἕκαστος ἄνθρωπος χρυσολέκτης παρεχέτω· οὐ μόνον τῆς ποντικῆς διοικήσεως, ἀλλὰ καὶ τῆς ἀσιανῆς.

Πᾶς ὑποκείμενος τέλει οἵῳ δήποτε, ἀπαιτούμενος αὐτὸ, εἰ δείκνυσιν ἀποδείξεις παρελθόντων τριῶν ἐτῶν, μὴ ἀπαιτείσθω τῶν ὄπισθεν τούτων χρόνων ἐπιζητουμένων τελῶν.

Ὁ ὑπὲρ εἴκοσιν ἔτη στρατευσάμενος, ἀπέχεται ῥυπαρῶν λειτουργιῶν. Περὶ παρελθόντων δημοσίων, ἤτοι ὀπισθοτελειῶν, οὐκ ἐνάγεταί τις μετὰ τεσσαράκοντα ἔτη. Ὅτι πάντες ὀφείλουσι κομμερκεύεσθαι.

## ΠΕΡῚ ΠΡΕΣΒΕΥΤΩ͂Ν.

Ὅσα οἱ πρεσβευταὶ τῶν ἀλλοφύλων ἐθνῶν ἐπιφερόμενοι παραγίνονται, εἰ μὲν ἀπὸ τοῦ ἔθνους αὐτῶν πρὸς ῥωμαίους ἤγαγον, τελωνείσθωσαν· εἰ δὲ ἀπὸ ῥωμαίων ὑπὲρ τὰ οἰκεῖα βαστάζουσιν, ἔστωσαν ἀτελώνητα.

## ΠΕΡῚ ΚΛΕΠΤΟΤΕΛΩΝΗΜΑΤΟΣ.

Πενταετίας παραδραμούσης, οὐκέτι ζητεῖ ὁ δημόσιος τὸ κλεπτοτελωνηθὲν τέλος, ἤτοι τὸ κομμέρκιον, ἀλλ' οὐδὲ πρὸ τῆς πενταετίας ἐν ᾧ μὴ φαίνεται τὸ πρᾶγμα· μὴ δὲ κατὰ δόλον κρύπτεται, ἀλλὰ ἀπὸ λόγου τυχόντος. Ὁ κατὰ πλάνην καὶ οὐ κατὰ ἀπάτην εἰς τὸ κλεπτοτελώνημα ἐμπεσὼν, διπλοῦν δίδωσι τὸ τέλος· ὁ δὲ κατὰ ἀπάτην ὑπὲρ τοῦ μὴ δοῦναι τὸ τέλος καὶ ἐλεγχθεὶς ἀπόλλυσι τὸ φορτίον.

## ΠΕΡῚ ΜΕΡΊΔΩΝ ΤΩ͂Ν ἘΚ ΒΥΘΩ͂Ν ἘΠΑΙΡΟΜΈΝΩΝ. Τίτλ. ϛ.

Ἐὰν χρυσίον ἢ ἄργυρος, ἢ ἕτερόν τι ἐκ βυθοῦ ἐπαρθῇ,

ἀπὸ

ἀπ' οὐργιῶν ὀκτὼ, λαμβανέτω ὁ ἀποσώζων τὸ ἥμισυ, διὰ τὸν κίνδυνον τοῦ βυθοῦ· τῶν δὲ ἐκριπτομένων ἀπὸ θαλάσσης εἰς γῆν, καὶ εὑρισκομένων ἐπὶ πῆχυν ἕνα, λαμβανέτω ὁ ἀποσώζων, δέκατον μέρος τῶν ἀποσωζομένων. λαμβανέτωσαν οἱ ὑποδέκται, τοῦ μὲν σίτου τὴν πεντηκοστὴν, οἴνου δὲ καὶ λαρδοῦ εἰκοστὴν, τῶν δὲ κριθῶν τὴν τεσσαρακοστήν· οἱ δὲ ἀρμένιοι ὑποδέκται, καὶ κριθῆς καὶ σίτου, τεσσαρακοστὴν λαμβανέτωσαν· οἴνου δὲ καὶ λαρδοῦ πεντεκαιδεκάτην μοῖραν λαμβανέτωσαν.

ΠΕΡΙ` ΕΥΡΕΣΕΩΣ ΘΗΣΑΥΡΟΥ.

Εἰ δοῦλός μου ἢ υἱός μου εὕροι θησαυρὸν, εἰ μὲν ἐν ἀγρῷ ἑτέρου, μέρος· εἰ δὲ ἐν τῷ ἐμῷ, τὸ πᾶν προσπορίζει μοι. Εἰ ἐν τῷ ὑποτεθέντι μοι ἀγρῷ ἢ οἴκῳ εὕρω θησαυρὸν, μέρος δίδωμι τῷ χρεώστῃ· τὸ δὲ λοιπὸν, οὐδὲ ἐὰν λάβω τὸ χρέος ἀποκαθιστῶ. Ἐὰν ἐν δημοσίῳ τόπῳ, ἢ βασιλικῷ, ἢ ἀφωσιωμένῳ εἰς ταφὴν, ἢ μνημείῳ θησαυρὸς εὑρεθῇ, τὸ ἥμισυ τῷ δημοσίῳ διαφέρει· ὁ δὲ ἀποκρύπτων τὸ διαφέρον τῷ δημοσίῳ μέρος, τὸν ὅλον θησαυρὸν ἀποδίδωσιν. οὐδεὶς δὲ μηνύειν ἑαυτὸν εὑρηκέναι θησαυρὸν, ἀναγκάζεται, εἰ μὴ μέρος αὐτοῦ τῷ δημοσίῳ διαφέρει.

ΠΕΡΙ` ΣΚΥΛΩΝ.

Οἱ κατὰ τῶν πολεμίων στήσαντες τρόπαιον, σκύλων τινῶν ὡς εἰκὸς εὑρισκομένων, τοῦ ἕκτου μέρους μόνου ἀφαιρουμένου τῷ δημοσίῳ, ἐξ ἴσης μοίρας ὅτε ἄρχοντες καὶ οἱ ἀρχόμενοι, τὸ ὑπόλοιπον ἅπαν μεριζέτωσαν· ἀρκεῖ γὰρ τοῖς ἄρχουσιν, ἡ προσθήκη τῶν γερῶν αὐτῶν. εἰ δὲ εὑρεθῶσί τινες ἐκ τῶν αὐτῶν ἀρχόντων διαφερόντως ἀνδρισάμενοι, ὁ στρατηγὸς ἐκ τοῦ εἰρημένου μέρους τοῦ δημοσίου, ἄδειαν ἐχέτω φιλοτιμήσασθαι αὐτοὺς, κατὰ δὲ τὴν μερίδα τῶν ἐν τῷ πολέμῳ εὑρισκομένων, καὶ ὁ ἐν τοῖς τούλφοις φύλαξ καταλειπόμενος λήψεται

ΠΕΡΙ` ΔΙΚΑΙΟΥ ΥΠΟΣΤΡΟΦΗΣ. Τιτλ. ζ΄.

Οἱ μεθ' ὅπλων ἡττηθέντες, καὶ τοῖς πολεμίοις ἑαυτοὺς ἐκ-

δεδωκότες, οὐκ ἔχουσι δίκαιον ὑποστροφῆς· ὑποστροφῆς δὲ δίκαιον ἐστὶν, ἐπανάληψις καὶ τῆς προτέρας καταστάσεως καὶ τῶν ἀφαιρεθέντων πραγμάτων αὐτῷ, καὶ ὁ αὐτόμολος, ἐλεύθερος ἀνήρ τε καὶ γυνὴ, τὸ δίκαιον τῆς ὑποστροφῆς οὐκ ἔχει.

Αὐτόμολός ἐστιν, οὐ μόνον ὁ ἐν καιρῷ πολέμου πρὸς τοὺς ἐχθροὺς ἀπελθὼν, ἀλλὰ καὶ ὁ ἐν καιρῷ τῶν ἀνακωχῶν, πρὸς ἔθνος μὴ ἔχον πρὸς ἡμᾶς φιλίαν, ἀπελθὼν, ἤτοι ἀποφυγών.

Τὸ ἐν πολέμῳ λαμβανόμενον ἀνδράποδον, ἐν πραίδα ἐστὶν, οὐ μὴν διὰ δικαίου τῆς ὑποστροφῆς ἐπανέρχεται.

ἼΣΤΕΌΝ, ὡς ἔνια τῶν παρόντος τίτλου, συνετέθη τοῖς τοῦ ιαʹ τίτλου, καὶ ζήτει ἐκεῖσε.

ΠΕΡῚ ὙΙΟΘΕΣΊΑΣ ἘΝ Ωʹ, ΚΑῚ ΠΕΡῚ εὐνούχων, καὶ περὶ γυναικῶν. Τίτλ. ηʹ

Εὐνοῦχοι εἰς θέσιν τινὰ οὐ λαμβάνουσιν, ἐπειδὴ οὐδὲ παιδοποιεῖν δύνανται· οἱ δὲ σπάδωνες λεγόμενοι εὐνοῦχοι, ἤτοι οἱ ἐκ φύσεως εὐνοῦχοι, ἢ διά τι πάθος, λαμβάνουσιν. ἐπειδὴ τούτους ἐλπὶς τοῦ πάθους ἀπαλλαχθέντας, δύνασθαι παιδοποιεῖν. τῶν γὰρ εὐνούχων οἱ μὲν καλοῦνται σπάδωνες, οἱ δὲ, θλιβίαι, οἱ δὲ κάστρατοι. καὶ σπάδωνες μὲν εἰσὶν, οἵτινες διὰ πάθος ἢ ψύξιν ἐνοχλήσαντα τοῖς γονίμοις μορίοις, παιδοποιεῖν κωλύονται· θλιβίαι δὲ, οἵτινες ὑπὸ τῆς τροφοῦ, ἢ τῆς μητρὸς τυχὸν, ἔσχον ἔκθλιψιν τῶν διδύμων ὑπεστηκότων· κάστρατοι δὲ, ἐφ' ὧν γέγονεν ἐκτομὴ τῶν γεννητικῶν μορίων.

ΠΕΡῚ ΓΥΝΑΙΚΩ͂Ν.

Γυνὴ οὐδὲ κατὰ βασιλικὴν αἴτησιν, οὐδὲ κατὰ ἀρχοντικὴν δύναται λαμβάνειν εἰς θέσιν τινὰ, ἡ γὰρ θέσις δίδωσιν ἡμῖν τὴν κατὰ τοῦ παιδὸς ὑπεξουσιότητα, αὕτη δὲ τοὺς φυσικοὺς παῖδας, ὑπεξουσίους οὐκ ἔχει. ὁ δὲ νόμος ἀκολουθεῖ τῇ φύσει, εἰκότως ἄρα οὐ λήψεται εἰς θέσιν τινὰ, εἰ μὴ ἄρα ἐκ φιλοτιμίας βασιλέως πρὸς παραμυθίαν τῶν πλευτησάντων αὐτῆς παίδων,

βουλη-

βουληθῇ λαβεῖν. ὥστε οὔτε ἡ μὴ ἔχουσα παῖδας γυνὴ, οὐδὲ διὰ βασιλέως ἀντιγραφῆς, εἰς θέσιν λήψεται τινά. Ἡ δὲ ιζ νεαρὰ τοῦ καίσαρος λέοντος φησὶ περὶ τοῦ ἐξεῖναι υἱοθετεῖσθαι, καὶ εὐνούχοις, καὶ γυναῖκας, καὶ περὶ τοῦ ἰδιώτας πάντας υἱοθετεῖσθαι καὶ ἄνδρας καὶ γυναῖκας, εἴτε παῖδας ἔχοιεν, εἴτε μὴ, εἴτε καὶ παρθενείαν εἵλοντο· καὶ μὴ μόνον παρὰ βασιλέως τὸν υἱοθετεῖσθαι βουλόμενον, ἀλλὰ καὶ παρὰ παντὸς τοῦ καθ᾽ ἑκάστην χώραν τὸ ἄρχειν καὶ διέπειν λαχόντος, τὴν ἐξουσίαν λαμβάνειν. Δεῖ τὸν λαμβάνοντα εἰς υἱοθεσίαν, εἶναι μείζονα τοῦ λαμβανομένου, ἐπειδὴ πρὸς μίμησιν τῆς φύσεως ἐπινενόηται, ἀπαιτούσης πρεσβύτερον εἶναι τοῦ υἱοῦ τὸν πατέρα· δεῖ δὲ προηγεῖσθαι τὸν πατέρα, ὀκτωκαίδεκα ἐνιαυτοὺς. ἡ γὰρ τοιαύτη ἡλικία, ἐφηβότης λέγεται παντελής. Οὐδεὶς υἱοθετεῖσθαι τὸν ἄνηβον δύναται, εἰ μὴ συγγενὴς αὐτοῦ, ἢ χρηστὴν ἔχων πρὸς αὐτὸν διάθεσιν.

## ΠΕΡΙ ΤΩΝ ΠΡΟΣΦΕΥΓΟΝΤΩΝ ΕΝ ΕΚΚΛΗΣΙΑ. τίτλ. θ.

Μέχρι τῶν πρὸ τῆς δημοσίας ἀγορᾶς τῆς ἐκκλησίας ὅρων τὸ ἀσφαλὲς ἐχέτωσαν οἱ προσφεύγοντες· ὅπλοις δὲ ἑαυτοὺς μὴ ἀσφαλιζέσθωσαν. μεθ᾽ ὅπλων οἰκέτης προσφυγὼν, εὐθὺς ἐκβαλλέσθω· ἀνθιστάμενος δὲ, μείζονι βιαζέσθω δυνάμει, κἂν μαχόμενος τελευτήσῃ, ἀνεύθυνος ἔστω ὁ ἐπελθὼν δεσπότης.

Οὔτε ἀνδροφόνοις, οὔτε μοιχοῖς, οὔτε παρθένων ἅρπαξιν ἁμαρτάνουσι, τὴν ἐκ τῶν ὅρων φυλάξεις ἀσφάλειαν, ἀλλὰ κἀκεῖθεν ἑλκύσεις, ἀλλὰ καὶ τιμωρίαν αὐτοῖς ἐπάξεις, ὅτι ἡ ἐκ τῶν ἱερῶν ἀσφάλεια, οὐ τοῖς ἀδικοῦσιν, ἀλλὰ τοῖς ἀδικουμένοις δίδοται παρὰ τοῦ νόμου. Ὁ τὸν προσφεύγοντα εἰς τὴν ἁγίαν ἐκκλησίαν, ἰδίᾳ αὐθεντίᾳ ἀποσπάσας, τυπτόμενος καὶ κουρευόμενος, ἐξοριζέσθω.

## ΠΕΡΙ ΔΥΝΑΤΟΥ ΠΡΟΣΩΠΟΥ.

Ἡ διάταξις κελεύει τὸν μὲν προσφεύγοντα προσώποις δυνατοῖς, εἰς προστασίαν δίκης ἕνεκεν ἐκπίπτειν τῆς δίκης· τὸν δὲ δεξάμενον εἰς προστασίαν τινά, κἂν συγκλητικὸς ᾖ, ἔξω τῶν ἀπαιτουμένων τιμωρεῖσθαι. Ἐάν τις ἐν τῷ δανείζειν ἢ ἄλλως πῶς συναλλάγματα ποιεῖν, παραιτεῖται μὲν τὸ εἰς οἰκεῖον ὄνομα λαβεῖν ἀσφάλειαν ἤτοι γραμματεῖον, ἢ ἄλλο συμβόλαιον, εἰς ὄνομα δὲ δυνατοῦ προσώπου παρασκευάζει γενέσθαι τὸ γραμματεῖον, κελεύει ἡ διάταξις, ἐκπίπτειν τοῦ τοιούτου χρέους τὸν τοῦτο πεποιηκότα.

## ΠΕΡῚ ΧΡΉΣΕΩΣ. ΤΊΤΛ. Γ.

Τὰ εἰς χρῆσιν, ἤγουν χρείαν τινὰ διδόμενα, ἢ κινητά εἰσιν, ἢ ἀκίνητα, καὶ χρεωστεῖ ὁ λαμβάνων, μὴ ποιῆσαι δόλον ἐν αὐτοῖς ἢ ἀμέλειαν. ὅσα δὲ μήτε ἀμελοῦντος, μήτε δολιευομένου τούτου, ἀλλὰ τινὸς τύχης εἰς αὐτὰ γίνεται ζημία, τὸν δεσπότην ὁρᾷ, τουτέστιν εἰς τὸν δεσπότην αὐτὸν ἀναφέρει, καὶ τὴν ζημίαν ὁ δεσπότης ὑφίσταται, καὶ οὐχ ὁ πρὸς τὴν χρῆσιν τὸ πρᾶγμα λαβών. ἐὰν δὲ ὁ λαβὼν συμφωνήσῃ καὶ εἴπῃ ῥητῶς, ἵνα αὐτὸς καὶ ἐπὶ τοῖς κατὰ τύχην συμβησομένοις ἐνέχηται, ἡ συμφωνία κρατεῖ, καὶ ὁ συμφωνήσας ἐνέχεται. Ὁ χρησάμενος ἤγουν πρὸς χρείαν τινὰ ζητήσας ἀλλότριόν τι πρᾶγμα, καὶ εἰπὼν πρὸς τὸν δεσπότην τοῦ πράγματος ὅτι μέλλει χρήσασθαι αὐτῷ ἐπὶ δουλείᾳ τινί, εἶτα οὐκ ἐπὶ ταύτῃ, ἀλλ' ἐπὶ ἑτέρᾳ χρησάμενος, καὶ ὡς κλέπτης λογίζεται· καὶ ἐὰν συμβῇ ζημία τις, εἰς τὸ διπλάσιον αὐτὴν ἀποδίδωσι. τῇ αὐτῇ καταδίκῃ ἐνέχεται, καὶ ὁ λαβὼν ἀλλότριον ζῶον ὥστε ἐγγὺς ἀπελθεῖν, καὶ ἀπελθὼν μακρότερον.

## ΠΕΡῚ ἼΠΠΟΥ.

Ὁ κεχρημένος ἵππῳ ἕως ὡρισμένου τινὸς τόπου, τὸν δὲ ὁρισθέντα τόπον ὑπερβάς, τῆς ὡς εἰκὸς γενομένης ἐπ' αὐτῷ βλάβης, ἢ τοῦ θανάτου αὐτὸς τὸν λόγον ὑπέχων, τὸ ἀζήμιον τοῦ ἵππου τῷ κυρίῳ περιποιεῖται. ἐὰν μέντοι γε ἐντὸς τοῦ ὁρισθέν-

τος

τοῦ τούτου, βλάβη ὑποκείηται ἵππῳ, ἢ θάνατος, ἀζήμιος ὁ κεχρημένος διατηρεῖται· εἰ μὴ ἄρα ἐξ ἀμελείας, ἢ καὶ ἐξ ἐπιβουλῆς τοῦ περὶ τὸν ἵππον συμβήσεται πάθος.

ΠΕΡΙ ΑΓΡΟΥ.

Ἀναγκάζεται ὁ τὴν χρῆσιν ἔχων, γεωργεῖν τὸν ἀγρόν, αὐτοῦ γὰρ διαφέρει τὰ ἐν αὐτῷ γινόμενα, καὶ τὰ ἐξ αὐτοῦ δυνάμενα λαμβάνεσθαι. Ὅταν τις χρῆσιν μόνην ἔχῃ πραγμάτων τὴν δὲ δεσποτείαν ἑτέρῳ παραφυλάττῃ, ὅσα ἂν ἀπὸ τῆς χρήσεως τῶν πραγμάτων καὶ τῶν καρπῶν αὐτῶν κτήσασθαι δυνηθείη, μόνην τὴν ἀναγκαίαν δαπάνην εἰς σύστασιν καὶ βελτίωσιν αὐτῶν ἀνελλιπῶς καταβάλλων· ἐξουσίαν ἔχει πρὸς οὓς βούλεται παραπέμπειν, καὶ οὐκ ἀναγκάζουσιν αὐτὸν περὶ τούτων, οἱ τῶν πραγμάτων δεσπόται, παρὰ τὴν οἰκείαν βούλησιν διαπράξασθαι. Ἐκ τῶν ἐν τῷ ἀγρῷ γινομένων κελλαρικῶν, ὁ τὴν χρῆσιν μόνην ἔχων, τὸ πρὸς ἐνιαυτὸν ἀρκοῦν αὐτῷ λαμβανέτω, εἰ καὶ πάντα δαπανᾶται. Ὁ ἔχων χρῆσιν οἰκίας, τὰ κατακρᾶμα ὀφείλει ποιεῖν τῆς οἰκίας, ἀναλώμασιν οἰκείοις. εἰ δέ τι περαιτέρω ἀνάλωσεν εἰς τὴν τῆς οἰκίας διόρθωσιν, τοῦτο λήψεται παρὰ τοῦ ἔχοντος τὴν δεσποτείαν. Ἡ χρῆσις τῶν καρπῶν τῆς πόλεως, μετὰ ἑκατὸν ἔτη σβέννυται, ὡς ὁ μακροχρόνιος ἄνθρωπος. Ἐὰν προβάτων χρῆσις δοθῇ μοι, οὔτε τῷ γάλακτι, οὔτε τοῖς ἀρνίοις, οὔτε τῷ ἐξ αὐτῶν ἐρίῳ συγχωροῦμαι κεχρῆσθαι· ἐπειδὴ ταῦτα ἐν καρπῷ εἰσίν, ἀλλ' εἰς τοῦτο μόνον συμβάλλεταί μοι, τὸ ἔχειν χρῆσιν προβάτων, ὥστε δύνασθαι ἄγειν αὐτὰ εἰς τὸν ἐμὸν ἀγρὸν καὶ τούτοις κοπρίζειν· ὁ δὲ τῶν προβάτων κόπρος, εὐθαλῆ καὶ γόνιμον ποιεῖ τὸν ἀγρόν.

ΠΕΡΙ ΕΚΠΟΙΗΣΕΩΣ.

Ἐὰν ἔχῃ τις χρῆσιν πράγματός τινος, καὶ βουληθῇ ὁ δεσπότης ἐκποιήσασθαι τὸ πρᾶγμα, ἀνέχεται παρασχεῖν τὸ τρίτον τῆς τιμῆς τῷ τὴν χρῆσιν ἔχοντι. καὶ ἀγροῦ ἐκνικωμένου

οὗ τὴν χρῆσιν ἕτερος ἔχει, τὴν δὲ δεσποτείαν ἕτερος· εἰ θελήσουσιν ἀμφότεροι τοῦτο δοῦναι τὴν τιμὴν τοῦ ἀγροῦ καὶ ἔχειν πάλιν αὐτόν, τότε ὁ μὲν τὴν χρῆσιν ἔχων, δίδωσι τὸ τρίτον τοῦ τιμήματος· ὁ δὲ τὴν δεσποτείαν, τὸ δίμοιρον. τοῦτο δὲ ὁ μάγιστρος ἐπὶ τῶν τὴν ἀΐδιον τὴν χρῆσιν ἐχόντων οὕτως ἔλεγεν, ὥσπερ ἐκκλησία καὶ ἱερὸς οἶκος· ἐπὶ δὲ τῶν πρόσκαιρον, ἄλλως. Ὁ τέλειος χρόνος τῆς χρήσεως ὁ τριακοστός ἐστιν· ἐὰν γὰρ καταβληθῇ διετεῖ, ἢ τριετεῖ, ἢ εἰκοστὸν ἔνατον ἄγοντι χρόνον, πρὸς τριάκοντα χρόνους ὁρίζεται ἡ χρῆσις. ὑπὲρ δὲ τὰ τριάκοντα ἔτη, ἐὰν καταβληθῇ τινὶ χρῆσις, μέχρι τῶν ἑξήκοντα ὁρίζεται· καὶ ὅσον ἂν εἴη χρόνου ὁ ἄνθρωπος, τὸ λεῖπον πρὸς λ' λαμβάνει· τυχὸν εἰ εὑρεθῇ τεσσαράκοντα ὤν, λαμβάνει πρὸς εἴκοσι· καὶ ἐφεξῆς ὁμοίως. ἐὰν δὲ ἑξηκοστῷ καταλειφθῇ χρῆσις, μόνον πέντε ἐνιαυτῶν οὗτος λαμβάνει. ταῦτα δὲ ἀπὸ τοῦ νόμου τοῦ περὶ Φαλκιδίου διῄρει ὁ πατρίκιος, ἔνθα πλατύτερον τὰ τοιαῦτα κεῖται.

## ΠΕΡΙ ὙΠΟΒΟΛΟΥ.

Γυνή τις ἐδικαιώθη μὴ δευτερογαμήσασα λαβεῖν κατὰ χρῆσιν τὸ ὑπόβολον, λίτρας κ'· μὴ ἔχουσα δὲ ἐγγύας δοῦναι εἰς τὸ παραφυλάττειν τοῦτο τοῖς υἱοῖς, ᾑρετίσατο λαβεῖν τὴν ἀποτίμησιν τῆς χρήσεως τῶν κ' λιτρῶν, καὶ ἐδέχθη· ἐπεὶ μ' ἐτῶν οὖσα εὑρέθη, ἔλαβε κατὰ τὸν νόμον τὸ τρίτον τῶν κ' λιτρῶν· ἤτοι λίτρας η', νομίσματα κδ'· τριάκοντα γὰρ ἐτῶν τις ὤν, τὸ ἥμισυ τῆς τιμῆς τῆς πράσεως ὑπὲρ χρήσεως λαμβάνει. αὕτη δὲ τεσσαράκοντα ἐτῶν οὖσα, διὰ τὰ ὑπέρπλεα τῶν λ' ἐτῶν, ἔτη δέκα, ὑπεκρατήθη τὸ τρίτον, ἤτοι λίτρας δ', ν͞ι ιβ', καὶ ἔλαβεν ὡς εἴρηται λίτρας η', νομίσματα κδ'. Καὶ πάλιν ἑτέρα πεντήκοντα ἐτῶν οὖσα, λαβοῦσα χρῆσιν δ' λιτρῶν, ἠθέλησε τὴν ἀποτίμησιν τούτων λαβεῖν, καὶ ἐδόθη αὐτῇ τὸ τρίτον τοῦ ἡμίσεως, ἤγουν τῶν δύο λιτρῶν. διὰ τὸ εἶναι πεντήκοντα ἔτη, ν͞ι μ', τουτέστι χρήσεις δέκα ἐτῶν.

## ΠΕΡΙ ΝΑΥΤΙΚΩΝ. Τίτλ. ια΄.

τὰ ναυτικὰ πάντα, καὶ ὅσα κατὰ θάλασσαν κρίνεται, ῥοδίῳ τέμνεται νόμῳ, καὶ κατὰ τοὺς ῥοδίους δικάζεται νόμους. ὅταν μὴ ἄλλος νόμος ἐναντιούμενος τοῖς τῶν ῥοδίων νόμοις εὑρίσκηται· εἰσὶ γὰρ οἱ τῶν ῥοδίων νόμοι, τῶν ἄλλων ναυτικῶν νόμων, παλαιότεροι. Ναῦται χωρὶς κυβερνήτου πλέειν τολμήσαντες, καὶ οἱ μὲν αὐτῶν ἐπιβάται τοῖς ναύταις ὁμοίως δίχα κυβερνήτου τὴν θάλασσαν πλέοντες· ἐὰν τὸ πλοῖον ναυαγήσῃ, ἢ καὶ εἰς τελείαν καταντήσῃ ἀπώλειαν, καὶ οἱ ἐπιβάται, καὶ οἱ ναῦται ἐνάγονται. οἱ μὲν ἐπιβάται, ὡς τῆς σωτηρίας αὐτῶν ἀμελήσαντες· οἱ δὲ ναῦται, ὡς καὶ τῆς ἑαυτῶν καὶ τῆς τοῦ ἐπιβάτου προμηθείας καταφρονήσαντες, μὴ κυβερνήτην μεθ' ἑαυτῶν ἐπαγόμενοι. τινὲς δὲ τοὺς ναύτας ἐν τούτοις, ὡς ἀθώους τῆς ἐνοχῆς ἀπολύοντες, λέγουσι μόνους τοὺς ἐπιβάτας ἐνέχεσθαι.

Ναῦς, ἢ ἕτερόν τι πλοῖον ἐὰν προσκρούσῃ ἑτέρᾳ νηὶ καὶ βυθίσῃ αὐτήν· εἰ μὲν πολλὴ βία τοῦ ἀνέμου ἐστὶ, καὶ φαίνεται ἀπὸ τούτου, ὅτι οὔτε ἀπὸ κακίας, οὔτε ἀπὸ ἀμελείας τοῦ κυβερνήτου ἢ τῶν ναυτῶν τῶν ἐν τῇ σωζομένῃ νηὶ, ἡ ἀπολλυμένη ναῦς ἐβυθίσθη, οὔτε οἱ ναῦται, οὔτε οἱ κυβερνῆται εἰς δουλείαν ἐνάγονται. ἂν δὲ ἡ τοῦ ἀνέμου βία μὴ ἔστι πολλὴ, καὶ δυναμένη εἰς αἰτίαν λογισθῆναι τῆς ἀπωλείας τῆς ἑτέρας νηὸς· καὶ ὁ κυβερνήτης καὶ ὁ πρωρεὺς, καὶ οἱ ναῦται ἐνάγονται. Ναύκληρος ἐὰν ὑποδέξηταί τι, ἐνέχεται ἵνα ἀποκαταστήσῃ καὶ ἀποδώσῃ αὐτό. εἰ δὲ θέλει μὴ δέξασθαι καταρχὰς, οὐδεὶς δύναται καταναγκάσαι τοῦτον ἵνα δέξηταί τι. Οἱ ναύκληροι, ἀπὸ τῶν συναλλαγμάτων τῶν ναυτῶν, οὐκ ἐνέχονται· ἀπὸ δὲ τῶν ἁμαρτημάτων ἐνέχονται. Ὁ προστησάμενος τὸν πιστικὸν τοῦ πλοίου, ἤγουν ὁ προβαλλόμενος καὶ ποιήσας αὐτὸν πιστικὸν, ἐνέχεται εἰς ἃ πταίσει ὁ πιστικός. Πιστικὸς λέγεται ᾧ ἐμπιστεύονται τινὰ πράγματα, καὶ διὰ τοῦτο ὡς τὸν κριθέντα ἀξιόπιστον εἰς φυλακὴν

πλοίου

πλοίου πιστικὸν λέγεται τοῦ πλοίου. Ὅταν ναύκληρος γένηται παρὰ γυναικὸς, εἰς πάντα ὅσα πταίσει, αὐτὸς ἐνέχεται καὶ οὐχ ἡ γυνή. Ἠγόρασέ τις πλοῖον μετὰ τῆς ἐξαρτήσεως, ἣν καὶ ἐξαρτίαν ὁ νόμος καλεῖ, οὐ δικαιοῦται ἐκ τῆς τοιαύτης συμβιβάσεως, καὶ τὴν ἐν τῷ πλοίῳ σκάφην, ἤγουν τὴν κοινῶς λεγομένην βάρκαν καὶ κουπέλας δὲ λαβεῖν· οὐ γὰρ συναριθμεῖται καὶ αὕτη εἰς τὴν τοῦ πλοίου ἐξάρτησιν. Ἔξεστι ναύταις, κυνηγοῖς, στρατιώταις εἰς βίαν ἐμπεσοῦσι, καὶ μὴ δυναμένοις ἄλλως ἀπολυθῆναι, ἑτέρας νηὸς ἀγκύρας ἐκτέμνειν διὰ τὴν οἰκείαν σωτηρίαν· ἢ ἄλλων κυνηγῶν ἔργα καταλύειν, χωρὶς δὲ βίας ὁ τοιοῦτόν τι ποιήσας, ἐνέχεται καὶ ἀναγκάζεται τὴν ζημίαν ἐξ ὁμολογίας μὲν εἰς τὸ ἁπλοῦν ἀποδιδόναι, ἐξ ἀρνήσεως δὲ εἰς τὸ διπλοῦν.

## ΠΕΡΙ ΣΥΝΕΙΣΦΟΡΑΣ.

Κινδύνου ἐν πλοίῳ τινὶ γενομένου, καὶ συνεισφορᾶς τελουμένης, τὰ μὲν ἀποβληθέντα πράγματα ἀποτιμῶνται πρὸς ὃ ἠγοράσθησαν· τὰ δὲ σωθέντα, πρὸς ὃ δύνανται πραθῆναι. Τοῦτο δὲ γίνεται ἵνα καὶ ἡ ζημία ἐπ᾽ ὀλίγον συσταλῇ, καὶ τὸ κέρδος ἐπὶ πλέον ἐκταθῇ, καὶ οὕτω λυσιτελήσει καὶ τοῖς ἀποβαλοῦσι, καὶ τοῖς ἔχουσι τὰ οἰκεῖα πράγματα. Διὰ τῆς σωτηρίας τοῦ πλοίου, τμηθείσης τοῦ ἱστοῦ, συνεισφορὰ τῶν ἐν τῷ πλοίῳ φορτίων γίνεται. Νέας ἐξαρτίας παρὰ τοῦ ναυκλήρου ἀγορασθείσης, συνεισφορὰ οὐ γίνεται. Ναύτης πλήξας τινὰ, καὶ κήλην αὐτῷ ποιήσας, ἢ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐκβαλὼν, ἀποδίδωσι τὰ τῆς ἰατρείας δαπανήματα, καὶ ἀντὶ μὲν τῶν ὀφθαλμῶν, ζημιοῦται ι̅ι ιβ̅· ἀντὶ δὲ τῆς κήλης, ι̅ι γ̅.

## ΠΕΡΙ ἘΜΠΟΔΙΣΜΟΥ ΠΛΟΙΟΥ.

Ἐάν τις ἐμποδίσῃ πλοίῳ, καὶ συμβῇ ζημίαν τινὰ παθεῖν τοὺς ἐν τῷ πλοίῳ, ἢ ἐμπρησμῷ, ἢ ἄλλῳ τοιούτῳ τινὶ περιπεσεῖν, τὰς ζημίας ἀποδίδωσιν, ὁ ποιήσας τὸν ἐμποδισμόν.

## ΠΕΡΙ ΤΩΝ ΕΝ ΝΑΥΑΓΙΩ ΡΙΠΤΟμένων καὶ συνεισφορᾶς.

Ἐὰν διὰ τὸ κουφισθῆναι τὸ πλοῖον ἀποβληθῶσι φορτία πάντων συναινούντων, ἀποφέρονται τὰ ἐκβληθέντα πράγματα· καὶ αὐτό γε μὴν τὸ πλοῖον, πρὸς τὴν ἀποτίμησιν αὐτοῦ, ὑπόκειται τῇ συνεισφορᾷ, ἐξῃρημένων τῶν ἐλευθέρων κεφαλῶν καὶ τῆς σιταρκίας. Ἐν τῇ συνεισφορᾷ, τὰ μὲν ἀποβληθέντα, πρὸς ὅπερ ἠγοράσθησαν ἀποτιμῶνται· οὐ μὴν πρὸς ὅπερ πραθῆναι ἠδύναντο, τὰ δὲ σωθέντα, πρὸς ὃ δύνανται πραθῆναι ἀποτιμῶνται. Ὅταν διὰ βίαν ῥιφθῶσιν ἐκ τοῦ πλοίου πράγματα, καὶ ἄλλοι τινὲς διασώζωσι ταῦτα· εἰ μὲν ἀπὸ τῆς θαλάσσης ἢ ὅσον ὀκτὼ ὀργυιῶν ἐκβάλλει καὶ διασώζει ταῦτα, τὸ ἥμισυ λαμβάνει· ἐὰν δὲ ἀπὸ τῆς ξηρᾶς, ἢ ἀπὸ τῆς θαλάσσης ὅσον πῆχυν, τὸ δέκατον λαμβάνει ὁ διασώζων. Ἐναυάγησέ τις ἐν τῇ θαλάσσῃ, ἐξέβαλεν ὅπερ εἶχε καὶ ἔρριψεν εἰς τὴν θάλασσαν, οὐ γίνεται τὸ τοιοῦτον πρᾶγμα διὰ τὸ ῥιφθῆναι ἐν τῇ θαλάσσῃ, ἀδέσποτον· ἀλλὰ μένει καὶ πάλιν ὑπὸ τὴν δεσποτείαν τοῦ πρότερον αὐτὸ ἔχοντος. καὶ ἐὰν ἐκβληθῇ ἀπὸ τῆς θαλάσσης εἰς τὴν ξηρὰν δύναται ὁ δεσπότης ἀνακαλεῖσθαι αὐτό. εἰ δὲ πολλάκις τις φθάσας πρὸ τοῦ δεσπότου τὸ τοιοῦτον πρᾶγμα ἐκτήσατο, εἰ μὲν χωρὶς κινδύνου ἔλαβε τοῦτο, ἄδεια τῷ δεσπότῃ ἐστὶν, ἀνακαλεῖσθαι τὸ πρᾶγμα, ἀποδιδόντι τὸ ἀνῆκον τῷ ὑπὲρ αὐτοῦ κοπιάσαντι, ἢ καὶ τὸ τῆς δοθείσης ὑπὲρ τῆς τοῦ πράγματος ἀγορᾶς τίμημα καταβάλλοντι. εἰ δ' ἵνα κτήσηται τὸ πρᾶγμα ἑαυτὸν εἰς κίνδυνον ἔβαλεν ὁ κτησάμενος, τότε δεσπότης τούτου κυρίως γίνεται· ὡς τῆς ἑαυτοῦ σωτηρίας τὴν τοῦ πράγματος σωτηρίαν ἀνταλλαξάμενος, καὶ ὁ πρότερον τοῦ πράγματος δεσπότης, τῆς δεσποτείας ἐκβάλλεται. Ἐὰν ναυαγήσῃ τὸ πλοῖον διὰ τὸ μὴ ἔχειν κυβερνήτην, ἐνέχεται τοῖς ἐμβάταις ὁ ναύκληρος. Τοῦ πλοίου ναυαγήσαντος, ὁ ναύκληρος ἀπο-

δίδωσι τὰ ναῦλα ἅπερ ἔλαβεν ἐν προχειρίᾳ, ὡς μὴ μετακομίσας. Ἐὰν ναύκληρος μὴ δυνάμενος εἰσελθεῖν ἐν τῷ λιμένι, μεταγάγοι φορτία εἰς πλοῖον ἕτερον, καὶ ναυαγήσῃ αὐτόν, ἐνέχεται ὁ πρῶτος ναύκληρος· καὶ ἐὰν παρὰ γνώμην τῶν δεσποτῶν τὰ φορτία μετήγαγεν, ἢ παρὰ καιρόν, ἢ εἰς ἀνεπιτήδειον πλοῖον· εἰ δὲ μὴ ἐποίησε ῥαθυμίαν, οὐκ ἐνέχεται.

τέλος τοῦ δευτέρου.

# ΠΕΡΙ ΔΩΡΕΩΝ.

## ΤΙΤΛΟΣ Α΄.

Δωρεά ἐστι, τὸ χωρὶς ἀνάγκης διδόμενον. Τῶν δωρεῶν, αἱ μὲν εἰσὶν ἐν ζωῇ γινόμεναι, καὶ πρὸς ζωὴν τὴν χάριν καὶ τὴν εὐεργεσίαν γνωρίζουσαι· καὶ τὴν εὐγνωμοσύνην ἐνδείκνυσαι. αἱ δὲ, ἐν αἰτίᾳ θανάτου γινόμεναι, ἤγουν τὸν ὡς εἰπεῖν αἴτιον ταύτης τῆς δωρεᾶς θάνατον, τὴν τελείωσιν καὶ τὴν βεβαίωσιν ἔχουσαι. πρὸ γὰρ τοῦ τελευτῆσαι τὸν δωρησάμενον, οὐδὲν ἔχει ὁ τὴν δωρεὰν κατέχων, ἐκ τοῦ δωρηθέντος κτήματος, διότι πρόσκειται τὸ μετὰ θάνατον. Τῶν ἐν ζωῇ δωρεῶν, αἱ μὲν εἰσὶν ἐξ αὐτῆς τῆς ὥρας καὶ τοῦ καιροῦ τὴν τελείωσιν δεχόμεναι, καὶ ὡς εἰπεῖν ἀπ᾽ ἐντεῦθεν ἤδη τὴν παράδοσιν ποιούμεναι, καὶ τῆς δεσποτείας ἤγουν τῆς χρήσεως τοῦ δωρουμένου κτήματος ἢ χρήματος, τοῦτ᾽ ἔστι κινητοῦ ἢ ἀκινήτου πράγματος, μηδενὸς ἔξωθεν ἄλλου λογισμοῦ παρακολουθοῦντος, ἢ προσκειμένου, ἢ προσδιοριζομένου. ἀλλ᾽ εὐθὺς τὰ πράγματα ἀπὸ προσώπου εἰς πρόσωπον μεταβαίνοντα, ἤγουν ἀπὸ τοῦ τὴν δωρεὰν ποιοῦντος, εἰς τὸν τὴν δωρεὰν δεχόμενον ἄνευ τῆς οἱασοῦν προφάσεως ἢ αἱρέσεως. αἱ δὲ εἰσὶν ὑπὸ αἵρεσιν διδόμεναι διαφόροις προσώποις καὶ χρόνοις ἰδιοποιούμεναι, καὶ ὡς ἂν ὁ δωρησάμενος εἴπῃ καὶ προσδιορίσηται.

Μετὰ θάνατον δωρεά ἐστιν, ὅτε τις ἑαυτὸν θέλει μᾶλλον ἔχειν, ἢ τὸν λαμβάνοντα, τὸν δὲ λαμβάνοντα πλέον τοῦ ἰδίου κληρονόμου. Πολλάκις δίδονται τινὰ πρός τινας, καὶ εἰσὶ τὰ διδόμενα δωρεά· πολλάκις δὲ δίδονται πράγματά τινι, καὶ δωρεὰ οὐ λέγονται. ὅθεν δεῖ ἔχειν ταῦτα γνῶναι, τὸ παρὸν νεαρὸν παρατίθησι λέγον. Γίνωσκε ὅτι ἐκεῖνο ἐστὶ δωρεά, ὅπερ ἑκουσίως καὶ αὐτοπροαιρέτως τις δίδωσι, μὴ δυνάμε-

νος ἀναγκάζεσθαι καὶ μὴ βουλόμενος εἰς τὸ ποιῆσαι τοῦτο· κἂν γὰρ χρεώστης μοί τι ᾖ. καὶ ἑκουσίως ἐλευθερῶ σε τοῦ χρέους, δωροῦμαί σοι. εἰ δὲ κατὰ βίαν, ἢ φόβον, ἢ δόλον δωρήσομαί σοι τὸ χρέος, οὐκ ἔστι δωρεὰ οὐ γὰρ χωρεῖς βίας, ἢ ἀνάγκης ἐδωρησάμην. κἂν μεγάλη ἡ διαφορὰ τοῦ εἶναι τὸ διδόμενον δωρεάν, ἢ μή. εἰ μὲν γὰρ δωρεά ἐστιν, ὁ δωρησάμενος μέχρις οὐσίας καταδικάζεται· εἰ δὲ χρέος, εἰς ὁλόκληρον. καὶ ὁ μὲν δωρούμενος οὐχ ὑβρίζεσθαι ὀφείλει παρὰ τοῦ λαβόντος τὴν δωρεάν· εἰ δὲ ὑβρισθῇ, ἀνατρέπει τὴν δωρεάν· ὁ δὲ χρέος λαμβάνων, τοῦτον οὐ-φοντίσει. Τρία ἐστὶν εἴδη, τῆς ἐν αἰτίᾳ θανάτου δωρεᾶς· ἓν μὲν, ὅτι μηδενὸς ἐπηρτημένου φόβου, δωρεῖται διὰ μόνην ἐλπίδα φυσικοῦ θανάτου. δεύτερον δὲ, ὅτι τις διὰ τὸν ἐπηρτημένον ἔξωθεν, καὶ οὐκ ἐκ τοῦ λαμβάνοντος θάνατον δωρεῖται ἐφ᾽ ᾧ παραχρῆμα ἀποδοῦναι τὸν λαβόντα. τρίτον, ὅτι δι᾽ ἀποδημίας κίνδυνον δίδοται ἐφ᾽ ᾧ τὸν λαβόντα μὴ ἀποδοῦναι, ἕως ἂν ὁ δεδωκὼς ἀποθάνῃ, δι᾽ ὁ κίνδυνο ληστῶν, ἢ πολεμίων, ἢ ναυάγιον ἢ τόπους ἐπιβουλευομένους εὐλαβούμενος, ἀλλὰ καὶ ὁ νοσῶν, καὶ ὁ ἄνδρα δυνατὸν, ἢ γῆρας εὐλαβούμενος. ταῦτα γὰρ πάντα κίνδυνον ἐνεστῶτα σημαίνουσιν. Ἐὰν δωρούμενος ἀποστείλω σοι γράμμα, καὶ πρὶν ἢ δοθῆναι ἀποθάνω, οὐ γίνεται σόν. Ἐὰν ὁ ὑπεξούσιος κελεύσει, ἢ βουλήσει πατρὸς δωρήσηται, δοκεῖ αὐτὸς ὁ πατὴρ δωρεῖσθαι· καὶ ἐάν τις βουλήσει τῇ σῇ δωρήσηται τινὶ ὡς ἴδιον, δοκεῖς σὺ δωρεῖσθαι. Ὅτι τὰ προσαποικτὰ ὁ νόμος οὐ δέχεται, οὔτε τὰ κατὰ δόλον· διὸ ἐὰν δωρήσωμαί σοι μέρος οὐσίας συγγενοῦς μου ὡς μέλλων κληρονομεῖν, οὐκ ἔρρωται ἡ δωρεά. Ὁ ἅπαξ δωρησάμενος, οὐ δύναται ἀνατρέπειν τὴν δωρεάν. Οὐδεὶς ἀγνοῶν, ἢ ἄκων δωρεῖται· ὥστε οὖν κἂν περιέχῃ τὸ ἔγγραφον ὅτι συναίνεσα, οὐδὲν βλάπτομαι, ἐπειδὴ ἡ ἀλήθεια ἄλλως ἔχει.

## ΠΕΡΙ ΠΡΟΙΚΟΣ.

τῆς προικὸς ἐν τῷ γάμῳ ὁ ἀνὴρ κύριος, οὐκ οὖν ἡ γυνὴ, οὐ δύναται αὐτῷ δωρεῖσθαι. καὶ τὴν καλῶς γενομένην δωρεὰν, οὐδὲ ἀπὸ βασιλέως ἀντιγραφῆς ἀνατρέπει τις.

## ΠΕΡΙ ΒΑΣΙΛΙΚΗΣ ΔΩΡΕΑΣ.

Ἐὰν δυσὶ τισὶν ὁ βασιλεὺς δωρήσηται πρᾶγμα, ὁ δὲ εἷς ἐξ αὐτῶν ἀκληρονόμητος τελευτήσῃ, τὸ μέρος αὐτοῦ τῷ ἑτέρῳ προστίθεται. Ἐὰν ὁ βασιλεὺς τῷ ἤδη τελευτήσαντι ὡς περιόντι δωρήσηται, οὐκ ἔρρωται μὲν, αὐτοῦ δὲ ἐστὶ τὰ περὶ τῆς ἰδίας φιλοτιμίας διακρίνειν. Χωρὶς ἀντιφώνητος δωρεὰ, οὐ γινώσκεται τινός. Πᾶσα δωρεὰ ἁπλῆ, εἴτε ἐν χρήμασιν εἴη, εἴτε ἐν πράγμασι κινητοῖς ἢ ἀκινήτοις, ἕως πεντακοσίων νομισμάτων οὖσα, ἰσχυέτω, καὶ ἀνεμφάνιστος οὖσα· εἰ δὲ πλείονος, τὸ ὑπέρπλεον μὴ ἰσχυέτω, ἐξῃρημένων τῶν βασιλικῶν δωρεῶν, καὶ τῶν εὐσεβείας λόγῳ γινομένων, καὶ τῶν εἰς μνηστὴν διδομένων. εἰ δὲ ἐν διαφόροις χρόνοις δωρεὰς ἐποιήσατο πολλὰς εἰς τὸ αὐτὸ πρόσωπον, πολλὰς δεῖ νοεῖν αὐτάς· οὐ μὴν συλλαμβάνειν πάσας καὶ λέγειν, ὅτι ἀνεμφάνιστος οὐκ ἰσχύει ὡς μία οὖσα. Καὶ ἡ κθ΄ νεαρὰ τοῦ Καίσαρος Λέοντος, περὶ δωρεῶν φησὶν, ἵνα ἡ μέχρι τῶν πεντακοσίων νομισμάτων γινομένη δωρεὰ, εἰ καὶ ἄγραφος εἴη, τρισὶ μάρτυσι κυρουμένη, φέρῃ τὸ βέβαιον. ἡ δὲ ὑπὲρ τὰ φ΄ γινομένη δωρεὰ, ἔγγραφος μὲν οὖσα, ἀναθέτητος διαμενῇ· ἐγγράφου δὲ συστάσεως ἐρήμη γνωριζομένη, ἀβέβαιος ἢ κατὰ τὸ ὑπερβαῖνον μέτρον τῶν φ΄ νομισμάτων, κἂν πέντε μάρτυσιν ὁ τῆς δωρεᾶς αἴτιος ποιούμενος ταύτης ἀντιποιῆται. Ὅθεν δέον τούτῳ τῷ τύπῳ ἐξεταζομένας ἰσχύειν, ἢ ἀκυροῦσθαι τὰς δωρεάς.

## ΠΕΡΙ ΑΝΑΤΡΟΠΗΣ ΔΩΡΕΩΝ. τιτλ. β΄.

Ἐάν τις μὴ ἔχων υἱὸν παῖδα αὐτοῦ τὴν οὐσίαν, ἢ μέρος αὐτῆς ἰδίῳ ἀπελευθέρῳ δωρήσηται, σχῇ δὲ παῖδας μετὰ ταῦτα, πᾶσα ἀκυρούσθω ἡ δωρεὰ, καὶ παλινδρομείτω πάντα πρὸς τὸν

δωρησάμενον, ἔχοντα πάλιν ἐξουσίαν ὡς βούλεται διοικεῖν. Οὔτε ἄνηβος, οὔτε ἄνους δύναται δωρεῖσθαι, ἐν οὐδενὶ γὰρ τούτων ἔσται ἡ βούλησις. Ἐὰν ὁ τὴν δωρεὰν εἰληφὼς ἀχάριστος ὀφθῇ περὶ τὸν δωρησάμενον, καὶ αἰσχραῖς κατὰ τούτου χρησάμενος ὕβρεσιν, ἢ χεῖρας ἀδίκους ἐπαγάγοι, ἢ ζημίαν μεγίστην προβαλεῖ ἐξ οἰκείας ἐπιβουλῆς, ἢ περὶ τὴν ζωὴν ἐπιβουλεύσῃ, ἢ τὰ ἐν τῇ δωρεᾷ πάντα εἴτε ἐγγράφως, εἴτε ἀγράφως μὴ γεγονότα πληρώσῃ, μία γὰρ ἐκ τῶν τούτων αἰτιῶν, ἐὰν ἐν δικαστηρίῳ φανερῶς ἀποδειχθῇ, ἀναφερέσθωσαν αἱ γινόμεναι δωρεαί.

## ΠΕΡΙ ΠΡΑΣΕΩΣ ΚΑΙ ἈΓΟΡΑΣ. Τίτλ. γ'.

Πρᾶσις καὶ ἀγορασία συνίσταται, ἡνίκα περὶ τοῦ τιμήματος ἑκάτερα συνήνεσε τὰ μέρη. καὶ ὁ μὲν τὴν καταβολὴν ποιήσεται τοῦ τιμήματος, ὁ δὲ παραδοίη τὸ πιπρασκόμενον. οὐ μόνον δὲ ἀλλὰ κἂν ὁ ἕτερος τούτων, ἢ τὴν καταβληθεῖσαν τιμὴν ἀναλάβῃ, ἢ τὸ διαπραθὲν πρᾶγμα παραλάβῃ, ἐφ' ᾧ τὴν πρᾶσιν ἀδιάλυτον προβῆναι; καὶ οὕτω τὰ τῆς πράσεως ἐρρῶσθαι. ὁ γὰρ ἀρραβὼν χάριν παρεχόμενος, ἔλεγχός ἐστι, καὶ ἀπόδειξις πράσεως καὶ ἀγορασίας, συστάσεως, οὐ μὴν αὐτὴ σύστασις. ταῦτα δὲ περὶ πράσεως καὶ ἀγορασίας λέγομεν, τῆς ἀγράφως γινομένης, ἐπὶ δὲ τῆς ἐγγράφου, οὐχ ἑτέρως τὸ τέλειον προσγενήσεσθαι λέγομεν, τῇ πράσει καὶ τῇ ἀγορασίᾳ· εἰ μὴ τὰ συμβόλαια συγγραφῇ, ἢ οἰκείᾳ χειρὶ τοῦ πιπράσκοντος, ἢ ὑπὸ ἑτέρου μὲν γραφῇ, ὑπογράφηται δὲ ὁ πιπράσκων. εἰ δὲ διὰ ταβελλίωνος γίνεται, ἡ κομπλεσίων παρακολουθήσει, προταχθείσης ὑπογραφῆς καὶ τοῦ συμβολαίου. τὸ δὲ δι' ἀρραβῶνος γινόμενον, ἐν ὑστεροβουλίᾳ κείμενον, διαλυομένης τῆς πράσεως, εἰ μὲν ἀγοραστὴς ἢ ὁ διαλύων, καὶ ἀποχωρῶν, ἀπολέσει τὸν ἀρραβῶνα· εἰ δὲ πράτης, τὸ διπλοῦν παρασχεῖν ἀναγκάζεται, τουτέστιν αὐτὸ τὸ δοθὲν, καὶ ἕτερον τοσοῦτον. Ἡ ἄγραφος

πρᾶσις συνίσταται, ἢ ἂν μόνον τὸ τίμημα καταβληθῇ, ἢ τὸ πρᾶγμα παραδοθῇ, ἢ ἱκανοδοσία δοθῇ, ἢ χωρὶς ἱκανοδοσίας ὁ πράτης καταπιστεύσῃ τῷ ἀγοραστῇ· ἡ δὲ ἔγγραφος πρᾶσις, οὐ συνίσταται εἰ μὴ καὶ ἀπολυθῇ τὸ περὶ αὐτὸ συμβόλαιον, ὡς φησὶ τὸ τεῖτον βιβλίον τῶν ἰνστιτούτων ἐν τίτλῳ κγ. περὶ ἀγορασίας καὶ πράσεως διαλαμβάνοντι. ἡ δὲ ἀγορασία τοῦ ἐθνικοῦ νόμου ἐστὶ, διὸ καὶ συναινέσει συνίσταται· καὶ μεταξὺ ἀπόντων καὶ διὰ μέσου καὶ διὰ γραμμάτων, οἱ πωλοῦντες καὶ οἱ ἀγοράζοντες, ἐὰν διχονοῶσι περὶ τὸ τίμημα, ἢ τὸ πρᾶγμα, ἢ τὴν ὕλην, οὐκ ἔρρωται ἡ πρᾶσις· τυχὸν γὰρ, ἐγὼ πέτρον ἐνόμιζον πωλεῖν, καὶ σὺ παῦλον ἀγοράζειν, ἢ χαλκὸς ἀντὶ χρυσοῦ ἐπωλεῖτο. ἡ δὲ περὶ τὴν προσηγορίαν τοῦ πιπρασκομένου πλάνη, οὐ βλάπτει τὸ συνάλλαγμα. εἰ δὲ ὄξος ἀντὶ οἴνου, ὃν μὴν σκευαστὸν, ἀντὶ οἴνου πραθῇ, ἔρρωται ἡ πρᾶσις. καὶ ἐὰν ἧττον δόκιμος ἐστὶν ὁ χρυσὸς ὁ πραθεὶς, παρὸ ὁ ἀγοραστὴς ἤλπιζεν, ἔρρωται ἡ πρᾶσις. ταῦτα δεῖ νοεῖν ἐπὶ τῶν δημοσίων ἐπὶ γὰρ τῶν ἐκκλησιαστικῶν, ἑτέρως διατυποῖ ἡ εʹ νεαρὰ, ἡ ἐν βιβλ. εʹ τῶν βασιλικῶν.

## ΠΕΡΙ ΑΡΧΟΝΤΩΝ.

Οὐδεὶς ἐκ τοῦ παρ' αὐτοῦ ἐγχειριζομένου ὀφφικίου, ἀγοράζειν τι δύναται κινητὸν, ἢ ἀκίνητον, ἢ δι' ἑτέρου, ἢ δι' ἑαυτοῦ, καὶ γὰρ τοῦ πράγματος ἐκπίπτει, καὶ τὸ δοθὲν τίμημα οὐκ ἀναλαμβάνει, ὅπερ κρατεῖ καὶ ἐπὶ τῶν πεκουλιαρίων τοῦ βασιλέως· εἰ μὴ παρὰ δημοσίου πιπρώνου, ὑπεξαιροῦνται δὲ οἱ ῥητῶς ἐπιτετραμμένοι. τὸ δὲ οἰκοδομεῖν, οὐδὲ πλοῖον ἔξεστιν ἐν αὐτῇ κατασκευάζειν... καὶ ἡ νεαρὰ τοῦ καίσαρος ῥωμανοῦ τοῦ γέροντος, οὕτω φησί· μηδένα μηκέτι τῶν περιβλέπτων μαγίστρων, ἢ πατρικίων, μήτε τῶν ἐν ἀρχαῖς, ἢ ἐξουσίαις, ἢ ὅλως βασιλικοῖς ἀξιώμασι τετιμημένων, ἢ πολιτικῶν, ἢ στρατιωτικῶν, ἢ θεματικῶν ἀρχόντων, ἢ ἀπαρχόντων εἴτε μητροπολιτῶν

λιτῶν, ἢ ἀρχιεπισκόπων, ἢ ἡγουμένων, ἢ τῶν ἐν αὐτῶν οἴκοις προεστώτων, ἢ τῶν ἄλλως ἐκκλησιαστικῆς δόξης τυχόντων, ἀγορᾷ, ἢ δωρεᾷ, ἢ ἄλλῳ τινὶ τρόπῳ εἰσέρχεσθαι εἰς χωρίων, ἢ ἀγρῶν κτήσεις. τοὺς γοῦν μετὰ τὴν παροῦσαν διάταξιν τοιοῦτόν τι κατατολμῆσαι ἐλεγχθέντας, καὶ ἀναφαιρέτως ἐκεῖθεν ἐξελαύνεσθαι κελεύομεν καὶ τῶν οἰκείων ἐμπτυνημάτων καὶ καλλιεργημάτων ἀποστερεῖσθαι, καὶ τῷ δημοσίῳ προσφανεῖς μὲν ὄντας, καὶ τὴν τοῦ ἐπικτήματος τιμὴν καταβαλλομένης, τῶν εὐτελεστέρων δὲ, καὶ ἀρχιερέως διακονουμένων, καὶ διὰ τῆς προσηκούσης τιμωρίας σωφρονιζομένων. κυ΄ τί. ιά. δι. μ΄ νεαρὰ τοῦ καίσαρος λέοντος καὶ ἀγοράζειν φησὶ τοὺς ἄρχοντας τοὺς ἐν τῇ πόλει καὶ νεουργεῖν ὁμοίως δὲ καὶ τοὺς ἔξω στρατηγοὺς πλήν.

## ΠΕΡΙ ΤΟΥ . . . ΜΙΚΡΟΥ) ΚΑΙ ΤΑ . . . ΣΤΙΧΟΥ.

Μετὰ δὲ τὸ πραθῆναι, καὶ ἀγορασθῆναι τι κατὰ τοὺς ὡρισμένους χαρακτῆρας, τῆς τε ἀγράφου καὶ ἐγγράφου πράσεως καὶ ἀγορασίας, ὁ κίνδυνος τοῦ πεπραμένου πράγματος, εὐθέως τὸν ἀγοραστὴν ὁρᾷ· εἰ καὶ τὰ μάλιστα μήπω τὸ πρᾶγμα παραδέδοται. τοιγαροῦν εἴτε οἰκέτης ἐστὶν ὁ πεπραμένος καὶ τελευτήσει, ἢ μέρος τι βλαβῇ τοῦ σώματος, χεῖρα ἢ πόδα ἢ ὀφθαλμόν, ἢ οἰκία πεσοῦσα ἡ πεπραμένη, ἢ πᾶσα, ἢ ἐκ μέρους πυρὶ δαπανηθῇ· ἢ ἀγρὸς βίᾳ ποταμοῦ ὅλος, ἢ ἐκ μέρους ἀπόλλυται ἔν τε τῇ πλημμύρᾳ τοῦ ὕδατος, ἢ δένδρων ὑπ' ἀνέμου καταπεσόντων πολλῶν, ἤτοι καὶ χειρόνων γένηται ὁ ἀγρός, ἐπὶ τούτων πάντων, ἡ ζημία τὸν ἀγοραστὴν ὁρᾷ. καθόλου γὰρ ἴσθι ὅτι δίχα δόλου, ἢ ῥᾳθυμίας τοῦ πράτου, εἰ συμβῇ τῷ πράγματι τι τοιοῦτον, ἕξει τὸ ἀμέριμνον ὁ πράτης. ὥσπερ δὲ ἡ ἐκ τύχης ἐλάττωσις καὶ ἀπώλεια τοῦ πεπραμένου πράγματος εἰς τὸν ἀγοραστὴν ἀνατρέχει, οὕτω καὶ εἴ τι προσγένηται κέρδος τῷ πεπραμένῳ πράγματι, τὸν ἀγοραστὴν ὠφελήσει, ὅθεν εἰ καὶ διὰ προσκλύσεως ἢ προσχώσεως ποταμοῦ, μείζων γένηται ὁ ἀγρὸς μετὰ τὸ συστῆναι τὴν

πρᾶσιν

πρᾶσιν, τὸ κέρδους ὁ ἀγοραστὴς ἀπολαύσει. Ἡ πρᾶσις δὲ ἀπ' ἐντεῦθεν ἤδη, ἤγουν εὐθέως καὶ παραυτὰ, χωρὶς τινὸς προσδιορισμοῦ, ἢ αἱρέσεως, καὶ χρόνου ἀναβολῆς, τελειοῦσθαι δύναται· ὡς ὅταν δώσῃς τὸ σὸν ἐπὶ τῷ λαβεῖν τόδε, καὶ ὑπὸ αἵρεσιν γίνεται δι' ὁ δεῖνα οἰκέτης, εἴγε ἔσω μηνὸς αἱρέσει σοι, ἔσω σοι πεπραμένος νομίσμασι δέκα. Μετὰ δὲ γενέσθαι τὴν πρᾶσιν, πᾶν κέρδος καὶ πᾶσα βλάβη, ἐπὶ τῷ πράγματι γενομένη, εἰς κέρδος καὶ ζημίαν ἀνήκει τῷ ἀγοραστῇ· εἰ μὴ ὑπέρθεσιν ἐποίησεν ὁ πράτης, ἐν τῇ παραδόσει. Ὅτι οὐκ ἀπὸ τοῦ συμφώνου, ἀλλὰ ἀπὸ τῆς παραδόσεως γίνεται δεσπότης ὁ ἀγοραστής. Ὁ θάνατος τῆς πραθείσης θεραπαίνης, μετὰ τὴν πρᾶσιν συμβὰς, τῷ ἀγοραστῇ κινδυνεύεται· μόνον εἰ μὴ ἀπὸ τινος πάθους ἀρχαιοτέρου τῆς πράσεως ἐτελεύτησεν. Περὶ πράσεως καὶ ἀγορασίας ἐπὶ ὅρων γινομένων, ὡς γινομένου ὑπερθεματισμοῦ ἤτοι ἐπαυξήσεως τοῦ τιμήματος, ἔσω τοῦ συνδόξαντος, ἐν τῷ συμφώνῳ τῆς πράσεως ὅρου, ἀναλύεσθαι τὴν πρᾶσιν. Ἔνθα ὑπέρθεσιν ὁ ἀγοραστὴς ποιήσει, λοιπὸν οὐκ ἀπὸ ἀμελείας, ἀλλ' ἀπὸ δόλου ὁ πράτης ἐνέχεται· εἰ δὲ οἱ δύο ὑπέρθεσιν ποιήσονται, τῇ ἑτέρᾳ προσέχομεν. Ἡ διάταξις φησὶν, εἰ μὴ πάντα συνδράμῃ, οὐκ ἔρρωται ἡ πρᾶσις. Ὅπερ ἐπώλησα οὐ γίνεται τοῦ λαβόντος, εἰ μὴ δοθῇ τὸ τίμημα, ἢ ἱκανοδοσία, ἢ χωρὶς ἱκανοδοσίας καταπιστεύσω τῷ ἀγοραστῇ.

Ἐὰν κελευσθεὶς ὁ δοῦλος μου τοὺς ὅρους ὑποδεῖξαι τοῦ πράγματος, ἢ ἀγροῦ, ἢ χωραφίου, ἢ ἄλλου τινὸς, πλέον ὑποδείξῃ τοῦ πραθέντος κατὰ δόλον ἢ ἄγνοιαν, οὐ καταδικάζει με· τὸ αὐτὸ δὲ περὶ παραδόσεως νομῆς ἀργούσης. ΝΟΜΟΣ.

Ὁ πράτης ἐφ' οἷς λέγει πρὸς ἔπαινον τοῦ πιπρασκομένου, οὐκ ἐνέχεται· εἰ μὴ ἐπὶ ἀπάτῃ τοῦ ἀγοραστοῦ εἴπῃ, τότε γὰρ ἡ περὶ δόλου ἀγωγὴ ἁρμόζει. ΣΧΟΛ. Πωλῶν τις δοῦλον ἐμοὶ, καὶ βουλόμενος πεῖσαί με ἀγαπᾶν αὐτὸν, ἔλε-

χειν ἀγαθὸν αὐτὸν εἶναι καὶ πιστὸν· καὶ πρὸς πᾶν τὸ προσταττόμενον ἐπιτήδειον, ἀλλὰ μετὰ ταῦτα ἐφάνη διεφθαρμένος, οὐκ ἐνέχεται οὗτος διὰ τὰ πρὸς ἔπαινον τοῦ δούλου λεχθέντα παρ' αὐτοῦ πρὸς ἐμέ· διὰ μόνον γὰρ τὸ ἀγαπηθῆναι τὸν δοῦλον παρ' ἐμοῦ ταῦτα εἴρηκεν. ἐὰν δὲ τεχνίτην εἶναι αὐτὸν διεβεβαιώσατο μάγειρον τυχὸν ἢ ῥάπτην, ἢ ἕτερόν τι τοιοῦτον, γινώσκων τοιοῦτον ἐθέλειν με ὠνήσασθαι, καὶ κατὰ τὸν καιρὸν τῆς πράσεως, ἠπάτησέ με καὶ πολὺ διὰ ταῦτα ἔλαβε τίμημα, τῇ τοῦ δούλου ἀπαγωγῇ εἰς τὸ διάφορον ἐνέχεσθαί μοι ὀφείλει· εἰ μὴ γὰρ τοιοῦτον τεχνίτην εἶναι αὐτὸν διεβεβαιώσατο, ἄλλως αὐτὸν οὐκ ἠγόραζον.

ΠΕΡῚ ΔΟΎΛΟΥ ΚΑῚ ΤΟΥ̃ ΠΕΚΟΥΛΊΟΥ ΑΥ̓ΤΟΥ̃.

Οὐχ ἕπεται τῷ πραθέντι δούλῳ τὸ πεκούλιον αὐτοῦ· ὅθεν ἐὰν ὁ δοῦλος κλέψῃ τοῦ πεκουλίου τι, καὶ περιέλθῃ εἰς τὸν ἀγοραστὴν, καὶ ὅσα μετὰ τὴν πρᾶσιν προστίθεται τῷ πεκουλίῳ, ἀποδίδοται τῷ πράτῃ· τυχὸν τόκοι, καὶ τὰ ἐπὶ τῶν ἔργων καὶ ἐκ τοῦ πεκουλίου τοῦ δούλου. Ὁ ὑπεξούσιος ἐκ τοῦ καστρεσίου πωλῶν, ἐνέχεται ὡς αὐτεξούσιος. Ὁ μὲν ἐν εἰδήσει τὸ ἀλλότριον ἀγοράσας, οὐδέποτε αὐτοῦ γίνεται δεσπότης· ὁ δὲ ἐν ἀγνοίᾳ, αὐτὸς μὲν διὰ χρήσεως κυριεύει. λοιπὸν δὲ ὁ πεπρακὼς αὐτὸ, κατέχεται τῷ δεσπότῃ.

ΠΕΡῚ ἘΠΙΤΡΌΠΩΝ.

Ὁ ἐπίτροπος, οὐ δύναται ὀρφανικὸν πρᾶγμα ἀγοράσαι, τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων, κουράτωρος καὶ προκουράτωρος.

ΠΕΡῚ ΕΥ̓ΡΈΣΕΩΣ ΧΡΥΣΊΟΥ.

Ἐὰν ἐν τῷ πραθέντι οἴκῳ τὸ ἀποτεθειμένον ὑπό τινος χρυσίον, κατὰ παλαιὰν ἀπομεῖναι ἐν αὐτῷ εὑρεθῇ, μένει τοῦ πάλαι δεσπόζοντος. Βλέπων τις πιπρασκόμενον ὑφ' ἑτέρου ἴδιον αὐτοῦ πρᾶγμα, καὶ μὴ ἀντιλέγων αὐτὸς δοκεῖ πιπράσκειν αὐτό. Μεταξὺ πατρὸς καὶ υἱοῦ, εἰ μὴ ἐπὶ ἰδιοκτήτῳ πρᾶγμα

τι

τι ὃ συνίσταται πρᾶσις, καὶ ὅτι ἄνευ τιμήματος, οὐκ ἔστι πρᾶσις.

ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΔΩΡΕΑΝ ΠΡΑΣΕΩΣ.

Εἰ μὲν εἰς τὸ παντελὲς γίνεται πρᾶσις δωρεᾶς αἰτίᾳ, οὐκ ἔῤῥωται· εἰ δὲ δωρεᾶς αἰτίᾳ πραθῇ τι ἥττονος τιμήματος, ἰσχύει. μεταξὺ δὲ ἀνδρὸς καὶ γυναικὸς, οὐδὲ τοῦτο ἔῤῥωται, ἀλλ' ἄκυρος ἡ πρᾶσις. Ἡ κατὰ δωρεὰν πρᾶσις ἀνυπόστατός ἐστιν· εἰ μέντοι ἥττονος ἠγόρασας, ἢ τὸ τίμημα μετὰ ταῦτα συνεχώρησας, ἔῤῥωται ἡ δωρεά. Ὅτι ἡ μὲν ἁπλῆ δωρεὰ, ἀπηλλαγμένη ἐστὶ παντὸς τοῦ δοῦναί τι ἢ ποιῆσαι· ἡ δὲ μὴ οὕτως ἀπηλλαγμένη, ἀλλὰ πρὸς δόσιν χρυσίου, ἢ προσποίησιν μετασχηματισθεῖσα, πρᾶσις καθαρά ἐστιν. Ἡ πρᾶσις ἐκ τοῦ μὴ καταβληθῆναι τὸ τίμημα, οὐκ ἀναιρεῖται· εἰ μὴ ἄρα ἐξ ἀρχῆς κατὰ δωρεὰν ἐγένετο. καὶ ὅτι ἡ τῆς ἀγορασίας πίστις, τῆς πράσεως χωρὶς ποσότητος, οὐδεμία ἐστίν. ἐκ δὲ τοῦ παρέχοντος τιμήματος μὴ ἀριθμηθέντος, ἀλλὰ μόνης τῆς νομῆς αὐτῷ παραδοθείσης, τὸ τοιοῦτον συνάλλαγμα οὐκ ἔστιν ἄκυρον, οὐδὲ διὰ τοῦτο ὁ ἀγοράσας κακῶς νέμεται, ὅτι μὴ κατεβλήθη ἡ ποσότης, ἣν δοθῆναι συνεφώνησεν, ἀλλὰ καὶ εἴπερ δωρεᾶς κτήματος γινομένης ἡ παράδοσις παρακολουθήσει, ἀργύριος τοῦ τιμήματος μηδεμιᾶς ἁρμοζούσης, βεβαιοῦται ἡ δωρεά.

ΠΕΡΙ ΕΙΚΟΝΙΚΗΣ ΠΡΑΣΕΩΣ.

Εἰκονική ἐστι πρᾶσις, ἡ ἐσχηματισμένη καὶ οὐ καλῶς γινομένη, δι' ἧς πέπρακά σοι τὸν ἀγρόν μου εἰς τόσα ν. ἢ πιπράσκω σοι τὸν οἶκόν μου, εἰς τὸ μηδὲν λαβεῖν, ἢ ἀγράφως τοῦτο ἐποίησα, μηδὲν εἰληφὼς παρὰ σοῦ. Εἰκονικὴ πρᾶσις ἐκείνη λέγεται καὶ ἐστὶν, ἥ τις ἄλλου πραττομένου συναλλάγματος κατὰ τὸ σεσιγημένον, προλαμβάνεται κατὰ τὸ φανερὸν ὡς πρόφασίς τις καὶ πρόσχημα ἡ πρᾶσις. οἷον τί λέγω· συνέδοξε μέσον ἐμοῦ καὶ Πέτρου, γενέσθαι διάλυσιν, καὶ συνήλθομεν εἰς τοῦτο, καὶ μέλλοντες καὶ τὸ ἔγγραφον ἀπαρτίσαι τῆς διαλύσεως, δι

ἀλλ' ὅμως μὲν οὐ συνεγραψάμεθα· πεποιήκαμεν δὲ πρᾶσιν, καὶ τὰ συνδόξαντα δοθῆναι λόγῳ διαλύσεως, κατεγραψάμεθα ἐν τῇ πράσει, ἢ συνεφωνήσαμεν καὶ τίμημα δοθῆναι τοσόνδε, εἴκοσι λόγου χάριν νομίσματα· τοῦτο δὲ ἔγγραφον, εἰκονικὴ λέγεται πρᾶσις, ἤτοι ἐσχηματισμένη. καὶ οὐχ ἁρμόζει ἡ ἀπὸ τῆς πράσεως ἀγωγή, ὥστε ἀπαιτήσει τοῦ τιμήματος. ὅτε δὲ τοιοῦτον τὸ μέσον τῶν μερῶν οὐ συνδόξει, ἀλλ' ἐξ ὀρθοῦ πρὸς πρᾶσιν ἀπίδωσι· καὶ ἔγγραφον ἐκθῶνται πράσεως, καὶ τίμημα συμφωνήσωσι καὶ ὁρίσωσι, καὶ ἀκολούθως ἐπακολουθήσει καὶ ἡ τοῦ τιμήματος καταβολή, οὐκ ἔστιν εἰκονικὴ πρᾶσις, ἀλλ' ἀληθής.

Οὐκ ἔστιν εἰκονικὴ πρᾶσις καταβαλλομένου τοῦ τιμήματος.

Εἰκονικὴ πρᾶσις, οὐδέν ἐστιν, ὅτι δοκεῖ ἐκποιεῖσθαι τὸ πρᾶγμα. Εἰ μὲν τῆς γυναικὸς ἀγοραζούσης, καὶ αὐτῇ παραδιδομένου τοῦ πράγματος, ὁ ἀνὴρ μόνον τὸ τίμημα δέδωκε, δέσποινα μὲν ἐστι· δύναται δὲ κινεῖσθαι κατ' αὐτῆς, ἀπαιτεῖν τὸ τίμημα ὅπερ δέδωκεν εἰς τὸ διάφορον ἐκείνῃ συνάλλαγμα. εἰ μέντοι ὁ ἀνὴρ ἠγόρασε, καὶ αὐτῷ τὸ πρᾶγμα παρεδόθη, καὶ αὐτὸς τὸ τίμημα δέδωκεν· εἰκονικῶς δὲ μόνον τὸ τῆς γυναικὸς ὄνομα ἐπέθη, δεῖ προσέχειν ἡμᾶς τῇ ἀληθείᾳ, ὅτι αὐτός ἐστιν ὁ δεσπότης. Ὁ παρὰ κακῇ πίστει νομέως ἀγοράσας καλῇ πίστει, δύναται τὸ πρᾶγμα διὰ χρήσεως δεσπόζειν.

## ΠΕΡΙ ΛΕΙΨΑΝΩΝ ἉΓΙΩΝ.

Μηδεὶς λείψανα ἁγίων πιπρασκέτω. Εἰς τὸ ἀπαιτεῖν καὶ ἐκδικεῖσθαι, τὴν αὐτὴν ὡς ἐπὶ τὸ πολὺ τάξιν ὁ ἀγοραστὴς ἔχει τῷ πράτῃ,

## ΠΕΡΙ ΔΟΛΟΥ.

Ὁ δόλος τοῦ πράτου, τὸν πίστει ἀγαθῇ ἀγοράσαντα, οὐδέποτε καταβλάπτει.

## ΠΕΡΙ ΣΥΜΦΩΝΙΑΣ.

Ἐὰν συνεφωνήθη δοῦναι τὸν ἀγοραστὴν τὸ διπλοῦν, εἰ μὴ ἐντὸς προθεσμίας καταβάλλει τὸ τίμημα, τὸ ὑπὲρ τὸν νόμιμον τόκον, οὐκ ἔρρωται. Ὅπου δὲ μετὰ τοῦ κομμισσορίου ὅρου εἰ μέρος

καταβλη-

καταβληθῇ τοῦ τιμήματος, εἰ μὴ καὶ τὸ λεῖπον ἐντὸς τῆς ὁρισθείσης προθεσμίας καταβληθῇ, ἀπόλλει καὶ τὸ καταβληθὲν ὁ ἀγοραστής, ἀναλυομένης τῆς πράσεως· καὶ τοῦτο οὐκ ἄνευ λόγου, ἀλλὰ διὰ τὸ κερδαίνειν τοὺς ἐν τῷ μέσῳ καρπούς. εἰ δὲ μηδόλως ἐξ ἀρχῆς ὁ ἀγοραστὴς καταβάλλει, ἀπαιτεῖται τοὺς καρποὺς οὓς ἔλαβεν ἐν τῷ μεταξύ, καὶ οὐδὲν μένει ἐκ τοῦ πράγματος παρ' αὐτῷ, μὴ ἐμπροθέσμως καταβαλόντι τὸ τίμημα. παρακρατεῖ δὲ ὁ πράτης, καὶ τὰ λόγῳ ἀρραβῶνος, ἢ ἑτέρας αἰτίας δοθέντα παρὰ τοῦ ἀγοραστοῦ· πλὴν καὶ τοῦτο ἴσθι. ὅτι τοῦ τιμήματος ἐμπροθέσμως μὴ καταβληθέντος· εἰ μὲν βούλεται ὁ πράτης, ἀποκέχρηται τῷ κομισσορίῳ ὅρῳ, καὶ μένει ἀναγόραστος ὁ ἀγρός. εἰ δ' οὖν τοῦτο μὲν ὡς ὑπὲρ αὐτοῦ ὄν, ἑκὼν ἀπωθεῖται, ἀπαιτεῖ δὲ τὸ τίμημα, οὐ δύναται δὲ μετὰ τὸ προβῆναι θάτερον τούτων, ἐκ μεταμελείας μεταπίπτειν εἰς τὸ ἕτερον, ἀλλ' ἀνῄρηται αὐτοῦ τὸ ἅπαξ τὸ ἓν αἱρετισαμένου. μάνθανε καὶ τοῦτο ὅτι καὶ χωρὶς ὀχλήσεως ἐνταῦθα ὀφείλει καταβαλεῖν ἐμπροθέσμως ὁ ἀγοραστὴς· εἰ γὰρ μὴ ἔχει τινὶ καταβαλεῖν, οὐχ ὑποπίπτει τῇ ποινῇ. Ὅτι ὁ ὑπὸ προθεσμίαν ὁμολογῶν, οὐκ ὀφείλει ἀναμένειν ὄχλησιν· ἐπεὶ δίδωσι τὴν ὡμολογημένην ποινήν. Μάνθανε κανονικῶς, ὅτι οὐδεὶς τῶν ὑπὸ ἡμέραν τι ὀφειλόντων παρασχεῖν, συγγινώσκεται μὴ καταβαλὼν, ἐὰν λέγῃ ὅτι διὰ τοῦτο οὐ κατέβαλον, ἐπειδὴ μὴ ὑπεμνήσθην· ὁ γὰρ ὑπὸ ἡμέραν ὀφείλων, ἑαυτὸν ὑπομιμνήσκειν ὀφείλει, καὶ τὴν τοῦ κρεδίτορος μὴ περιμένειν ὑπόμνησιν, ὡς ἔστι καὶ ἀλλαχόθεν πολλαχοῦ μαθεῖν. Δόλος ἑτέρου, τὸν καλῇ πίστει ἀγοράσαντα οὐ βλάπτει· ὁ δὲ τοῦ πράτου δόλος, οὐκ ὠφελεῖ αὐτούς. ΣΧΟΛ. Οἰκέτην ἐκτήσατο Γεῖμος, δελεάσας Σεκοῦνδος ἔλαβε τοῦτον παρ' αὐτοῦ· ἠγόρασα τοῦτον παρὰ Σεκούνδου βονᾳφίδε τοῦτον νομίσας Σεκοῦνδον εἶναι δεσπότην. δύναμαι τοῦτον οὐσουκαπι-

τοῦτο διὰ τελείας, οὐ βλαπτόμενος ὑπὸ τοῦ δόλου, ὃν ἡ μήτηρ τε Σεκοῦνδος, ὁ τὴν οἰκέτην ἐμοὶ πωλήσας, ὥσπερ οὖν τοῦτο δίκαιον, οὕτω καὶ ἐκεῖνο νόμιμον. ἐὰν γὰρ ἀφήλικος πρᾶγμα πωλήσῃ μοι πεῖμος ὡς ἴδιον, εἶτα δελεάσῃ τὸν ἀφήλικα, καὶ συναινέσαι τοῦτον ποιήσῃ τῇ πράσει, οὐκ ὠφεληθήσομαι, ἀλλὰ δύναται χωρεῖν ὁ νέος κατ' ἐμοῦ· ὥς τε οὖν ὥσπερ οὐ βλάπτει με βοναφίδε ὄντα ἀγοραστὴν ὁ ἀλλότριος δόλος, οὕτως οὐδὲ εὐεργετεῖ με, ἡ τοῦ πράτου κακουργία. Ἡ ἀπαίτησις τοῦ πράγματος καλῇ πίστει οὖσα, δόλον οὐκ ἐπιδέχεται. Ὁ τὸ τυχὸν ἀγοράσας τις δοῦλον, καὶ ἐναχθεὶς παρά τινος ἕνεκα τοῦ αὐτοῦ δούλου περὶ κλοπῆς, ἢ ἑτέρου ἁμαρτήματος τοῦ δούλου, ἔξεστιν αὐτῷ ἐκδοῦναι τὸν δοῦλον εἰς νόξαν, καὶ κινεῖ κατὰ τοῦ πράτου· ἐὰν δὲ μὴ ἐκδώσῃ εἰς νόξαν τὸν δοῦλον, ἀλλὰ τὸ διάφορον δώσῃ τῆς ἐνοχῆς τοῦ δούλου, εἶτα κινεῖ κατὰ τοῦ πράτου, καὶ πλέον λαμβάνει τῆς τιμῆς δούλου. Ἐν τῷ περὶ νομῆς δικαστηρίῳ διδοὺς ὁ πράτης τὸ διπλοῦν, οὐδὲν ἀπαιτεῖται προφάσει τῶν ἄλλων, τῶν δὴ ἔθους ἐν τῇ πράσει συμφωνουμένων. Ὁ πράτης κατὰ τοῦ ἀγοραστοῦ τὴν περὶ τοῦ τιμήματος ἀγωγὴν κινεῖ· τὴν γὰρ περὶ τοῦ πράγματος ἀγωγήν, μετὰ τὴν τούτου παράδοσιν, ἔχειν οὐ δύναται. Ὁ ἀγοραστὴς ἀπὸ τοῦ καιροῦ τῆς παραδόσεως τοῦ πράγματος, τόκους χρεωστεῖ τοῦ τιμήματος.

## ΠΕΡῚ ΤΌΚΟΥ.

Ὁ ἀγοραστὴς ὑπέρθεσιν ποιήσας εἰς τὴν τοῦ τιμήματος καταβολήν, μόνον τόκους δίδωσι. καὶ οὐχ ὅσα ὁ πράτης ἐδύνατο διὰ τῶν τιμημάτων ἀπὸ πραγματείας ὡς εἰκὸς κερδαίνειν.

Εἰ καὶ μετὰ ὑπερθέσεως καταβληθῇ τὸ κεφάλαιον, οὐκ ἀπαιτεῖται τόκος· οὐ γάρ ἐστιν ἀπὸ ἐνοχῆς, ἀλλ' ὀφφικίῳ τοῦ δικαστοῦ δίδοται. Ὁ πράτης μὴ παραδιδοὺς τὸ πρᾶγμα ἐνάγεται εἰς τὸ διάφορον τῷ ἀγοραστῇ· καὶ εἰ συμβαίνει τὸ διάφορον

ἀφθόρον ὑπερβαίνειν τὸ τίμημα. Ὁ ἀγοραστὴς ἀδίκως ἀποσπασθέντος ἐξ αὐτοῦ τοῦ πραθέντος πράγματος, οὐδεμίαν ἀγωγὴν ἔχει κατὰ τοῦ πράτου.

ΠΕΡΙ ΠΡΑΣΕΩΣ ΠΡΑΓΜΑΤΩΝ ΓΥΝΑΙΚΩΝ.

Ἐὰν ὁ ἀνὴρ πωλήσῃ πρᾶγμα τῇ γυναικὶ διαφέρον, κἂν τὰ μάλιστα κατ' ἀπάτην ἡ γυνὴ συναινέσασα, σφραγίσῃ τὸ τῆς ἀγορασίας συμβόλαιον, οὐδὲν ἐντεῦθεν ἀπομένει πρόκριμα ἢ προτίμησις· ἀλλὰ λοιπὸν δέεται ὁ ἀγοραστὴς, ἢ τῆς διὰ χρήσεως κυριότητος, ἢ χρονίας παραγραφῆς. Τὰ τῆς προγάμου δωρεᾶς, καὶ τὰ τῆς προικὸς πράγματα, οὐδὲ συναινούσης τῆς γυναικὸς ἐκποιεῖται, οὐδὲ ἐνεχυριάζεται· εἰ μὴ δευτέραν ποιήσεται συναίνεσιν αὐτοῖς ἡ γυνὴ μετὰ διετίαν. Ἔνθα μέντοι γε δυνατόν ἐστι τὸ ἱκανὸν αὐτῇ γενέσθαι ἐξ ἑτέρων πραγμάτων. Ὁ γὰρ παρὰ τὴν ἔνθεσμον παρατήρησιν ἀγοράζων τὰ τοιαῦτα πράγματα, τὴν γυναῖκα οὐ προκριματίζει, ἀλλ' ὑπόκειται αὐτῇ.

Ὅσα προκατάσχηται ἑαυτῇ ἡ γυνὴ, ἃ μὴ καταγράφηται εἰς προῖκα, ἢ καὶ τὰ προσερχόμενα αὐτῇ συνεστῶτος τοῦ γάμου, καὶ παρακρατούμενα, ἐκποιούμενα παρὰ τοῦ ἀνδρὸς εἰδυίας τῆς γυναικὸς καὶ συναινούσης ἐγγράφως, οὐ δύναται ἡ γυνὴ μετὰ λύσιν τοῦ γάμου ἀναζητῆσαι, ἢ προβάλλεσθαι τὸ τῆς ὑπεξουσιότητος δίκαιον. ῥωμαϊκὸν

ΠΕΡΙ ἈΝΑΣΤΡΟΦΗΣ ΚΑΙ ΜΕΙΩΣΕΩΣ ΠΡΑΘΕΝΤΟΣ.

Ὅτι ἡ μὲν τοῦ πραθέντος ἀναστρέφουσα ἀγωγὴ, εἴσω ἓξ μηνῶν κινεῖται· ἡ δὲ μειοῦσα τὸ τίμημα, εἰς ἐνιαυτόν. Ἀφ' οὗ δὲ γνῷ τὸ πάθος, ἢ ὀφείλει γνῶναι ὁ ἀγοραστὴς, τρέχουσιν οἱ ἓξ μῆνες.

ΠΕΡΙ ΠΡΑΣΕΩΣ ΖΩΩΝ.

Μετὰ τὸ ἀπεμπολῆσαι τὸ ζῶον, εἰ αἰτίαν λανθάνουσαν ἔχει, δι' ἑξαμηνιαίου κατὰ τὸν νόμου καιρὸν ἀντιστρεφέσθω· εἰ δὲ καὶ οἱ ἓξ μῆνες παρέλθωσιν, μειούσθω τὸ τίμημα, εἰ μὴ στρατιώτης ἐστὶν ὁ ἀγοραστής. Εἰ πωλήσω σοι οἰκέτην, ἐφ' ᾧ εἰ

ἀπαρεσθῇς

ἀπαραιτήτως ἀντιστρέψεις μοι αὐτὸν, εἰ μὴ ἐκφωνήσω χρόνον, εἴσω ἑξήκοντα ἡμερῶν δύνασθαι τοῦτο ποιεῖν, εἰ μή τι ἐμπόδιον εὔλογον παρενέπεσε· τότε γὰρ καὶ μετὰ τὰς ἑξήκοντα ἡμέρας κινεῖς. τὰ αὐτὰ καὶ ἐπὶ κτηνῶν· εἰ δὲ ζεῦγος κτηνῶν πραθῇ, διὰ τὸ ἓν καὶ τὸ ἕτερον ἀντιστρέφεται. Ἐὰν εὑρεθῇ τὸ πραθὲν ὑπαίτιον, ἢ ἐμπαθὲς· ἔστι δοῦλος φυγάς, ἢ ῥεμβός, ἢ κλέπτης, εἴτε ἄλογον ζῶον τι εὐμενὰ ἔχον, ἢ κεχαλασμένον ὦμον, ἢ ἕτερον αἴτιον· εἰ μὲν πρὸς ἔπαινον αὐτοῦ εἶπεν ὁ πράτης, καὶ συμφωνήσοι τοῦτο ἀπαθές, ἔχει ὁ ἀγοραστὴς ἐξουσίαν, εἴσω ἑξαμήνου ἀντιστρέφειν τοῦτο· μετὰ δὲ τὸ ἑξάμηνον, οὐχί· ἀλλ' ἕως πληρουμένου τοῦ ἐνιαυτοῦ, κινεῖ τὴν μειοῦσαν τὸ τίμημα ἀγωγήν. εἰ δὲ μὴ εἶπε πρὸς ἔπαινον τοῦ πωλουμένου ὁ πράτης, εἴσω μὲν δύο μηνῶν, ἔχει τὴν ἀναστρέφουσαν τὸ πρᾶγμα ἀγωγὴν ὁ ἀγοραστής· μετὰ δὲ τοὺς δύο μῆνας, ἄχρις ἑξαμήνου τὴν μειοῦσαν τὸ τίμημα. ὀφείλει γὰρ ὁ πράτης προλέγειν τῷ ἀγοραστῇ, τὰ πάθη καὶ τὰ αἴτια τοῦ πωλουμένου. Τὰς αἰτίας τῶν ζώων, τὰς ἀφανεροῦ οὔσας, λεγέτωσαν οἱ ἀπεμπωλοῦντες· ὁμοίως καὶ τὰς ἐν κρυπτῷ. καὶ εἰ εὑρεθῶσιν οἱ ἐξωνήσασθαι βουλόμενοι, καὶ μὴ ἐσφραγισμένην τὴν τιμὴν παράσχωσι, μὴ ἐχέτωσαν ἐξουσίαν ταῦτα ἀντιστρέφειν· εἰ μὴ μέχρι φόρου ἐνός, ἀπαγγέλλοντες τὴν αἰτίαν δι' ἣν ταῦτα ἀντέστρεψαν. εἰ δὲ ἐσφραγισμένη ἡ τιμὴ δοθῇ, κατὰ τὴν συμφωνίαν, οὕτω καὶ γινέσθω.

Τὰ δειλὰ καὶ λακτιστικὰ ὑποζύγια, οὐκ εἰσὶν ἐμπαθῆ· ψυχικὰ γάρ εἰσι τὰ αἴτια. ἐὰν οὖν μόνον ψυχικόν ἐστι τὸ αἴτιον, οὐκ ἔχει χώραν ἡ ἀναστρέφουσα τὸ πραθὲν ἀγωγή· εἰ μὴ προεῖπεν ὁ πράτης, ἀπεῖναι αὐτό· ἁρμόζει δὲ τὸ μειωθῆναι τὸ τίμημα. εἰ δὲ σωματικόν ἐστιν, ἢ κοινὸν ψυχῆς καὶ σώματος, χώρα τὸ ἀναστραφῆναι τὸ πραθέν, οὐκ ἐπιζητουμένου μὲν ὀλέθριον εἶναι τὸ πάθος, ἀλλὰ τὸ ἐστι δήποτε ἐμποδίζον τῷ πράγματι πάθος. οὐδὲ διαφερόμεθα γάρ, ποίῳ πράγματι τὸ πάθος

ἐγκει-

ἐναντιοῦνται. ἐμπαθὴς ἐστι καὶ ἡ λακτίζουσα μοῦλα, καὶ τὰ ἐναντίως θορυβούμενα, καὶ φθέγγοντα ὑποζύγια. Συνήθης ἐστι μὴ ἁρμόζειν τὴν περὶ ἀναστροφῆς ἀγωγὴν, ἐπὶ τῶν ἁπλῶν πράσεων. Τὰ εἰς ἔπαινον τοῦ πιπρασκομένου λεγόμενα παρὰ τοῦ πράτου, εἰ μὲν φαίνονται, οὐκ ἐνοχλοῦσιν αὐτόν· οἷον ὅτι εὐειδὴς ὁ δοῦλος, ἢ καλῶς ὁ οἶκος ἔκτισται. εἰ δὲ εἴπει γεγραμματισμένον ἢ τεχνίτην εἶναι, τοῦτον δίδωσιν, ὡς πλείονος κατὰ τοῦτο πωλήσας. Ὁ δεδεμένον πιπράσκων, οὐχ ὑπόκειται τῇ περὶ φυγῆς ἀγωγῇ. μεῖζον γάρ ἐστι τοῦτο, τοῦ εἰπεῖν ὡς ἐδέθη· αἰτιᾶται γὰρ τῇ ἀγοραστῇ παραγραφή, γινώσκοντι περὶ τῆς φυγῆς, ἢ τῶν δεσμῶν καὶ τῶν ὁμοίων.

## ΠΕΡΙ ἈΝΑΛΗΣΕΩΣ ΠΡΑΘΕΝΤΟΣ.

Ὁ κατὰ βίαν πρᾶγμα πεπρακὼς, δύναται ἀναδιδοὺς ὅπερ ἔλαβε τίμημα, τὴν κατὰ βίαν γενομένην πρᾶσιν ἀνατρέπειν, καὶ οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ ὁ κληρονόμος αὐτοῦ.

Ἐάν τις τὸ ἴδιον πρᾶγμα ἐλαχίστου τιμήματος πωλήσῃ δύναται τὸ τίμημα ἀναδιδοὺς λαμβάνειν τὸ ἴδιον πρᾶγμα· ἐλάχιστον δὲ τίμημα ἐστὶ, τὸ μὴ δὲ εἰς ἡμίσειαν διατιμήσεως ἀναφερόμενον. ἐὰν δὲ ὁ ἀγοραστὴς ἐπιλέξηται τὸ λεῖπον τοῦ δικαίῳ τιμήματι δοῦναι, ἔχειν αὐτὸ τὸ πεπραμένον πρᾶγμα. τὸ αὐτὸ δίκαιον, καὶ ἐπὶ τοῖς πᾶσι τοῦ πράτου προβαινέτω, ἡ δὲ περὶ τούτου ἀγωγὴ, ἐντὸς τεσσάρων ἐνιαυτῶν κινεῖται. ΝΟΜΟΣ

Ἐπὶ τῆς πράσεως καὶ τῆς ἀγορασίας, ἔξεστι κατὰ φύσιν ἀλλήλους ἐν τῷ τιμήματι περιγράφειν τοὺς συναλλάσσοντας.

ΣΧΟΛ. Οἱ μὲν τέλειοι πωλοῦντες πρᾶγμα ἴδιον, ἐὰν περιγράφωσιν εἰς τὴν τούτου τιμὴν μέχρι τοῦ ἡμίσεως· καὶ τυχὸν τὸ ὂν ἄξιον ρ̄ ι. δώσωσι πεντήκοντα, ἀνατρέπειν τὴν πρᾶσιν οὐ δύνανται, ἐπεὶ πεγραμμένον γοῦν παρὰ τῶν νόμων ἐστὶν, ἵνα γοῦν εἰς δόλου τὸ ὂν ἄξιον ρ̄ ι πρᾶγμα, πεντήκοντα ἀγοράζωμεν. ἐπὶ δὲ τῶν ἀφηλίκων, τοῦτο οὐ γίνεται· οὔτε γὰρ κἂν εἰς ἔλατ-

τὴν τοῦ ἡμίσεως παραγραφῶσι πρᾶγμα πωλοῦντες ἀκίνητον,
ἀποκαθίστασθαι δύναται καὶ ἀνατρέπειν τὸ συνάλλαγμα
ἰστέον δέ· εἰ μετὰ ὁ ἡττονηθεὶς ἀγοραστὰς γνωσθείσης τῆς παραγραφῆς,
ἀποστῆναι βουληθείη τοῦ κτήματος, ἵνα μὴ εὐθύνηται εἰς τοὺς καρ-
ποὺς. ὥστε ἀποδοῦναι πρὸς τὴν πρᾶσιν καὶ καθαροὺς καρποὺς,
τοῦ περιττοῦ κατεχομένου παρ' αὐτοῦ μέρους τοῦ κτήματος. εἰ δὲ
βουληθείη ἐρρωμένην εἶναι τὴν πρᾶσιν, καὶ καταβαλεῖν τὸ
λεῖπον τοῦ δικαίου τιμήματος, τότε παρέχειν αὐτὸν καὶ τοὺς τό-
κους τοῦ μὴ καταβληθέντος τιμήματος· ὡς ἐρρωμένης οὔσης τῆς
πράσεως, οὕτω γὰρ ὁ μάγιστρος ἀπεφήνατο, καὶ τοῖς ἄλλοις πᾶ-
σι κριταῖς ἤρεσεν. ΝΕΑΡΑ. καὶ ἡ νεαρὰ τοῦ καί-
σαρος ῥωμανοῦ τοῦ γέροντος, οὕτω φησίν. εἰ μὲν εὑρίσκονται οἱ ἐγ-
καλέσαντες μετὰ τὴν πρᾶσιν τὴν γενομένην παρ' αὐτῶν, ἔπειτα καὶ
μαρτυρηθῇ ὅτι ἐγένετο, ἐντὸς τετραετοῦς χρόνου κινήσαντες
καὶ ἐπιμεμψάμενοι βοηθοῦνται. βοηθοῦνται δὲ οὐκ εἰς τὸ ἀνα-
λαβεῖν τὰ προάστεια· ἀλλ' εἰ μὲν βούλεται ὁ ἀγοραστὴς παρα-
σχεῖν καὶ τὸ λοιπὸν τίμημα, πρὸς ἀναπλήρωσιν τοῦ δικαίου τι-
μήματος, ἵνα δύνηται τοῦτο ποιεῖν· καὶ ποιῶν τὴν ἀναπλήρωσιν
τοῦ δικαίου τιμήματος, καὶ τὴν καταβολὴν τῆς δικαίας ποσότη-
τος, ἵνα ἔχῃ τὰ προάστεια. ἀναλαμβάνωσι δὲ καὶ οἱ ἐγκαλοῦν-
τες τὸ δίκαιον τίμημα, καθόσον ἀξιοῦται τὸ κτῆμα· εἰ δὲ μὴ βού-
λεται ὁ ἀγοραστὴς τὴν ἀναπλήρωσιν τοῦ τιμήματος ποιήσασθαι,
ἵνα ἀπολάβῃ μὲν παρὰ τῶν ἐγκαλούντων, ὅπερ κατεβάλλε-
το τίμημα, καὶ τὰς ἐξόδους αὐτοῦ, καὶ ἀναχωρῇ ἐκ τοῦ κτήματος,
τὸ δὲ κτῆμα αὐτοῦ, ἀποδιδῶται τοῖς πωλήσασιν. Οἱ συναλ-
λάττοντες ἔχουσιν ἄδειαν παραγράφειν ἀλλήλους ἕως καὶ ἡ-
μίσεως τοῦ τιμήματος, οὗ περ ἐστὶ τὸ πρᾶγμα ὅπερ συναλλάσ-
σουσιν ἄξιον. ὁ δὲ ἐπέκεινα τοῦ ἡμίσεως τιμήματος παραγρά-
φων, ἤγουν τὸν μετ' αὐτοῦ συναλλάττοντα ζημιῶν, ἢ ἀντιστρέ-
φει τὸ περισσότερον τοῦ ἡμίσεος, ἢ ὅλη ἡ πρᾶσις ἀναλύεται

καὶ

καὶ ἀνατρέπεται. Οὐκ ἔστι δεδοκιμασμένη ἡ αἰτία, δι' ἧς ἀνατραπῆναι τὴν κατὰ συναίνεσιν γενομένην πρᾶσιν ἐπιζητεῖς· εἰ καὶ τὰ μάλιστα γὰρ διπλάσιον εἰσφέρεις τὸ τίμημα τῷ ἀγοραστῇ, ὅμως ἄκων εἰς τὸ ἀνατρέψαι τὴν πρᾶσιν οὐ συνωθεῖται.

Ἐὰν πωλῶν σοι ἀγρὸν ὑποδείξω σοι τοὺς ὅρους, καὶ εἴπω εἶναι τὸν ἀγρὸν ρ̄ ζευγῶν ἐργασίας, καὶ ἐκνικηθῇ γῆ· εἶτα κινήσῃς κατ' ἐμοῦ περὶ τῆς ἐκνικήσεως, καὶ μετρηθέντος τοῦ ἀγροῦ ἡ ποσότης τῶν ρ̄ ζευγῶν τῆς ἐργασίας εὑρεθῇ, οὐκ ἀποκλείεσθαι εἰς τὸ ζητεῖν τὸ ἱκανὸν ἐκ τῶν νικηθέντων, τοῖς γὰρ ὅροις πλέον ἐπίστευσας, ἤπερ τῇ ποσότητι τῶν ἐργασιῶν, καὶ πρὸς τοὺς ὑποδειχθέντας ὅρους εὐθύνεται ὁ πράτης.

## ΠΕΡῚ ἘΚΝΙΚΉΣΕΩΣ ΠΡΑΘΈΝΤΟΣ.

Εἴτε μέρος, εἴτε ὁ πραθεὶς ἀγρὸς ὅλος ἐκνικηθῇ, ἐνάγεται ὁ πράτης. Αἱ μετὰ τὴν πρᾶσιν συμβαίνουσαι τῆς ἐκνικήσεως τυχηραὶ αἰτίαι, πρὸς τὸν πράτην οὐ φέρονται. Ὅτε τοῦ πράγματος ἐκνικηθέντος, τὸ ἁπλοῦν μόνον τίμημα δίδωσιν ὁ πράτης, τῷ ἀγοραστῇ· εἰ μή τι καὶ ἕτερον συνεφωνήθη, καὶ τὸ διαφέρον, ὅθεν καὶ ἐὰν ἥττονος γέγονεν, ὁ ἀγοραστὴς ζημιοῦται.

Ὅτε ὁ παρὰ τοῦ μαλαφίδε νεμομένου ἀγρὸν, βοναφίδε ὠνούμενος, κτᾶται αὐτὸν διὰ τῆς τοῦ μακροῦ χρόνου παραγραφῆς. Ἡ ἐπὶ τῇ πράσει ἀγωγὴ, μακροῦ χρόνου παραγραφῇ οὐκ ἐκβάλλεται. Ἐὰν ἥττονος οὗ πρὸ ἐνετειλάμην πραθῇ τὸ πρᾶγμά μου, οὐ δοκεῖ πεπρᾶσθαι. Τότε τὰ παρὰ τοῦ δημοσίου πωλούμενα, ἔσω πενταετίας ὁ δεσπότης δύναται αὐτῶν ἐκδικῆσαι· ὅτε μὴ ὡς δανειστὴς ὁ δημόσιος πωλεῖ. εἰ γὰρ δανειστὴς ὢν ταῦτα πωλήσει, κατ' οὐδένα καιρὸν δύναται ὁ χρεώστης ταῦτα ἐκδικῆσαι. ἐὰν δὲ κατὰ συμπαιγνίαν καὶ ἀπάτην τοῦ καθολικοῦ, ἢ καὶ πολλοῦ τιμήματος γέγονεν ἡ πρᾶσις, δύναται ὁ χρεώστης προσφέρειν τὸ χρέος, καὶ ἀναλαμβάνειν τὸ ἴδιον. Εἰ ἢ μὴ παρεδόθη τῷ ἀγοραστῇ πρᾶγμα, ἐνά-

ξηται δὲ νομῆς αὐτοῦ ἄνευ αἰτίου, ἔχει κατὰ τοῦ πράτου τὴν παραγραφήν· εἰ μὴ εὔλογον αἰτίαν ὁ πράτης ἔχει, δι᾽ ἣν ἐκδικεῖ τὸ πρᾶγμα. Ὅτι τὸ πραθὲν ὑπὸ τοῦ δημοσίου διὰ δημόσιον χρέος, οὔτε αὐτὸς ὁ χρεώστης, οὔτε ὁ δανειστὴς δύναται προσαγαγεῖν τὸ χρέος καὶ ἐκδικῆσαι· πάντων γὰρ προτιμότερος ἐστὶν ὁ δημόσιος. ὡς δὲ ἡ τοῦ Μάρκου διάταξις καὶ Κομμόδου, εἴσω πέντε μόνον ἐνιαυτῶν ὁ δεσπότης δύναται ἐκδικεῖν. Ἐὰν τοῦ δημοσίου πωλοῦντος τὸ ἑτέρῳ τινὶ ὑποκείμενον, ἐφησυχάσῃ ὁ δανειστὴς, ἀπόλλυσι τὴν ἐπὶ τῇ ὑποθήκῃ ἀγωγήν· οὐδὲ γὰρ αἱ γινόμεναι πράσεις παρὰ τοῦ δημοσίου εὐχερῶς ἀνατρέπονται.

## ΠΕΡῚ ΠΡΆΣΕΩΣ ΚΑῚ ΔΩΡΕΑ͂Σ.

Ἐὰν δύο τινὲς τὸ αὐτὸ πρᾶγμα κεχωρισμένως ἀγοράσωσιν ἐξ ὁλοκλήρου, ὁ πρώτως αὐτὸ λαβὼν ἔσται βελτίων, εἰ καὶ τὸ τίμημα οὐ κατέβαλε, κἂν τὰ μάλιστα μὴ ἔλαβε τὰ δικαιώματα τοῦ πράγματος. ὁμοίως καὶ ἐπὶ δωρεᾶς. Ὁ ἀγοράσας ἀλλότριον ἀγρὸν, οὐ δίδωσιν αὐτὸν τῷ δεσπότῃ· εἰ μὴ λάβοι τὰ χρήματα, ἅπερ δέδωκε τῷ ἐσχηκότι αὐτὸν εἰς ἐνέχυρον.

## ΠΕΡῚ ΠΡΆΣΕΩΣ ὈΡΦΑΝΙΚΟΥ͂.

Ἐάν τις παρὰ γυναικὸς ἀγοράσῃ πρᾶγμα, διαφέρον τῷ ταύτης παιδὶ, καλῶς ἐνάγεται τῇ ἐπ᾽ αὐτῷ ἀγωγῇ. ἐὰν δὲ ὁ παῖς κληρονομήσῃ τὴν μητέρα, εἰς ὅσον αὐτὴν ἐκληρονόμησεν, ἀναγκάζεται ἐφησυχάζειν, ἐκβαλλόμενος διὰ δόλου παραγραφῆς.

## ΠΕΡῚ ΠΡΆΣΕΩΣ ΠΑΊΔΩΝ.

Εἴ τις διὰ πολλὴν πενίαν καὶ τῆς ἐνδείας τῆς τροφῆς ἕνεκεν, τὸν υἱὸν ἢ τὴν θυγατέρα πωλήσει, ἔρρωται ἡ πρᾶσις. ἐπὶ τούτου δὲ μόνον ἔρρωται, ἐφ᾽ ᾧ τὸν ἀγοράζοντα μὴ ἄλλως ἀναγκάζεσθαι ἀποδοῦναι ταῦτα τὰ πρόσωπα, ἐὰν μὴ ἢ τὸ τίμημα λάβῃ ὅσου εἰσὶν ἄξια νῦν, ἢ ἀνδράποδον αὐτοῖς ὅμοιον. ἐξέστω γὰρ αὐτῷ τῷ πεπρακότι, ἢ τῷ πραθέντι, ἢ εἴ τινι δήποτε ἑτέρῳ εἰς τὴν ἰδίαν εὐγένειαν ἐπαναλαβεῖν αὐτὸν, μόνον ἐὰν ἢ

τὸ τίμημα προσφέρῃ ὅσου νῦν ἄξιόν ἐστι, αὐξηθεὶ καὶ μεῖζον γενόμενον τὸ πραχθέν, ἢ ἀνδράποδον ὑπὲρ τούτων παράσχοι.

## ΠΕΡΙ ΚΛΟΠΙΜΑΙΟΥ.

Ὁ ἀγοράσας κλοπιμαῖον, καὶ ἀπαιτούμενος εἰπεῖν τὸν πεπρακότα, οὐκ ὀφείλει λέγειν, ὅτι ἀγνοῶ τίς ἐστιν, παρερχόμενος γάρ τις πέπρακέ μοι αὐτὰ καὶ ὤδευσεν, ἀλλ' ὀφείλει λέγειν τὸν κλέπτην. Τὸ προσπιτῶς ληφθέν, ἢ ἀτόπως κλαπὲν εἰ πραθείη, διεκδικεῖται· μὴ καταβαλλομένου τοῦ δοθέντος ὑπὲρ αὐτοῦ τιμήματος. Ὁ ἀναδιδοὺς τὰ κλαπέντα, οὐκ ἀπαιτεῖται, ἅπερ ἔδωκεν ὑπὲρ αὐτῶν τιμήματα.

Ἐὰν κλοπιμαίαν θεράπαιναν πίστει καλῇ ἀγοράσῃς, εἴγε αὐτὴ γεννήσει παρὰ σοί, δύνασαι οὐσουκαπτεύειν. εἰ καὶ ἐν τῷ μέσῳ τοῦ οὐσουκαπίονος χρόνῳ ἔμαθες, κλοπιμαίαν εἶναι τὴν θεράπαιναν, καὶ οὕτω μὲν ἀδιαστίκτως ὁ νεράτιος εἶπεν. ἐγὼ δὲ διαστίζων λέγω, ἵνα εἰ μὲν ἠγνόησας, ὅλον τὸν καιρὸν τοῦ οὐσουκαπίονος, τίνος ἦν ἡ θεράπαινα, ἢ καὶ μαθὼν οὐκ ἠδυνήθης ἀπαγγεῖλαι τῷ δεσπότῃ αὐτοῦ, ἢ καὶ μαθὼν καὶ δυνηθεὶς ἀπήγγειλας αὐτῷ, οὐσουκαπτεύεις. εἰ δὲ εἰδὼς καὶ δυνάμενος ἀπαγγεῖλαι οὐκ ἀπήγγειλας, οὐ δύνασαι οὐσουκαπτεύειν τὸν τόκον. ἐπειδὴ λάθρα λοιπὸν ἐνέμου τὴν τεκοῦσαν· οὐδὲ γὰρ ἐνδέχεται τὸ αὐτὸ πρᾶγμα καὶ πρὸ σοῦ νέμεσθαί τινα καὶ λαθραίως. Ὁ ἀπὸ μαινομένου ἀγοράσας, ὡς ἀπὸ νήφοντος, διὰ τῆς χρονίας νομῆς δεσπόζει· οὐκ ἔχει δὲ ἀγωγὴν περὶ ἐκνικήσεως, οὐδὲ προσθήκῃ τῆς νομῆς αὐτοῦ κέχρηται.

Ἐὰν ἀπὸ μαινομένου ἀγοράσω, αὐτὸν νομίζων ὑγιαίνειν, οὔτε εἰς τοὺς τῆς νομῆς αὐτοῦ χρόνους βοηθοῦμαι, τοῦ συναριθμῆσαι τούτους τῇ ἐμῇ νομῇ, οὔτε ἀναγκάζω αὐτὸν ἢ τὸ πρᾶγμα ἐκδικεῖν, ἢ τὴν τιμὴν αὐτοῦ στρέφειν. πλὴν ἀλλ' εἰ καὶ ἡ πρᾶσις οὐ συνίσταται διὰ τὴν μανίαν, ὅμως εἰ τὸν νενομισμένον καιρὸν τῆς δικαιίας ἀνεγκλήτως κατάσχω, κύριος τοῦ πράγματος κα-

θίσαμαι. Ὁ διδοὺς τῆς δίκης διατίμησιν, ἀντὶ τοῦ ἀγοραστοῦ νέμεται, καὶ ὅτι ὡς ἀγοραστὴς νέμεται ὁ ἀγοράσας, οὐχ ὁ ὑπονοῶν ἀγοράσαι. Ἔξεστι τῷ πράτῃ γινομένης τῆς αἱρέσεως αὐτοῦ κρείττονος, προσκυροῦν δευτέρῳ· εἰ μὴ πλέον ὁ πρῶτος ὑπερθεματίζει, οὗ πρώην ἔδωκε δηλαδή. Μὴ εἴπῃς ὅτι πλέον τοῦ δευτέρου ἀγοραστοῦ ὀφείλει ὁ πρῶτος ὑπερθεματίζειν, εἰ βούλοιτο ἀναφαίρετον εἶναι τὸ πρᾶγμα παρ᾽ αὐτοῦ. τὸ γὰρ πλέον οὐ τοῦτο σημαίνει, ὅτι τάχα πλέον ὧν προσέθηκεν ὁ δεύτερος ἀγοραστὴς, ὀφείλει προσθεῖναι ὁ πρῶτος· ἀλλ᾽ ὅτι τῷ πλείονι ὅπερ προσέθηκεν ὁ δεύτερος ἀγοραστὴς, ὁ πρῶτος ὀφείλει κεχρῆσθαι. τουτέστι τῷ αὐτῷ κεχρῆσθαι ὑπερθεματισμῷ ᾧ ἐχρήσατο ὁ δεύτερος ἀγοραστὴς, εἰ βούλοιτο βεβαίαν εἶναι τὴν πρᾶσιν τὴν πρὸς αὐτὸν γενομένην. Κρείττων ἡ αἵρεσις γίνεται, καὶ ἐν πλείονι ποσῷ, καὶ ἐν ταχυτέρᾳ καὶ εὐτυχεστέρᾳ καταβολῇ. καὶ ἐν τόπῳ ἐπιτηδειοτέρῳ, καὶ ἐν εὐπορωτέρῳ ἀγοραστῇ, καὶ ἐν τῷ ἀγοράσαι ἐπὶ ἐλαφροτέρᾳ αἱρέσει, ἢ ἐν τῷ μὴ ἀπαιτεῖσθαι τὸν πράτην ἱκανοδοσίαν, καὶ τὰ λοιπὰ ὅσα ἦν ἐν τῇ πράσει βαρέα, κἂν ἧττον τίμημα δώσωσι. τὰ γὰρ λυσιτελοῦντα τῷ πράτῃ, κρείττονα ποιοῦσι τὴν αἵρεσιν. Ἐὰν ἐκ καινῆς πρᾶγμα προστεθῇ τῷ ὑπερθεματίζοντι, ἄξιον ὂν τῆς παρ᾽ αὐτοῦ γενομένης προσθήκης, ἡ πρώτη πρᾶσις οὐ λύεται.

## ΠΕΡΙ ΠΡΟΤΙΜΗΣΕΩΣ

Διαπράσεως γινομένης, τοῦ μὲν ἐξωτικοῦ ὁ δανειστὴς ἢ ὁ συγγενὴς προτιμᾶται εἰς τὸ ἀγοράσαι, τοῦ δὲ συγγενοῦς ὁ δανειστής· ἐκ δὲ τῶν δανειστῶν, ὁ τὸ πλέον χρεωστούμενος. Εἰ πρὸς περιγραφὴν δανειστῶν μου ἔλαττον πωλήσω ἀγρὸν, ἀνατρέπεται τὸ πραθὲν, κἂν μὴ ἀναδοθῇ ἡ τιμή.

ΣΧΟΛ. Θέλων περιγράψαι τοὺς δανειστάς μου, ἤγουν σκοπὸν ἔχων ἐλαττῶσαι τὴν περιουσίαν μου καὶ ποιῆσαι αὐτὴν ἐλαχίστην, ἵνα ζημιώσω τοὺς δανειστάς μου μὴ ἔχοντας ὅθεν ἀπο-

πληρωθῶσι, πέπρακα πρὸς πέτρον, ἀγρὸν ἄξιον χιλίων νομισμάτων εἰς ῡ, ἐκδότα τὰ βιβλία μου, δίδοται τοῖς δανεισταῖς καὶ ἴν φανῶν, καὶ ἀνατρέπονται τὴν πρᾶσιν, κἂν μὴ δώσωσι τὸ τίμημα. τιμωρεῖ γὰρ ὁ νόμος τὸν δόλον τοῦ ἀγοραστοῦ, καὶ ἀντιστρέφει κατ' αὐτοῦ, ὅπερ αὐτὸς ἐμελέτησε κατὰ τῶν δανειστῶν, Εἰ ἀγοράσει τις πέτρον ἢ παῦλον, ὁ πράτης ἔχει τὴν ἀντιλογίαν, καὶ ὁ πρώτως πλουτήσας, αὐτὸς κινδυνεύεται· εἰ δὲ καὶ ὁ ἕτερος, τοῦ ἀγοραστοῦ· εἰ δὲ καὶ οἱ δύο πλουτήσωσιν ἐν μιᾷ ἑορτῇ, ἀπαιτεῖται ὁ ἀγοραστὴς τὸ τίμημα, ἐὰν μὴ ἔφθασεν αὐτὸ καταβαλεῖν.

## ΠΕΡΙ ΠΡΑΣΕΩΣ ΟΙΝΟΥ.

Οἱ οἰνέμποροι, ὡς ἂν συμφωνήσωσι πιπράσκουσιν. οὐδεὶς γὰρ ἀναγκάζεται πωλεῖν, ἀπαρνούμενος τοῦ μέτρου, ἢ τοῦ τιμήματος, καὶ μάλιστα, εἰ μηδὲν γίνεται παρὰ τὴν συνήθειαν τοῦ κλίματος.

## ΠΕΡΙ ΕΜΦΥΤΕΥΣΕΩΣ.

Ὁ ἐμφυτευσάμενος θέλων πωλῆσαι τὸ δίκαιον τῆς ἐμφυτεύσεως, ὀφείλει διαμαρτυρίαν πέμπειν τῷ πρωτοτύπῳ δεσποτείᾳ, καὶ δηλοῦν τὴν τιμήν· καὶ ἐὰν μὴ θελήσῃ ἀγοράσαι μετὰ δύο μῆνας πιπρασκέτω, καὶ ἀναγκάζεται ὁ δεσπότης ἀναδέξασθαι τὸν ἀγοραστὴν, μετὰ δύο μῆνας τῆς διαμαρτυρίας.

## ΝΕΑΡΑ ΤΟΥ ΚΑΙΣΑΡΟΣ ῬΩΜΑΝΟΥ ΗΣ Ἡ ἀρχή: παλαιός ἐστιν ὁ τῆς προτιμήσεως νόμος.

Εἴ τινες ἀντίκοινον οἰκίαν, ἢ ἀγρὸν, ἢ ἀμπελῶνα, ἢ ἕτερον τι τῶν οὕτω ἀκίνητον ἔχοντες, ἢ ἄλλως καὶ οὐχ ὡς ἐξ ἀντικοίνου τοῖς ἐγγίζουσι κτήμασι, κατά τι μέρος ἀναμεμιγμένοι, ἢ συμπαρακείμενοι ὁμοτελεῖς, ἢ ἄλλως πλησιάζοντες, βουληθεῖεν ἐκποιῆσαι τὰ ἴδια κατὰ πρᾶσιν ἢ ἐμφύτευσιν, ἢ μίσθωσιν, μὴ πρότερον ἑτέρῳ τινὶ ταῦτα ἐκποιείτωσαν, εἰ μὴ πρὸς ἐκείνους διαμαρτύρονται, οὓς καλοῦμεν κατὰ τάξιν πρὸς τὴν προτίμησιν.

ἵνα

ἵνα πρῶτοι κληθῶσιν, οἱ ἀναμὶξ κείμενοι συγγενεῖς· ἤτοι οἱ ἔχοντες μεμιγμένην κοινότητα πρός τι πρᾶγμα, ἢ οἶκον, ἢ ἀγρὸν, ἢ ἀμπελῶνα, ἢ πρὸς ἄλλο τι τοιοῦτον, τοὺς τοιούτους γὰρ συγγενεῖς προτιμᾶται ὁ νόμος· ὅπου δὲ κοινότητα οἱ συγγενεῖς οὐκ ἔχουσι, προτιμῶνται οἱ ἔχοντες κοινότητα· μεθ' οὓς οἱ μόνον ἀναμεμιγμένοι. εἰ καὶ ξένοι πάντη τοῦ ἐκχωρουμένου τυγχάνοιεν, ἔπειτα καὶ οἱ συμπεπλεγμένοι ὁμοτελεῖς, μετέπειτα οἱ ἁπλῶς ἔν τινι μέρει συναπτῶς ἡνωμένοι. ὁμοτελεῖς δὲ φαμὲν, πάντας τοὺς ὑπὸ τὸν αὐτὸν ὑποτεταγμένον ἀναγραφομένους, κἂν ἐν διαφόροις τόποις τὰ ἴδια τελέσματα καταβάλλωνται. πολλῶν δὲ πέριξ τοῦ ἐκχωρουμένου κτήματος ὁμοῤῥεούντων, κατὰ τὴν αὐτὴν τάξιν ἑκάστῳ ἡ προτίμησις τῆς διαμαρτυρίας πελέσθω· ἵνα τῶν προτιμωμένων ἴσως παραιτουμένων, οἱ ἐφεξῆς καλούμενοι εἴγε βούλοιντο συναλλάξαιεν. εἰ μὲν τοι πάντες ἐκ τῶν ἴσων ἔχονται προνομίων, ὥστε κατὰ μηδὲν ἀλλήλων προκεκρίσθαι ἐπὶ τῇ τοιαύτῃ προκλήσει. ἡ αὐτὴ πάλιν ὁμοίως γινέσθω προφώνησις· ἵνα ἐντὸς λ΄ ἡμερῶν, τὸ ἄξιον τίμημα, ἢ ὅπερ ἀῤῥᾳδιουργήτως ὁ ἀληθὴς δίδωσιν ἀγοραστὴς, αὐτοὶ ἀνυπερθέτως καταβάλλοντες, ἀναλόγως ἀφ' ἑαυτῶν, ἢ ἔκ τινος ἀρχῆς τοῦτο ἐπιμερίζονται. ὅσοι δὲ μὴ ἐμπροθέσμως τὴν ἐπιβάλλουσαν αὐτοῖς παράσχοιεν ἀντίμησιν, οὐκέτι δίκαιον ἕξουσι προτιμήσεως, πλὴν εἰ μή τις αὐτῶν αἰχμάλωτός ἐστιν ἢ πεπλοϊσμένος, ἢ ἐξόριστος, ἢ ἐν δημοσίαις, ἢ ἐν ἰδίαις χρείαις ἄδηλος ἀπολιμπάνεται, ἢ οὔπω τὸν εἰκοστὸν ε΄ χρόνον τῆς ἰδίας ἤνυσεν ἡλικίας. τούτων γὰρ οἱ τὴν διοίκησιν τῶν προσόντων αὐτοῖς ἀναδεδεγμένοι ἐντὸς τεσσάρων μηνῶν, μετὰ τῶν συμπαρακειμένων νέων ἀγοραστῶν. πρὸς ἀναλογοῦν συνέρχονται, ἀναπληροῦντες αὐτοῖς τὸ ἀνῆκον τίμημα μετὰ τοῦ νομίμου τόκου, καὶ τῶν ἀναγκαίων ἀναλωμάτων. τοὺς δὲ ξένους ἀγοραστὰς ἀπωθοῦνται τελείως, τὸ τίμημα μετὰ τῶν αὐτῶν τό-

κοπον τε καὶ δαπανημάτων ἀναδιδόντος αὐτοῖς· ἀλλὰ καὶ ἐπὶ τῆς ὁμάδος τῶν καλουμένων χωρίων, ἢ ἀγριδίων, πολλῷ μᾶλλον κρείττω (ὁμάδος μιᾶς εἰσιν, οἱ ἐκ τοῦ αὐτοῦ χωρίου) ἵνα καὶ οἱ οἰκήτορες αὐτῶν, πρὸς ἀλλήλους προτιμῶνται. εἰ δὲ πάντες παραιτήσονται οἷς δίδοται ἡ προτίμησις, ἢ δείκνυνται αἴτιοι χρηματικῆς ζημίας, ἢ σωματικῆς ἐπιβουλῆς τε καὶ ἀτιμίας βραχείας τῷ ἐκποιοῦντι, καὶ τῇ αὐτοῦ φαμιλίᾳ· οὐ κατὰ τύχην, ἀλλ' ἐκ προνοίας δι' ἑαυτῶν ἢ τῶν προσηκόντων αὐτοῖς γεγονότες, τοὺς τοιούτους ἄκοντος τοῦ πεπονθότος. κατ' οὐδένα τρόπον εἰς τὴν ἐκείνου κτῆσιν εἰσενεχθῆναι βουλόμεθα. τὴν μέντοι δικαιοτάτην ἀνεπιφώνητον κατὰ τὸ ὁπωσοῦν συναλλαξάντων ἢ δωρεὰς δεξαμένων, ἢ ἐκ διαθήκης τι κτησαμένων, οὐδεμιᾶς τῶν οὐδενὸς τῶν ἐντεῦθεν προτιμωμένων, ἢ καὶ ὡς ἐκ τοῦ δημοσίου ζήτησις ἔσται κατὰ πρόφασιν μέντοι προικὸς, ἢ προγαμιαίας δωρεᾶς, ἢ ἐκ διαθήκης, ἢ ἀνταλλαγῆς, ἢ διαλύσεως, καὶ οἰκείοις καὶ ἐξωτικοῖς ἅπαντος ἐκποιεῖν τοῦτο, ἄνευ σκήψεως δηλονότι καὶ δόλου. εἰ δέ γε οἱ ἐκποιοῦντες πρὸς περιγραφὴν τῆς ἡμετέρας νομοθεσίας, ἄλλο τι πρᾶξαι τολμήσωσι, καὶ ἄλλο τι ἐκ τοῦ φανεροῦ προσποιήσονται· εἰ μὲν τὸν ὅρκον ἐλεγχθῶσιν αὐτοί τε, καὶ οἱ οὕτω δολερῶς αὐτοῖς συναλλάξαντες, τάς τε τῆς ἐπιορκίας ποινὰς ὑφέξουσι· καὶ οἱ μὲν, τοῦ κτήματος· οἱ δὲ, τοῦ λάθρα καταβληθέντος τιμήματος, ἐκπεσοῦνται, καὶ ἀμφότερα τῷ δημοσίῳ εἰσκομισθήσονται· ἵνα ἐκ τοῦ δημοσίου πρὸς τοὺς πλησιάζοντας διαπραθῇ. εἰ δὲ πρὸ τοῦ ὅρκου φωραθεῖεν τοιοῦτόν τι διαπραξάμενοι, καὶ τὸ πραχθὲν ἄκυρον ἔσται, καὶ τὸ κτῆμα ὁ ἅπαξ πειραθεὶς κακῶς ἐκποιῆσαι, καὶ ἄκων ἀπεμπολῆσαι ἀναγκασθήσεται πρὸς ἐκείνους, οἷς δεδώκαμεν τὴν προτίμησιν, καὶ ταῦτα μὲν ἐν τούτοις.

Ἐπὶ τῆς προτιμήσεως τῆς περὶ ἀνακοινώσεως, δικαιοτάτα ὀφείλει ἀντιποιεῖσθαι· διότι ἔχεις οἰκίαν εἰς ἣν εἶχον ἐγὼ ἀνακοίνωσιν, ῥωμαϊκὸν

& ω ἢ πλη-

ἢ πλησιασμὸν, ἢ ἄλλό τι, ὅπερ προσεστί μοι τὴν προτίμησιν, ἐπώλησας τὴν οἰκίαν, μὴ πρὸ τῆς ἐξωνήσεως προφωνησάμενός μοι, ἡ δεκαετία μοι σώζεται, εἰς τὸ κινεῖν τὴν περὶ προτιμήσεως ἀγωγήν. εἰ γὰρ εἴποις ὅτι ἀλλ' ἐντὸς τετραμήνου ὤφειλον κινεῖν κατὰ τὸν νόμον, ἀλλ' ὁ νόμος τοῦτο, οὐκ ἀδιορίστως εἶπεν. εἰ γὰρ προεφωνήθην, τῇ τετραμήνῳ ἀποκλείομαι· εἰ δὲ μὴ προεφωνήθην, ἡ δεκαετία φυλάττεταί μοι. τὸ δὲ λέγειν ἀλλὰ παρῆς ὅτε ἐπιπράσκετο ὁ οἶκος καὶ οὐκ ἀντέλεγες, τοῦτο οὐδὲν προσίσταταί μοι, καὶ σὺ γοῦν ὁ ἀγοράζων ἔβλεπες ὅτι ἀνακοίνωσιν εἶχον, ἢ πλησιασμὸν, ἢ ἄλλό τι δίκαιον, καὶ ὤφειλες προφωνεῖσθαι· εἰ μὲν προεφωνήθης, ἡ τετράμηνος ἐπικουρεῖ σοι, εἰ δὲ μὴ προεφωνήθης, ἡ δεκαετία μοι βοηθεῖ. Καὶ ὁ μάγιστρος ἐν σημειώματι αὐτοῦ, οὕτω φησίν· ἐπείγει γὰρ ὁ νόμος ἐξάπαντος παρόντας τὸν προτιμώμενον, διὰ τεσσαρακονθημέρου, ἢ καταθεῖναι τὸ τίμημα, ἢ τὴν προτίμησιν ἐκλύειν· τὴν δὲ τετράμηνον, ἐπὶ τῶν ἀπόντων ζήτησιν, ὥστε δίδοσθαι τοῖς κουράτορσιν αὐτῶν καὶ διοικηταῖς. Ἡ νεαρὰ αὕτη, ἀπαγορεύει καὶ τοὺς δυνατοὺς μήτε κατὰ πρᾶσιν, μήτε κατὰ δωρεὰν, μήτε ἐκ διαθήκης λαμβάνειν τι, παρὰ τῶν ἀπελεστέρων· εἰ μὴ ἄρα συγγενεῖς αὐτῶν εἶεν, ὅπερ ἡμῖν ὡς ἀργηθὲν πάλαι παρεῖται. δι' ἐκείνους δὲ τοὺς δυνατοὺς, καὶ οὐχὶ διὰ τοὺς ἄλλους ἐνταῦθα πρόσκειται, τὸ ἢ δωρεὰς δεξαμένων, ἢ ἐκ διαθήκης τι κτησαμένων. τινὲς δέ φασι καὶ ὅλον τὸ τῆς δεκαετίας, διὰ τοὺς δυνατοὺς μόνον εἰρῆσθαι· τοῖς γὰρ ἄλλοις τὸ τετράμηνον καὶ μόνον εἰς διάσκεψιν δίδοσθαι. τοῦτο δὲ παρ' ἡμῖν οὐ κρατεῖ, ἀλλ' ἡ δεκαετία καὶ τοῖς ἄλλοις, ἐπὶ τῇ προτιμήσει τῆς πράσεως δίδοται· ἡ γὰρ τῆς ἐμφυτεύσεως καὶ τῆς μισθώσεως προτίμησις ἤργησεν.

## ΝΕΑΡᾺ ΤΟΥ ΚΑΙ͂ΣΑΡΟΣ ΜΙΧΑΗ͂Λ.

Ὅτι προτιμότερος ὁ πλησιάζων εἰς τὴν τῆς ἀκινήτου αὐτοῦ χρῆσιν, τοῦ ἀλλοτρίου. Ἡ δὲ νεαρὰ τοῦ καίσαρος Μανουὴλ,

καὶ

καὶ ταῦτα προστίθησι· φησὶ γὰρ καὶ ἐπὶ τῆς ἀντιχρήσεως, τὸ τῆς προτιμήσεως εἰσάγεσθαι δίκαιον, καὶ ἐπὶ τῇ ἀντιχρήσει ἐκεῖνα κρατεῖν, ἃ καὶ ἐπὶ τῶν δωρεῶν ἐν τῇ προμνημονευθείσῃ νεαρᾷ διωρίσθησαν, καὶ τὸ τοῦ πλησιασμοῦ δίκαιον δίδοσθαι, κἂν τις μέρος μὲν πωλήσῃ ἀκινήτου ἐφ' ᾧ ἕτερος προτιμᾶται· μέρος δέ τι ἐλάχιστον καταλείψῃ ἀδιάπρατον, τὸ πλησιάζον τυχὸν τῇ οἰκίᾳ τοῦ γείτονος, ἢ τοῦ ἀγροῦ, ἐν οἷς ὁ πλησιασμὸς θεωρεῖται, καὶ μὴ τὰς τοιαύτας περιεργίας νικᾶν τὴν ἀλήθειαν, καὶ ἄπρακτον μένειν, τὸ περὶ τούτου νομοθετηθὲν διάταγμα, τῇ περιεργίᾳ νικώμενον καὶ περιγραφόμενον.

Ὅτι ὁ πιπράσκων ἀκίνητον, εἰ καὶ τιμῶν πωλήσει τὸ μὴ πλησιάζον τῷ γείτονι, οὐ τῷ δημοσίῳ· ἀλλὰ τῷ τὴν προτίμησιν ἔχοντι, καὶ οὕτως αὐτὸ πωλήσει. Διαπράσεως γινομένης, τοῦ μὴ ἐξωτικοῦ, ὁ δανειστὴς ἢ ὁ συγγενὴς προτιμᾶται εἰς τὸ ἀγοράσαι· τοῦ δὲ συγγενοῦς ὁ δανειστής, ἐκ δὲ τῶν δανειστῶν ὁ τὸ πλέον χρεωστούμενος.

ΝΕΑΡΑ ΤΟΥ ΚΑΙΣΑΡΟΣ ΝΙΚΗΦΟΡΟΥ.

Ἵνα μὴ προτιμῶνται οἱ πένητες, εἰς τὸ ἀπεμπολούμενον κτῆμα τῶν δυνατῶν, μήτε ἐξ ὁμοτελείας, μήτε ἐξ ἀνακοινώσεως κἂν τε στρατιῶται, κἄν τε πολιτικοὶ εὑρίσκωνται. ἀλλὰ τὸ τούτων πάλιν διαδέχηται ἀρχοντικὸν πρόσωπον, τὸ πρὸς ἀνάπαυσιν δηλονότι καὶ ὠφέλειαν τῶν συμπαρακειμένων ἐν τούτῳ πενήτων ἀναφαινόμενον. καὶ τοὺς μὲν δυνατούς, ἐκ δυνατῶν μόνων ποιεῖσθαι τὰς ἐξωνήσεις βουλόμεθα· τοὺς δὲ στρατιώτας καὶ πένητας, ἐκ τῶν τὴν ὁμοίαν τάξιν λαχόντων. ῥωμαϊκὸν Ὅτι εἰ τέσσαρες χρόνοι διέλθωσιν ἀνεπιφώνητοι, μετὰ τὸ ἀγοράσαι τινὰ κλασματικὴν γῆν, ἤγουν ἐξαλειμματικήν, οὐ δύναταί τις περὶ προτιμήσεως κινεῖν. ῥωμαϊκὸν Μερικῶς ἔχων τις ὡς ἐξ ἀνακοινώσεως οἶκον προτίμησιν, οὐκ ἐβούλετο ὅλον τὸν οἶκον ὠνήσασθαι, καὶ ὁ δικαστὴς ἔκρινεν οὕτως· ὅθεν πρὸς τὴν ὅλην πρά-

μὴ ἀποκύπτων, παρεῖται δηλονότι καὶ τὴν μερικὴν προτίμησιν. ὑπὲρ γὰρ τοῦ πράτου, καὶ τοῦ ἀγοραστοῦ, τοῦτο κατὰ καινοτομίαν εἰσήχθη τὸ νόμιμον, καὶ δικαίως ἐπενοήθη· ὡς μὴ τὰ ἕτερα ἀναπομένοντα δηλονότι ἀναγόραστα μένωσι, διὰ τὴν τοῦ νόμου τῆς ἀνακοινώσεως βοήθειαν. Ὁ ἔχων ἀνακοίνωσιν ἐπί τινι προτιμᾶται· πλὴν ἐὰν ἐν οἴκῳ μεγάλῳ ἔχω ἀνακοίνωσιν μικράν, εἰς τὸ ἀνακοινωμένον μόνον προτιμῶμαι, καὶ ἀναγκάζομαι τὸν οἶκον ὅλον ὠνήσασθαι, καὶ μὴ ἀγοράζων, ἐκπίπτω τῆς ἀνακοινώσεως, πλὴν μὴ θέλοντος τοῦ πράτου ὅλον τὸν οἶκον ὠνήσασθαί με, οὐκ ἔχω δίκαιον ἐκ τῆς μικρᾶς ἀνακοινώσεως ζητεῖν ὅλον.

ΜΑΓΙΣΤΡΟΣ.

Ἐφ᾽ οἷς ἔχω προτίμησιν ἀνακοινώσεως, κἂν ἀγορασθῶσι παρά τινος ἢ δωρηθῶσι, κἂν πρὸς ἴδιον οἶκον, ἀναστρέπεται ἡ δωρεά. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος, καὶ ἀνέτρεψε δωρεάν, καὶ ἐδικαίωσε τὸν προτιμώμενον. Ὅτι ἡ μὲν διὰ χρήσεως νομὴ, τουτέστιν ἡ δεκαετία ἀνενόχλητον τηρεῖ τὸν ἀγοραστήν· ἡ δὲ διὰ χρήσεως κυριότης τουτέστιν ἡ τελεία, τῆς μὲν ἀπαιτήσεως τῶν καρπῶν αὐτὸν ἐλευθεροῖ. οὐκέτι δὲ καὶ κύριον ἀσφαλῆ τῆς ὑποθήκης αὐτὸν καθίστησιν.

## ΠΕΡῚ ΟἼΚΩΝ ΕὐΑΓΩ͂Ν.

Οἱ εὐαγεῖς τόποι μὴ εὐποροῦντες ἀλλαχόθεν πληροῦν τὰ δημόσια, καλῶς πωλοῦσι καὶ κτήσεις. δηλονότι ἐξεταζομένης τῆς ἐκποιήσεως παρὰ τοῦ μητροπολίτου, συνόντων τῶν ἐπισκόπων, καὶ τῶν κληρικῶν, προκειμένων τῶν θείων λογίων, καὶ εἰ μὴ δειχθῇ ἄλλος πόρος ἐξ οὗ δύναι τὰ δημόσια δυνηθῶσι, βεβαιούσθω ἡ πρᾶσις ἐπὶ σεκρέτῳ· καὶ δεδόσθω τὸ ὑπόμνημα τοῦ δημοσίου τῶν πραθέντων, καὶ ἀπόδειξις τῶν καταβληθέντων. Ἐκεῖνο δὲ ἔτι προσθεῖναι τῷ νόμῳ δίκαιον ᾠήθημεν, ἵνα ὁ πιπράσκων δοῦλον καὶ γινώσκων αὐτὸν ἢ κλέπτην, ἢ μαινόμενον, ἢ δαιμονῶντα, προφωνείτω περὶ τού-

τοῦ ἀγοραστοῦ. εἰ γὰρ τοῦτο μὴ ποιήσει, αὐτὸς μὲν λήψεται τὸν δοῦλον, τὸ δὲ τίμημα διπλοῦν ἀντιστρέψει τῷ ἀγοραστῇ, ἀπαιτούμενος καὶ εἴ τινα ζημίαν εἰργάσατο ἐν τῷ οἴκῳ τοῦ ἠγορακότος.

## ΠΕΡΙ ἘΜΦΥΤΕΥΣΕΩΣ. τίτλ. δ.

Ἡ ἐμφύτευσις, οὔτε μίσθωσίς ἐστιν, οὔτε ἐκποίησις, ἀλλὰ μέσον τῶν δύο τούτων καθίσταται· καὶ ἐκ μέρους μὲν μετέχει εἰς μίσθωσιν· ἐκ μέρους δὲ τῇ ἐκποιήσει ταυτίζεται, καὶ ἔστιν ὥσπερ μίσθωσις ὁμοῦ καὶ ἐκποίησις. ἡ μὲν γὰρ μίσθωσις οὐκ ἔστιν ἀεί, οὐδὲ τὸ διηνεκὲς κέκτηται· ἀλλ' ἅπαξ γενομένη, τοῦ εἶναι μετὰ τὴν συμπλήρωσιν παύεται. ἡ δὲ ἐμφύτευσις, δύναται καὶ τὸ διηνεκὲς ἔχειν, καὶ εἰς ἀεὶ διαμένειν, οὐκ ἐμποδίζεται· καὶ κατὰ τοῦτο διαφέρει τῆς μισθώσεως, ἡ ἐμφύτευσις. πάλιν δὲ ἡ ἐκποίησις πλεία πρᾶσις ἐστί, καὶ μετὰ τὸ γενέσθαι τὴν καταβολὴν τοῦ τιμήματος, οὐκέτι καταβάλλεταί τι ὁ ἀγοραστής, οὐδὲ ἀναγκάζεται κατ' ἔτος διδόναι τι. ἡ δὲ ἐμφύτευσις, καθ' ἕκαστον χρόνον γίνεται, καὶ ἀπαιτεῖται ὥσπερ τέλος ἐτήσιον, καὶ κατὰ τοῦτο διαλλάττει πρὸς τὴν ἐκποίησιν, ἡ ἐμφύτευσις. καὶ ὅτι μὲν ὁ λαβών, κατ' ἐμφύτευσιν, εὐκόλως ἀφ' οὗπερ ἔλαβεν, οὐκ ἀποδιώκεται, οὐδὲ ἐπ' ὀλίγον καιρὸν τὸ δοθὲν αὐτῷ κέκτηται, οὐκ ἔστι μίσθωσις ἡ ἐμφύτευσις· τῷ δὲ πάλιν τὸ πεπαγμένον κατ' ἔτος δίδωσιν, οὐδὲ ἐκποίησις ἐστίν, ἤγουν πλεία πρᾶσις, ἀλλὰ θεωρεῖται μέσον μισθώσεως καὶ ἐκποιήσεως. καὶ διὰ τοῦτο καὶ τὰ νόμιμα ταύτης ἰδικά ἐστι παρὰ τὰ νόμιμα ἅπερ ἔχει ἡ μίσθωσις καὶ ἡ ἐκποίησις.

## ΠΕΡΙ ἘΥΑΓΩΝ ΟἼΚΩΝ.

Τὰς ἐμφυτεύσεις παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως, καὶ τοῦ ὀρφανοτροφείου, καὶ τῶν ξενώνων, καὶ τῶν νοσοκομείων, καὶ τῶν πτωχείων, γίνεσθαι κωλύομεν, ἐπί τε τῷ προσώπῳ αὐτοῦ τοῦ λαβόντος, καὶ ἄλλων

δύο ἐφεξῆς κληρονόμων. τὰ ἐρείπια τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, καὶ διηνεκῶς ἐμφυτευέσθωσαν, καὶ ἐπὶ τῇ τρίτῃ μοίρᾳ τῶν εὑρισκομένων τῆς κτήσεως ἐνοικίων, ἢ ἐπὶ τὸ ἥμισυ τῶν μετὰ τὴν ὑπὸ τοῦ ἐμφυτευτοῦ γινομένην ἐπανόρθωσιν τῶν ἐνοικίων.

Ὅτι ἐπὶ τῶν ἄλλων ἐκκλησιῶν, μοναστηρίων, καὶ ξενώνων, καὶ τῶν λοιπῶν, τῶν τε ἐντὸς Κωνσταντινουπόλεως, καὶ τῶν ἐκτὸς ἐν οἱῳδήποτε τόπῳ, καὶ διηνεκῶς δίδοται τὰ ἐρείπια αὐτῶν, ἐμφυτευτικῷ δικαίῳ τοῖς βουλομένοις διδόναι, καὶ κουφισμὸν μὴ πλείονα γίνεσθαι τοῦ ἕκτου μέρους τῆς προσόδου, ἣν ἔχει τὸ εἰς ἐμφύτευσιν διδόμενον πρᾶγμα. τὰς μισθώσεις παρὰ τῶν εὐαγῶν οἴκων γίνεσθαι, κατὰ δύο τρόπους συγχωροῦμεν, ἢ μέχρι τοῦ τῆς ζωῆς χρόνου τοῦ ἐμφυτευσαμένου, ἢ ὅσον ἂν τοῖς συναλλάττουσι συναρέσῃ μὴ ὑπερβαλλούσας δηλαδὴ τὸν τριακονταετῆ χρόνον. ἐπὶ μὲν τῶν ἐκκλησιῶν, τῶν εὐαγῶν οἴκων, ἐὰν ἐπὶ διετίαν μὴ καταβάλῃ ὁ ἐμφυτευτὴς τὸν συμφωνηθέντα κανόνα, ἐκπίπτει τῆς ἐμφυτεύσεως· ἐπὶ δὲ τῶν ἄλλων, ἐὰν ἐπὶ τριετίαν. τοῖς οἰκονόμοις, καὶ ὀρφανοτρόφοις, καὶ τοῖς τῶν λοιπῶν οἴκων εὐαγῶν διοικηταῖς, ἔτι γε μὴν καὶ τοῖς πάντων χαρτουλαρίοις, καὶ τοῖς τούτων γονεῦσι καὶ παισί, καὶ τοῖς ἄλλοις τοῖς κατὰ γένος αὐτοῖς, ἢ ἐκ γαμικοῦ δικαίου συναπτομένοις, ἀπαγορεύομεν ἐμφυτεύσεις τε καὶ μισθώσεις, ἤγουν ὑποθήκας πραγμάτων, τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων, ἢ δι' ἑαυτῶν, ἢ διὰ παρενθέτου προσώπου λαμβάνειν· γινωσκόντων ὡς εἰ τοιοῦτόν τι γένηται, καὶ τοῦτο ἀνίσχυρον ἔσται, καὶ ἐκπίπτειν μὲν τὸν ἐμφυτευσάμενον καὶ μισθωσάμενον, τοῦ ἐμφυτευθέντος πράγματος· ζημιοῦσθαι δὲ καὶ τὴν καταβληθεῖσαν εἰς αὐτὸ τιμήν· τοὺς δὲ τὴν τοιαύτην ἐμφύτευσιν διαπραξαμένους, οἰκονόμους καὶ χαρτουλαρίους καὶ διοικητάς, τοσοῦτον ἅμα ζημιοῦσθαι, καὶ προσκυροῦσθαι τῷ οἴκῳ, ὅσην καὶ ὁ ἐμφυτευσάμενος τῆς καταβληθείσης τι-

μὴς ὑπέσῃ ζημίαν. Αἱρετικοὶ, ἀκίνητον ἐκκλησιαστικὸν πρᾶγμα μὴ ἐπικτάσθωσαν, μήτε κατὰ ἐμφύτευσιν, μήτε κατὰ μίσθωσιν· εἴ τις δὲ αἱρετικὸς ποιήσει τοιοῦτό τι, ὃ δέδωκεν ὑπὲρ τούτων ἀπόλλυσιν.

## ΓΕΡῚ ΔΑΝΕΊΟΥ ΚΑῚ ἘΝΕΧΎΡΟΥ.

τοῦ μικροῦ κατὰ στοίχων. τίτλ. ε.

Τὸ χρέος καθολικώτερόν ἐστι τοῦ δανείου· δάνειον μὲν γὰρ, τὸ ἀπὸ δόσεως τινὸς, καὶ καταβολῆς χρεωστούμενον, καὶ ἄλλ᾽ ὅ τι παρὰ τοῦτο, οὐκ ὀνομάζεται δάνειον. χρέος δὲ καὶ αὐτὸ τὸ δάνειον, καὶ τὸ ἀπὸ λεγάτου, καὶ τὸ ἀπὸ τιμήματος πραθέντος τινὸς πράγματος ἐναπολιμπανόμενον, καὶ τὸ ἀπὸ διαθήκης, καὶ ἁπλῶς τὸ ἀπὸ αἰτίας ὁποιασοῦν ὀφειλόμενον.

## ΠΕΡῚ ἈΡΧΌΝΤΩΝ.

Οἱ ἄρχοντες, ἐν ταῖς ἐπαρχίαις αἷς ἄρχουσι, κωλύονται δανείζειν, καὶ τοκίζειν, καὶ πραγματεύεσθαι. αὐτοὶ δὲ μᾶλλον ἐπὶ τόκῳ παρ᾽ ἑτέρων δανείζονται· οἱ δὲ, εἰς τὰς ὑπ᾽ αὐτῶν τάξεις, καὶ δανείζουσι, καὶ τοκίζουσιν.

## ΠΕΡῚ ὙΠΟΘΗΚΏΩΝ ΚΑΡΠΩ͂Ν.

Οἱ ἐκ τοῦ ἐνεχύρου ληφθέντες καρποὶ, ψηφίζονται εἰς τὸ χρέος, καὶ ἐὰν ἱκανοὶ γένονται πρὸς τὸ ὅλον χρέος, λύεται ἡ ἀγωγὴ, καὶ ἀποδίδοται τὸ ἐνέχυρον· εἰ δὲ καὶ πλείονές εἰσι τοῦ χρέους οἱ καρποὶ, ἀποδίδονται οἱ περιττεύοντες. Τῆς δούλης οἱ κάματοι, καὶ τὰ ἐνοίκια τῶν ὑποτεθέντων οἰκημάτων, εἰς τὸ χρέος ψηφίζονται· καὶ ἐὰν πολὺ ἐστὶ τὸ συναγόμενον, λύεται ἡ ἀγωγή. Οἱ καρποὶ τοῦ ἀγροῦ, ψηφίζονται εἰς τὸ χρέος, οὐ μόνον οὓς ἔλαβεν ὁ δανειστὴς ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν· εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται καὶ περὶ τούτου.

## ΠΕΡῚ ἈΝΤΙΧΡΉΣΕΩΣ.

Ὁ δανείσας, καὶ λαβὼν ἐνέχυρον οἶκον ἐφ᾽ ᾧ καταμένειν ἐν αὐτῷ, εἰ καὶ πλεῖον ἐστὶ τὸ ἐνοίκιον τοῦ νομίμου τόκου, ὅμως

οὐ δὲ

οὐ δοκεῖ πλείονα τόκον ἀπαιτεῖν, ἀλλὰ μᾶλλον ἔλαττον τὸν οἶκον μισθοῦσθαι. ἐὰν δὲ μισθώσας τὸν οἶκον λαμβάνῃ τὸ μίσθωμα, τότε εἴ τι ὑπὲρ τὸν νόμιμον τόκον δυνηθῇ λαβεῖν, τοῦτο εἰς κεφάλαιον λογίζονται.

### ΠΕΡΙ ΣΥΜΦΩΝΙΑΣ ἘΝΕΧΥΡΟΥ.

κυρίως ἐνέχυρον λέγεται, τὸ παραδοθὲν τῷ δανειστῇ. τὸ δὲ μὴ παραδοθὲν, ἀλλὰ συμφωνηθὲν, ὑποθήκη ἐστίν.

### ΠΕΡΙ ΠΡΑΣΕΩΣ ἘΝΕΧΥΡΟΥ.

ἐάν τις ἐνέχυρον λάβῃ καὶ συμφωνηθῇ τι περὶ αὐτοῦ, τὸ δόξαν κρατείτω· εἰ δὲ μηδὲν ἔδοξε καὶ διετία παρέλθοι, μετὰ τὴν καταδίκην, ἢ διαμαρτυρίαν ἔξεστι πιπράσκειν αὐτό.

ὁ δανειστὴς μέλλων πιπράσκειν τὸ ἐνέχυρον, γνώριμον τοῦτο ποιείτω τῷ χρεώστῃ, εἰ εὐχέρειαν ἔχει, καὶ διαμαρτυρέσθω αὐτόν· εἰ μέντοι παρὰ συγγραφὴν ποιήσει ἐν τῇ πράσει, τῇ προσφόρῳ ἀγωγῇ εὐθυνέσθω. ὁ ἐνέχυρον κρατῶν οὐχ ὑπόκειται, οὐδὲ γὰρ ἐπὶ φυλακῇ νέμεται. ΣΧΟΛ.

τὶς ἔχων δανειστὰς διαφόρους, ἑλκυσθεὶς παρ' ἑνὸς τούτων, καὶ ἀπῃτεῖτο τὸ χρέος, καὶ μὴ ἔχων αὐτὸ δοῦναι, δέδωκε τῷ δανειστῇ ἐνέχυρον, καὶ μετὰ τὴν δόσιν τοῦ ἐνεχύρου, ἐζήτησαν οἱ λοιποὶ δανεισταὶ πεμφθῆναι εἰς νομὴν τῶν τοῦ χρεώστου πραγ-
* μάτων, ὡς λανθάνοντος καὶ μὴ ὑποδεχομένου τὸ * δικαίως ἆρα δύνανται οἱ πεμφθέντες δανεισταὶ ἐπὶ νομῇ, λαμβάνειν τὸ ἐνέχυρον τὸ δοθὲν τῷ συνδανειστῇ; οὐχί· διότι ὁ λαβὼν τὸ ἐνέχυρον ἐπὶ ἰδίᾳ ἀσφαλείᾳ ἔλαβεν αὐτό, ὡς ἂν ἐκεῖθεν ἀποβληθῇ, καὶ οὐχὶ ἀπὸ τῆς καθόλου νομῆς τῶν δανειστῶν, ἤτοι τῆς ῥεῖ σερβάνδαε καύσα. ὁ γὰρ ἐξ ἐκείνης νεμόμενος, ὡς ὀνόματι πάντων τῶν δανειστῶν νεμόμενος, καὶ φυλάττων τὰ τοῦ χρεώστου πᾶσι τοῖς δανεισταῖς, εἰκότως ἐνάγεται παρ' ἐκείνων, ἵνα εἰσάξῃ τὰ πράγματα εἰς τὸ μέσον. Εἴτε ἐξ ἀρχῆς, εἴτε μετὰ ταῦτα συμφωνηθῇ περὶ τῆς πράσεως τῶν ἐνεχύρων, εἴτε μηδὲν συμφω-

νηθῇ

ὑποθῆ, καλῶς αὐτὰ πιπράσκει ὁ δανειστής, καὶ ποιεῖ δεσπότην τὸν ἀγοραστήν· εἰ μὴ οὕτως συνεφωνήθη, μὴ πιπράσκειν αὐτά, τότε γὰρ ἐνέχεται τῇ περὶ κλοπῆς ἀγωγῇ, ὁ πωλήσας αὐτὰ δανειστής. Ἐὰν εἴπῃ ὁ δανειστὴς ὅτι εἰ μὴ καταβληθῇ μοι τὸ χρέος ἐντὸς τοῦ δε τοῦ χρόνου, δεσπότης ἔσομαι τοῦ ἐνεχύρου, τοῦτο δὲ σύμφωνον ἀνίσχυρον ἔστω. Ἐὰν συμφωνηθῇ πιπράσκεσθαι τὸ ἐνέχυρον, οὐ μόνον διὰ τὸ κεφάλαιον· ἀλλὰ καὶ διὰ τοὺς τόκους, καὶ τὰ εἰς αὐτὸ δαπανηθέντα πιπράσκεται. τὸ γὰρ ἐνέχυρον, τὸ ὑπὸ τὸ κεφάλαιον ὑποτεθὲν, σιωπηρῶς καὶ ἐπὶ τοῖς τόκοις ὑπόκειται. Ὁ τὸ ἀλλότριον ἐνεχυριάζων, ἑαυτὸν ποιεῖ ἔνοχον· τὸ δὲ ἐνεχυριασθὲν, οὐ ποιεῖ ἔνοχον τὸν κεκτημένον δηλονότι.

Τὸ συμφωνηθῆναι τοῦ χρεώστου ἐν τῷ τὴν προθεσμίαν αὐτοῦ τῆς καταβολῆς ὑπερβαίνειν, διάπρασιν γίνεσθαι τοῦ ἐνεχύρου, οὐκ ἀναιρεῖ τὴν τοῦ ἐνεχύρου ἀπαίτησιν, ὅτε ἔλαττον πωλήσῃ ὁ δανειστής, τῷ συμφώνῳ τῷ ἐν τῷ πλήθει πολιτευομένῳ ἐναχθῆναι. Τὸ ἀπὸ καταδίκης ἐνέχυρον, ἡ τάξις πιπρασκέτω, εἰ δὲ μηδεὶς εὑρεθείη ὁ ἀγοράζων, ἔτι οὖν ἥττονος εὑρεθῇ καὶ βουληθῇ ὁ νενικηκὼς ὑπερθεματίζων ἀγοράσαι, ἔξεστιν αὐτῷ τοῦτο ποιεῖν ὥσπερ ἐξωτικῷ. Δύναται ὁ δανειστὴς κατέχων τινὸς χρεώστου ἐνέχυρον, καὶ αὐτὸς ἑτέρῳ δανειστῇ διδόναι πάλιν αὐτὸ εἰς ἐνέχυρον· πλὴν ὑπὲρ τόσου τιμήματος, ὑπὲρ οὗ καὶ αὐτὸς κατέχει αὐτό.

## ΠΕΡΙ ΤΥΧΗΡΩΝ ΕΝ ΤΟΙΣ ΕΝΕΧΥΡΟΙΣ.

Τὰ συμβαίνοντα τυχηρὰ ἐν τῷ ἐνεχύρῳ ἐπιβλαβῆ τε καὶ ἐπικερδῆ, τὸν χρεώστην ὁρᾷ. Ἐδανείσατό τις ἀπ' ἐμοῦ τι φ΄. δεδωκώς μοι ἐνέχυρον, σκεύη ἀργυρᾶ· γενόμενος δὲ αὐτοῦ ἐν χρήσει, ἐζήτησε τοῦ λαβεῖν αὐτά, καὶ μετὰ καιρὸν ᾐτήσατο ἵνα πωλήσῃ τὰ ἐνέχυρα, καὶ ἐπέτρεψα αὐτῷ τὴν διάπρασιν· εἶτα ἀγοράσαι βούλομαι αὐτὰ παρὰ τοῦ ἀγοράσαντος ἀγοραστοῦ. καὶ φησὶν ὁ νόμος, μὴ δύνασθαι τοῦτο ποιεῖν, ἅπαξ ἐπέτρεψα τὴν διάπρασιν, καὶ ἐξέπεσον τοῦ ἰδίου ἐνεχύρου δικαίου ἔξω

σῶσαι αὐτὰ ἀσφαλῶς ὁ ἀγοραστής, ἐγὼ δὲ κατὰ τοῦ χρεώστου ἔχω τὴν ἀγωγήν. Τὰ κατὰ τύχην τοῖς ἐνεχύροις ἐπισυμβαίνοντα, τὸν χρεώστην ὁρᾷ· καὶ ἐάν τις δανείσας τινὶ, λάβοι παρὰ τοῦ χρεοφειλέτου ἐνέχυρον, εἶτα συμβῇ ἀπολεσθῆναι τὸ ἐνέχυρον κατὰ τύχην, ὁ δανειστὴς οὐ μόνον οὐδὲν ζημιοῦται ἐπὶ τῇ ἀπωλείᾳ τοῦ ἐνεχύρου, ἀλλὰ καὶ τὸ χρέος ὁλόκληρον μετὰ τῆς αὐτοῦ ὠφελείας δύναται ἀπαιτεῖν. ὀφείλει δὲ ὁ δανειστής· μήτε ἀμέλειαν, μήτε δόλον εἰς τὸ ἐνέχυρον ἐπιδείξασθαι· μήτε χρήσασθαι αὐτῷ εἰς ἄλλο τι, παρ' ὃ δοὺς αὐτὸ συγκατέθετο.

Ὥσπερ τὰ τυχηρὰ ὁ δανειστὴς οὐκ ἐπιγινώσκει τοῦ ἐνεχύρου, οὕτω δόλον καὶ ῥᾳθυμίαν καὶ φυλακὴν παρέχειν, ἐπ' αὐτῷ. Ἐὰν ὁ δανειστὴς μὴ παρ' ἰδίαν αἰτίαν ἀπολέσῃ τὸ ἐνέχυρον, οὐκ ἐγκαλεῖται· χρὴ δὲ αὐτὸν ἀποδεῖξαι ὅτι ἀπώλεσε. τὰ γὰρ τυχηρά, οὐ κινδυνεύεται τῷ δανειστῇ, ἀλλὰ δύναται κατὰ τύχην ἀπολέσας τὸ πρᾶγμα, ἀπαιτεῖν τὸ αὐτῷ κεχρεωστημένον. ἐὰν δὲ μεταξὺ τῶν συναλλασσόντων ἤρεσεν ἵνα ἡ ἀπώλεια τοῦ ἐνεχύρου ἐλευθερώσῃ τὸν χρεώστην, τοῦτο ἰσχὺν ἔχει.

Εἴ τις δανείσας, καὶ λαβὼν ἐνέχυρον χρήσηται τούτῳ εἰς πρᾶγμα μὴ δοκοῦν τῷ χρεώστῃ, καὶ συμβῇ τῷ ἐνεχύρῳ βλάβη τις ἐντεῦθεν, ἢ καὶ παντελὴς ἀπώλεια, εἰς τὸν δανειστὴν τὸ ἐπισυμβαίνει, καὶ οὐκ εἰς τὸν χρεώστην ἀνάγεται. Ἡ τοῦ ἐνεχύρου ἀνάδοσις, οὐκ εἰσάγει τοῦ χρέους συγχώρησιν· εἰ μὴ τοῦτο ἰδικῶς συνέδοξε. πολλὰ πράγματα λαβὼν εἰς ὑποθήκην, εἰ μὴ πληρωθῇ τὸ χρέος οὐκ ἀναγκάζεται τὸ ἓν ἐλευθερῶσαι.

## ΠΕΡῚ ὙΠΟΘΗΚΏΩΝ ΠΡΑΓΜΆΤΩΝ.

Ὑποθήκη μέν ἐστι, τὸ παραμένον μὲν τῷ χρεώστῃ ὑποτεθέμενον δὲ τῷ δανειστῇ εἰς τὸ γραμματεῖον, ἕνεκεν τῆς τοῦ χρέους ἱκανώσεως· ἐνέχυρον δὲ, τὸ ἐν χερσὶ διδόμενον τῷ δανειστῇ. κοινῷ δὲ ὀνόματι καὶ τὸ διδόμενον, καὶ τὸ ὑποτιθέμενον, ἐνέχυρον λέγεται. Ὁ δανειστὴς ὅς τις ἀγροὺς ἢ οἴκους εἰς ὑπο-

θήκην

θήκην ἔλαβε, τὴν ζημίαν τὴν ἐν τοῖς τεμνομένοις δένδροις, καὶ τοῖς καταλυομένοις οἴκοις ἐξ αὐτοῦ γινομένων, εἰς λόγον ἐνεγκεῖν ἀναγκασθήσεται. καὶ ἐὰν μὴ κατὰ δόλον, ἢ πταῖσμα τὸ πρᾶγμα τὸ ὑποτεθὲν χεῖρον ἐποίησε, καὶ τούτου ἕνεκεν, τῇ ἀγωγῇ ἐνάγεται· ἵνα τοιοῦτον ἀποκαταστήσῃ τὸ πρᾶγμα, ὁποῖον ἦν ἐν τῷ καιρῷ τῆς ὑποθήκης. ὁ δὲ δανειστὴς τὰ ἀναγκαῖα δαπανήματα ἅπερ ἐποίησε περὶ τὸ ὑποτεθὲν πρᾶγμα, ἀπαιτεῖν οὐ κωλύεται. Τὰ ὑποτεθέντα πράγματα εἰς ἐνέχυρον. Προστατικῶς ζητοῦσιν οἱ χρεῶσται· οὐδὲ γὰρ ἔξεστι τῷ δανειστῇ χωρὶς συμφώνου καὶ ἀρχικῆς κελεύσεως, ἀφαιρεῖσθαι τὰ πράγματα τοῦ χρεώστου, τουτέστι διαπιπράσκειν, τὰ εἰς αἰτίαν ἐνεχύρου κατεχόμενα πράγματα. Ἐὰν ὁ ὑποτεθεὶς οἶκος καυθῇ, καί τις ἀγοράσας τὸ ἔδαφος κτίσῃ, καὶ τὸ κτισθὲν ὑπόκειται, ὁ δὲ καλῇ πίστει νομεὺς οὐκ ἀποκαθίστησιν· εἰ μὴ λάβοι τὰς δαπάνας, εἰς ὅσον τὸ πρᾶγμα γίνεται τιμιώτερον. Ἐὰν πρᾶγμα ἀλλότριον ὑπέθετό τις, εἶτα δεσπόσῃ αὐτοῦ μετὰ ταῦτα, οὐδὲν ἧττον ἰσχυρῶς ἔδοξεν ὑποτίθεσθαι αὐτό, ἐξ ἀποτελέσματος. Προτιμᾶται παρὰ τῶν ἐχόντων ὑποθήκην, καὶ αὐτὸς ὁ τὸ ἐνέχυρον λαβών, καὶ ὁ κληρονόμος. Τοῦ Μελίου χρεωστήσαντος, καὶ ἀφαιρεθέντος κτήματα, εἶτα κινήσαντος ὡς κακῶς ἐτιμήθησαν τὰ κτήματα, ἀπεφήνατο ὁ μάγιστρος δοῦναι τοῦτον τὸ χρέος καὶ ἀπολαβεῖν τὰ κτήματα. καὶ οὗτος ᾔτησε προθεσμίαν, καὶ ἐδόθη αὐτῷ μετὰ τὴν ποίησιν τῆς σημειώσεως καιρός, μηνῶν ἕξ· καὶ εἰ ὑπερεκπέσοι καὶ τοῦτον τὸν ὅρον, ἐδικαιώθη ὁ ἀντίδικος δεσπόζειν τῶν κτημάτων. Ἡ χρονία νομή, οὐκ ἀναιρεῖ τὸ ἐνέχυρον. Ὁ δανειστὴς καὶ ὁ τούτου κληρονόμος, οὐκ ἔχει μακροῦ χρόνου παραγραφήν, εἰς τὸ μὴ ἀποδοῦναι τὸ ἐνέχυρον, μετὰ τὸ πληρωθῆναι τὸ χρέος, τουτέστι τῇ τριακονταετίᾳ. Εἰσὶ δὲ καὶ ἐνέχυρα καὶ ὑποθῆκαι, σιωπηρῶς συναλλασσόμενα· ὁ γὰρ δανείζων εἰς ἀνανέω-

διίσταμαι. Ὁ διδοὺς τῆς δίκης διατίμησιν, ἀντὶ τοῦ ἀγοραστοῦ νέμεται, καὶ ὅτι ὡς ἀγοραστὴς νέμεται ὁ ἀγοράσας, οὐχ ὁ ὑπονοῶν ἀγοράσαι. Ἔξεστι τῷ πράτῃ γινομένης τῆς αἱρέσεως αὐτοῦ κρείττονος, προσκυροῦν δευτέρῳ· εἰ μὴ πλέον ὁ πρῶτος ὑπερθεματίζει, οὗ πρώην ἔδωκε δηλαδή. Μὴ εἴπῃς οὐ πλέον τοῦ δευτέρου ἀγοραστοῦ ὀφείλει ὁ πρῶτος ὑπερθεματίζειν, εἰ βούλοιτο ἀναφαίρετον εἶναι τὸ πρᾶγμα παρ' αὐτοῦ. τὸ γὰρ πλέον οὐ τοῦτο σημαίνει, ὅτι τάχα πλέον ὧν προσέθηκεν ὁ δεύτερος ἀγοραστὴς, ὀφείλει προσθεῖναι ὁ πρῶτος· ἀλλ' ὅτι τῷ πλείονι ὅπερ προσέθηκεν ὁ δεύτερος ἀγοραστὴς, ὁ πρῶτος ὀφείλει κεχρῆσθαι. τουτέστι τῷ αὐτῷ κεχρῆσθαι ὑπερθεματισμῷ ᾧ ἐχρήσατο ὁ δεύτερος ἀγοραστὴς, εἰ βούλοιτο βεβαίαν εἶναι τὴν πρᾶσιν τὴν πρὸς αὐτὸν γενομένην. Κρείττων ἡ αἵρεσις γίνεται, καὶ ἐν πλείονι ποσῷ, καὶ ἐν ταχυτέρᾳ καὶ εὐτυχεστέρᾳ καταβολῇ. καὶ ἐν τόπῳ ἐπιτηδειοτέρῳ, καὶ ἐν εὐπορωτέρῳ ἀγοραστῇ, καὶ ἐν τῷ ἀγοράσαι ἐπὶ ἐλαφροτέρᾳ αἱρέσει, ἤτοι ἐν τῷ μὴ ἀπαιτῆσαι τὸν πράτην ἱκανοδοσίαν, καὶ τὰ λοιπὰ ὅσα εἰσὶν ἐν τῇ πράσει βαρέα, κἂν ἧττον τίμημα δώσωσι. τὰ γὰρ λυσιτελοῦντα τῷ πράτῃ, κρείττονα ποιοῦσι τὴν αἵρεσιν. Ἐὰν ἐκ καινῆς πρᾶγμα προστεθῇ τῷ ὑπερθεματίζοντι, ἄξιον ὂν τῆς παρ' αὐτοῦ γενομένης προσθήκης, ἡ πρώτη πρᾶσις οὐ λύεται.

## ΠΕΡΙ ΠΡΟΤΙΜΗΣΕΩΣ

Διαπράσεως γινομένης, τοῦ μὲν ἐξωτικοῦ ὁ δανειστὴς ἢ ὁ συγγενὴς προτιμᾶται εἰς τὸ ἀγοράσαι, τοῦ δὲ συγγενοῦς ὁ δανειστής· ἐκ δὲ τῶν δανειστῶν, ὁ τὸ πλέον χρεωστούμενος. Εἰ πρὸς περιγραφὴν δανειστῶν μου ἔλαττον πωλήσω ἀγρὸν, ἀνατρέπεται τὸ πραχθὲν, κἂν μὴ ἀναδοθῇ ἡ τιμή.

ΣΧΟΛ. Θέλων περιγράψαι τοὺς δανειστάς μου, ἤγουν σκοπὸν ἔχων ἐλαττῶσαι τὴν περιουσίαν μου καὶ ποιῆσαι αὐτὴν ἐλαχίστην, ἵνα ζημιώσω τοὺς δανειστάς μου μὴ ἔχοντας ὅθεν ἀπο-

πληρω

πληρωθῶσι, πέπρακα πρὸς πέτρον, ἀγρὸν ἄξιον χιλίων νομισμάτων εἰς ῦ, εἰδότα τοῦ βουλῶ μου, δίδοται τοῖς δανεισταῖς ἢ ἴνφαντον, καὶ ἀνατρέπουσι τὴν πρᾶσιν, κἂν μὴ δώσωσι τὸ τίμημα. τιμωρεῖ γὰρ ὁ νόμος τὸν δόλον τοῦ ἀγοραστοῦ, καὶ ἀντιστρέφει κατ' αὐτοῦ, ὅπερ αὐτὸς ἐμελέτησε κατὰ τῶν δανειστῶν. Εἰ ἀγοράσει τις πέτρον ἢ παῦλον, ὁ πράτης ἔχει τὴν ἀντιλογίαν, καὶ ὁ πρώτως τελευτήσας, αὐτῷ κινδυνεύεται· εἰ δὲ καὶ ὁ ἕτερος, τῷ ἀγοραστῇ· εἰ δὲ καὶ οἱ δύο τελευτήσωσιν ἐν μιᾷ ῥοπῇ, ἀπαιτεῖται ὁ ἀγοραστὴς τὸ τίμημα, ἐὰν μὴ ἔφθασεν αὐτοῦ καταβαλεῖν.

## ΠΕΡΙ ΠΡΑΣΕΩΣ ΟΙΝΟΥ.

Οἱ οἰνέμποροι, ὡς ἂν συμφωνήσωσι πιπράσκουσιν. οὐδεὶς γὰρ ἀναγκάζεται πωλεῖν, ἀπαρεσκόμενος τῷ μέτρῳ, ἢ τῷ τιμήματι, καὶ μάλιστα, εἰ μηδὲν γίνεται παρὰ τὴν συνήθειαν τοῦ κλίματος.

## ΠΕΡΙ ΕΜΦΥΤΕΥΣΕΩΣ.

Ὁ ἐμφυτευσάμενος θέλων πωλῆσαι τὸ δίκαιον τῆς ἐμφυτεύσεως, ὀφείλει διαμαρτυρίαν πέμπειν τῇ πρωτοτύπῳ δεσποτείᾳ, καὶ δηλοῦν τὴν τιμήν· καὶ ἐὰν μὴ θελήσῃ ἀγοράσαι μετὰ δύο μῆνας πιπρασκέτω, καὶ ἀναγκάζεται ὁ δεσπότης, ἀναδέξασθαι τὸν ἀγοραστήν, μετὰ δύο μῆνας τῆς διαμαρτυρίας.

## ΝΕΑΡΑ ΤΟΥ ΚΑΙΣΑΡΟΣ ῬΩΜΑΝΟΥ ἯΣ Ἡ ἀρχή· παλαιὸς ἐστὶν ὁ τῆς προτιμήσεως νόμος.

Εἴ τινες ἐπίκοινον οἰκίαν, ἢ ἀγρόν, ἢ ἀμπελῶνα, ἢ ἕτερον τὶ δι' οὖν ἀκίνητον ἔχοντες, ἢ ἄλλως καὶ οὐχ ὡς ἐξ ἐπικοίνου τοῖς ἐγγίζουσι κτήμασι, κατά τι μέρος ἀναμεμιγμένοι, ἢ συμπαρακείμενοι ὁμοτελεῖς, ἢ ἄλλως πλησιάζοντες, βουληθεῖεν ἐκποιῆσαι τὰ ἴδια κατὰ πρᾶσιν ἢ ἐμφύτευσιν, ἢ μίσθωσιν, μὴ πρότερον ἑτέρῳ τινὶ ταῦτα ἐκποιείτωσαν, εἰ μὴ πρὸς ἐκείνους διαμαρτύρονται, οὓς καλουμένους κατὰ τάξιν πρὸς τὴν προτίμησιν.

ἵνα

ἵνα πρῶτοι κληθῶσιν, οἱ ἀναμὶξ κείμενοι συγγενεῖς· ἤτοι οἱ ἔχοντες μεμιγμένην κοινότητα πρός τι πρᾶγμα, ἢ οἶκον, ἢ ἀγρὸν, ἢ ἀμπελῶνα, ἢ πρὸς ἄλλο τι τοιοῦτον, τοὺς τοιούτους γὰρ συγγενεῖς προτιμᾶται ὁ νόμος· ὅπου δὲ κοινότητα οἱ συγγενεῖς οὐκ ἔχουσι, προτιμῶνται οἱ ἔχοντες κοινότητα· μεθ' οὓς οἱ μόνον ἀναμεμιγμένοι. εἰ καὶ ξένοι πάντη τοῦ ἐκχωροῦντος τυγχάνοιεν, ἔπειτα καὶ οἱ συμπεπλεγμένοι ὁμοτελεῖς, μετέπειτα οἱ ἁπλῶς ἔν τινι μέρει συναπτῶς ἡνωμένοι. ὁμοτελεῖς δὲ φαμὲν, πάντας τοὺς ὑπὸ τὸν αὐτὸν ὑποτεταγμένον ἀναγραφομένους, κἂν ἐν διαφόροις τόποις τὰ ἴδια τελέσματα καταβάλλωνται. πολλῶν δὲ πέριξ τοῦ ἐκχωρουμένου κτήματος ὁμορρούντων, κατὰ τὴν αὐτὴν τάξιν ἑκάστῳ ἡ προτίμησις τῆς διαμαρτυρείας τελείσθω· ἵνα τῶν προτιμωμένων ἴσως παραιτουμένων, οἱ ἐφεξῆς καλούμενοι εἴγε βούλοιντο συναλλάξωσιν. εἰ μέν τοι πάντες ἐκ τῶν ἴσων ἔχονται προνομίων, ὥστε κατὰ μηδὲν ἀλλήλων προκεκρίσθαι ἐπὶ τῇ τοιαύτῃ προκλήσει. ἡ αὐτὴ πάλιν ὁμοίως γινέσθω προφώνησις· ἵνα ἐντὸς λ' ἡμερῶν, τὸ ἄξιον τίμημα, ἢ ὅπερ ἀρραδιουργήτως ὁ ἀληθὴς δίδωσιν ἀγοραστὴς, αὐτοὶ ἀνυπερθέτως καταβάλλοντες, ἀναλόγως ἀφ' ἑαυτῶν, ἢ ἔκ τινος ἀρχῆς τοῦτο ἐπιμερίζονται. ὅσοι δὲ μὴ ἐμπροθέσμως τὴν ἐπιβάλλουσαν αὐτοῖς παράσχοιεν ἀντιτίμησιν, οὐκέτι δίκαιον ἕξουσι προτιμήσεως, πλὴν εἰ μή τις αὐτῶν αἰχμάλωτός ἐστιν ἢ πολιορκούμενος, ἢ ἐξόριστος, ἢ ἐν δημοσίαις, ἢ ἐν ἰδίαις χρείαις ἀδήλως ἀπολιμπάνεται, ἢ οὔπω τὸν εἰκοστὸν ε' χρόνον τῆς ἰδίας ἤνυσεν ἡλικίας. τούτων γὰρ οἱ τὴν διοίκησιν τῶν προσόντων αὐτοῖς ἀναδεδεγμένοι ἐντὸς τεσσάρων μηνῶν, μετὰ τῶν συμπαρακειμένων νέων ἀγοραστῶν. πρὸς ἀναλογοῦν συνέρχονται, ἀναπληροῦντες αὐτοῖς τὸ ἀντίκον τίμημα μετὰ τοῦ νομίμου τόκου, καὶ τῶν ἀναγκαίων ἀναλωμάτων. τοὺς δὲ ξενίους ἀγοραστὰς ἀπωθοῦνται τελείως, τὸ τίμημα μὲν τῶν αὐτῶν τό-

κομ τε καὶ δαπανημάτων ἀναδιδόντες αὐτοῖς· ἀλλὰ καὶ ἐπὶ τῆς ὁμάδος τῶν καλουμένων χωρίων, ἢ ἀγριδίων, πολλῷ μᾶλλον κρείττω (ὁμάδος μιᾶς εἰσιν, οἱ ἐκ τοῦ αὐτοῦ χωρίου) ἵνα ὡς οἱ οἰκήτορες αὐτῶν, πρὸς ἀλλήλους προτιμῶνται. εἰ δὲ πάντες παραιτήσονται οἷς δίδοται ἡ προτίμησις, ἢ δείκνυνται αἴτιοι χρηματικῆς ζημίας, ἢ σωματικῆς ἐπιβουλῆς τε καὶ ἀτιμίας ταχείας τῷ ἐκποιοῦντι, καὶ τῇ αὐτοῦ φαμηλίᾳ· οὐ κατὰ τύχην, ἀλλ' ἐκ προνοίας δι' ἑαυτῶν ἢ τῶν προσηκόντων αὐτοῖς γεγονότες, τοὺς τοιούτους ἄκοντος τοῦ πεπονθότος. κατ' οὐδένα τρόπον εἰς τὴν ἐκείνου κτῆσιν εἰσενεχθῆναι βουλόμεθα. μὴ μέντοι δεκαετίαν ἀνεπιφώνητον κατὰ τῶν ὁπωσοῦν συναλλαξάντων ἢ δωρεὰς δεξαμένων, ἢ ἐκ διαθήκης τι κτησαμένων, οὐδεμία ἐπ' οὐδενὸς τῶν ἐντεῦθεν προτιμωμένων, ἢ καὶ ὡς ἐκ τοῦ δημοσίου ζήτησις ἔσται κατὰ πρόφασιν μέν τοι προικὸς, ἢ προγαμιαίας δωρεᾶς, ἢ ἐκ διαθήκης, ἢ ἀνταλλαγῆς, ἢ διαλύσεως, καὶ οἰκείοις καὶ ἐξωτικοῖς ἅπαντες ἐκποιείτωσαν, ἄνευ σκήψεως δηλονότι καὶ δόλου. εἰ δέ γε οἱ ἐκποιοῦντες παρὰ τὴν περιγραφὴν τῆς ἡμετέρας νομοθεσίας, ἄλλο τι πρᾶξαι τολμήσωσιν, καὶ ἄλλο τι ἐκ τοῦ φανεροῦ προσποιήσονται· εἰ μὲν μετὰ τὸν ὅρκον ἐλεγχθῶσιν αὐτοί τε, καὶ οἱ οὕτω δολερῶς αὐτοῖς συναλλάξαντες, τάς τε τῆς ἐπιορκίας ποινὰς ὑφέξουσι· καὶ οἱ μὲν, τοῦ κτήματος· οἱ δὲ, τοῦ λάθρα καταβληθέντος τιμήματος, ἐκπεσοῦνται, καὶ ἀμφότερα τῷ δημοσίῳ εἰσκομισθήσονται· ἵνα ἐκ τοῦ δημοσίου πρὸς τοὺς πλησιάζοντας διαπραθῇ. εἰ δὲ πρὸ τοῦ ὅρκου φωραθεῖεν τοιοῦτόν τι διαπραξάμενοι, καὶ τὸ πραχθὲν ἄκυρον ἔσται, καὶ τὸ κτῆμα ὁ ἅπαξ πειραθεὶς κακῶς ἐκποιῆσαι, καὶ ἄκων ἀπεμπολῆσαι ἀναγκασθήσεται πρὸς ἐκείνους, οἷς δεδώκαμεν τὴν προτίμησιν, καὶ ταῦτα μὲν ἐν τούτοις.

Ἐπὶ τῆς προτιμήσεως τῆς περὶ ἀνακοινώσεως, δεκαετία ὀφείλει ἀντιτίθεσθαι· ὅτι ἔχεις οἰκίαν εἰς ἣν εἶχον ἐγὼ ἀνακοίνωσιν, ῥωμαϊκὸν

& ω ἢ πλη-

ἢ πλησιασμὸν, ἢ ἄλλο τι, ὅπερ προσεποίει μοι τὴν προτίμησιν, ἐπώλησας τὴν οἰκίαν, μὴ περὶ τῆς ἐξωνήσεως προφωνησάμενός μοι, ἡ δεκαετία μοι σώζεται, εἰς τὸ κινεῖν τὴν περὶ προτιμήσεως ἀγωγήν. εἰ γὰρ εἴποις ὅτι ἀλλ' αὐτὸς πεπραμένην ὤφειλον κινεῖν κατὰ τὸν νόμον, ἀλλ' ὁ νόμος τοῦτο, οὐκ ἀδιορίστως εἶπεν. εἰ γὰρ προεφωνήθην, τῇ πεπραμένῃ ἀποκλείομαι· εἰ δὲ μὴ προεφωνήθην, ἡ δεκαετία φυλάττεταί μοι. τὸ δὲ λέγειν ἀλλὰ σαφῆς ὅτε ἐπεπράσκετο ὁ οἶκος καὶ οὐκ ἀντέλεγες, τοῦτο οὐδὲν προσίσταταί μοι, καὶ σὺ γὰρ ὁ ἀγοράζων ἔβλεπες ὅτι ἀνακοίνωσιν εἶχον, ἢ πλησιασμὸν, ἢ ἄλλο τι δίκαιον, καὶ ὤφειλες προφωνεῖσθαι· εἰ μὲν προεφωνήθη, ἡ πεπραμένη ἐπικουρεῖ σοι, εἰ δὲ μὴ προεφωνήθη, ἡ δεκαετία μοι βοηθεῖ. Καὶ ὁ μάγιστρος ἐν σημειώματι αὐτοῦ, οὕτω φησίν· ἐπείγει γὰρ ὁ νόμος ἐξάπαντος παρόντα τὸν προτιμώμενον, διὰ τεσσαρακονθημέρου, ἢ καταθεῖναι τὸ τίμημα, ἢ τὴν προτίμησιν ἀπολύειν· τὸν δὲ πεπραμένον, ἐπὶ τῶν ἀπόντων τίθησιν, ὥστε δίδοσθαι τοῖς κουράτωρσιν αὐτῶν καὶ διοικηταῖς. Ἡ νεαρὰ αὕτη, ἀπαγορεύει καὶ τοὺς δυνατοὺς μήτε κατὰ πρᾶσιν, μήτε κατὰ δωρεὰν, μήτε ἐκ διαθήκης λαμβάνειν τι, παρὰ τῶν ἀπελεστέρων· εἰ μὴ ἄρα συγγενεῖς αὐτῶν εἶεν, ὅπερ ἡμῖν ὡς ἀρχαῖον πάλαι παρεῖται. δι' ἐκείνους δὲ τοὺς δυνατοὺς, καὶ οὐχὶ διὰ τοὺς ἄλλους ἐνταῦθα πρόσκειται, τὸ ἢ δωρεὰς δεξαμένων, ἢ ἐκ διαθήκης τι κτησαμένων. τινὲς δέ φασι καὶ ὅλον τὸ τῆς δεκαετίας, ἀλλὰ τοὺς δυνατοὺς μόνον εἰρῆσθαι· τοῖς γὰρ ἄλλοις τὸ πεπραμένον καὶ μόνον εἰς διάσκεψιν δίδοσθαι. τοῦτο δὲ παρ' ἡμῖν οὐ κρατεῖ, ἀλλ' ἡ δεκαετία καὶ τοῖς ἄλλοις, ἐπὶ τῇ προτιμήσει τῆς πράσεως δίδοται· ἡ γὰρ τῆς ἐμφυτεύσεως καὶ τῆς μισθώσεως προτίμησις ἤργησεν.

## ΝΕΑΡΑ' ΤΟΥ ΚΑΙΣΑΡΟΣ ΜΙΧΑΗΛ.

Ὅτι προτιμότερος ὁ πλησιάζων εἰς τὴν τῶν ἀκινήτων ἀντίχρησιν, τοῦ ἀλλοτρίου. Ἡ δὲ νεαρὰ τοῦ καίσαρος Μανουὴλ,

καὶ

καὶ ταῦτα προστίθησι· φησὶ γὰρ καὶ ἐπὶ τῆς ἀντιχρήσεως, τὸ τῆς προτιμήσεως εἰσάγεσθαι δίκαιον, καὶ ἐπὶ τῇ ἀντιχρήσει ἐκεῖνα κρατεῖν, ἃ καὶ ἐπὶ τῆς δωρεᾶς ἐν τῇ προμνημονευθείσῃ νεαρᾷ διωρίσθησαν, καὶ τὸ τοῦ πλησιασμοῦ δίκαιον δίδοσθαι, κἂν τις μέρος μὲν πωλήσῃ ἀκινήτου ἐφ' ᾧ ἕτερος προτιμᾶται· μέρος δέ τι ἐλάχιστον καταλείψῃ ἀδιάπρατον, τὸ πλησιάζον τυχὸν τῇ οἰκίᾳ τοῦ γείτονος, ἢ τοῦ ἀγροῦ, ἐν οἷς ὁ πλησιασμὸς θεωρεῖται, καὶ μὴ τὰς τοιαύτας περιεργίας νικᾶν τὴν ἀλήθειαν, καὶ ἄπρακτον μένειν, τὸ περὶ τούτου νομοθετηθὲν διάταγμα, τῇ περιεργίᾳ νικώμενον καὶ περιγραφόμενον.

Ὅτι ὁ πιπράσκων ἀκίνητον, εἰ καὶ τιμιῶν πωλήσει τὸ μὴ πλησιάζον τῷ γείτονι, ἢ τῷ δημοτείῳ· ἀλλὰ τῷ τὴν προτίμησιν ἔχοντι, καὶ οὕτως αὐτὸ πωλήσει. Διαπράσεως γινομένης, τοῦ ἢ ἐξωτικοῦ, ὁ δανειστὴς ἢ ὁ συγγενὴς προτιμᾶται εἰς τὸ ἀγοράσαι· τοῦ δὲ συγγενοῦς ὁ δανειστής, ἐκ δὲ τῶν δανειστῶν ὁ τὸ πλεῖον χρεωστούμενος.

ΝΕΑΡΑ΄ ΤΟΥ ΚΑΙ΄ΣΑΡΟΣ ΝΙΚΗΦΟ΄ΡΟΥ.

Ἵνα μὴ προτιμῶνται οἱ πένητες, εἰς τὸ ἀπεμπολούμενον κτῆμα τῶν δυνατῶν, μήτε ἐξ ὁμοτελείας, μήτε ἐξ ἀνακοινώσεως κἂν τε στρατιῶται, κἂν τε πολιτικοὶ εὑρίσκονται. ἀλλὰ τὸ τούτων πάλιν διαδέχηται ἀρχοντικὸν πρόσωπον, τὸ πρὸς ἀνάπαυσιν δηλονότι καὶ ὠφέλειαν τῶν συμπαρακειμένων ἐν τούτῳ πενήτων ἀναφαινόμενον. καὶ τοὺς μὲν δυνατούς, ἐκ δυνατῶν μόνων ποιεῖσθαι τὰς ἐξωνήσεις βουλόμεθα· τοὺς δὲ στρατιώτας καὶ πένητας, ἐκ τῶν τὴν ὁμοίαν τάξιν λαχόντων. Ὅτι εἰ τέσσαρες χρόνοι διέλθωσιν ἀντιφώνητοι, μετὰ τὸ ἀγοράσαι τινὰ κλασματικὴν γῆν, ἤγουν ἐξαλειμματικήν, οὐ δύναταί τις περὶ προτιμήσεως κινεῖν. Μερικῶς ἔχων τις ὡς ἐξ ἀνακοινώσεως οἶκον προτίμησιν, οὐκ ἐβούλετο ὅλον τὸν οἶκον ὠνήσασθαι, καὶ ὁ δικαστὴς ἔκρινεν οὕτως· ὅθεν πρὸς τὴν ὅλην πρά-

ῥωμαϊκόν

ῥωμαϊκόν

μὴ ἀποκύπτωσι, παρεῖται δηλονότι καὶ τὴν μερικὴν προτίμησιν. ὑπὲρ γὰρ τοῦ πράτου, καὶ τοῦ ἀγοραστοῦ, τοῦτο κατὰ καινοτομίαν εἰσήχθη τὸ νόμιμον, καὶ δικαίως ἐπενοήθη· ὡς μὴ τὰ ἕτερα ἀναπομένοντα δηλονότι ἀναγόραστα μένωσι, διὰ τὴν τοῦ νόμου τῆς ἀνακοινώσεως βοήθειαν. Ὁ ἔχων ἀνακοίνωσιν ἐπί τινι προτιμᾶται· πλὴν ἐὰν ἐν οἴκῳ μεγάλῳ ἔχω ἀνακοίνωσιν μικράν, εἰς τὸ ἀνακοινωμένον μόνον προτιμῶμαι, καὶ ἀναγκάζομαι τὸν οἶκον ὅλον ὠνήσασθαι, καὶ μὴ ἀγοράζων, ἐκπίπτω τῆς ἀνακοινώσεως, πλὴν μὴ θέλοντος τοῦ πράτου ὅλον τὸν οἶκον ὠνήσασθαί με, οὐκ ἔχω δίκαιον ἐκ τῆς μικρᾶς ἀνακοινώσεως ζητεῖν ὅλον. ΜΑΓΙΣΤΡΟΣ.

Ἐφ' οἷς ἔχω προτίμησιν ἀνακοινώσεως, κἂν ἀγορασθῶσι παρά τινος ἢ δωρηθῶσι, κἂν πρὸς ἱερὸν οἶκον, ἀνατρέπεται ἡ δωρεά. καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος, καὶ ἀνέτρεψε δωρεάν, καὶ ἐδικαίωσε τὸν προτιμώμενον. Ὅτι ἡ μὲν διὰ χρήσεως νομή, τουτέστιν ἡ δεκαετία ἀνενόχλητον ποιεῖ τὸν ἀγοραστήν· ἡ δὲ διὰ χρήσεως κυριότης τουτέστιν ἡ τελεία, τῆς μὲν ἀπαιτήσεως τῶν καρπῶν αὐτὸν ἐλευθεροῖ. οὐκέτι δὲ καὶ κύριον ἀσφαλῆ τῆς ὑποθήκης αὐτὸν καθίστησιν.

## ΠΕΡΙ ΟἼΚΩΝ ΕΥ̓ΑΓΩ͂Ν.

Οἱ εὐαγεῖς τόποι μὴ εὐποροῦντες ἀλλαχόθεν πληροῦν τὰ δημόσια, καλῶς πωλοῦσι καὶ κτήσεις. δηλονότι ἐξεταζομένης τῆς ἐκποιήσεως παρὰ τοῦ μητροπολίτου, συνόντων τῶν ἐπισκόπων, καὶ τῶν κληρικῶν, προκειμένων τῶν θείων λογίων, καὶ εἰ μὴ δειχθῇ ἄλλος πόρος ἐξ οὗ δοῦναι τὰ δημόσια δυνηθῶσι, βεβαιούσθω ἡ πρᾶσις ὑπὸ σεκρέτῳ· καὶ δεδόσθω τὸ ὑπόμνημα τῷ δημοσίῳ τῶν πραθέντων, καὶ ἀπόδειξις τῶν καταβληθέντων. Ἐκεῖνο δὲ ἔτι προσθεῖναι τῷ νόμῳ δίκαιον ᾠήθημεν, ἵνα ὁ πιπράσκων δοῦλον καὶ γινώσκων αὐτὸν ἢ κλέπτην, ἢ μαινόμενον, ἢ δαιμονῶντα, προφωνείτω περὶ τούτου

τοῦ τῷ ἀγοραστῇ. εἰ γὰρ τοῦτο μὴ ποιήσει, αὖθις μὲν λήψεται τὸν δοῦλον, τὸ δὲ τίμημα διπλοῦν ἀντιστρέψει τῷ ἀγοραστῇ, ἀπαιτούμενος καὶ εἴ τινα ζημίαν εἰργάσατο ἐν τῷ οἴκῳ τοῦ ἠγορακότος.

## ΠΕΡΙ ΕΜΦΥΤΕΥΣΕΩΣ. τίτλ. δ΄.

Ἡ ἐμφύτευσις, οὔτε μίσθωσίς ἐστιν, οὔτε ἐκποίησις, ἀλλὰ μέσον τῶν δύο τούτων καθίσταται· καὶ ἐκ μέρους μὲν μετέχει εἰς μίσθωσιν· ἐκ μέρους δὲ τῇ ἐκποιήσει ταυτίζεται, καὶ ἔστιν ὥσπερ μίσθωσις ὁμοῦ καὶ ἐκποίησις. ἡ μὲν γὰρ μίσθωσις οὐκ ἔστιν ἀεὶ, οὐδὲ τὸ διηνεκὲς κέκτηται· ἀλλ᾽ ἅπαξ γενομένη, τοῦ εἶναι μετὰ τὴν συμπλήρωσιν παύεται. ἡ δὲ ἐμφύτευσις, δύναται καὶ τὸ διηνεκὲς ἔχειν, καὶ εἰς ἀεὶ διαμένειν, οὐκ ἐμποδίζεται· καὶ κατὰ τοῦτο διαφέρει τῆς μισθώσεως, ἡ ἐμφύτευσις. πάλιν δὲ ἡ ἐκποίησις πλεία πρᾶσίς ἐστι, καὶ μετὰ τὸ γενέσθαι τὴν καταβολὴν τοῦ τιμήματος, οὐκέτι καταβάλλεται τι ὁ ἀγοραστής, οὐ δὲ ἀναγκάζεται κατ᾽ ἔτος διδόναι τι. ἡ δὲ ἐμφύτευσις, καθ᾽ ἕκαστον χρόνον γίνεται, καὶ ἀπαιτεῖται ὥσπερ τέλος ἐτήσιον, καὶ κατὰ τοῦτο διαλλάττει πρὸς τὴν ἐκποίησιν, ἡ ἐμφύτευσις. καὶ ὅτι μὲν ὁ λαβὼν κατ᾽ ἐμφύτευσιν, εὐκόλως ἀφ᾽ οὗπερ ἔλαβεν, οὐκ ἀποδιώκεται, οὐδὲ ἐπ᾽ ὀλίγον καιρὸν τὸ δοθὲν αὐτῷ κέκτηται, οὐκ ἔστι μίσθωσις ἡ ἐμφύτευσις· ὅτι δὲ πάλιν τὸ πεπαγμένον κατ᾽ ἔτος δίδωσιν, οὐδὲ ἐκποίησις ἐστὶν, ἤγουν πλεία πρᾶσις, ἀλλὰ διαιρεῖται μέσον μισθώσεως καὶ ἐκποιήσεως. καὶ διὰ τοῦτο καὶ τὰ νόμιμα ταύτης ἰδικά ἐστι παρὰ τὰ νόμιμα ἅπερ ἔχει ἡ μίσθωσις καὶ ἡ ἐκποίησις.

## ΠΕΡΙ ΕΥΑΓΩΝ ΟΙΚΩΝ.

Τὰς ἐμφυτεύσεις παρὰ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς βασιλίδος πόλεως, καὶ τοῦ ὀρφανοτροφείου, καὶ τῶν ξενώνων, καὶ τῶν νοσοκομείων, καὶ τῶν πτωχείων, γίνεσθαι κωλύομεν, εἴτε τῷ προσώπῳ αὐτοῦ τοῦ λαβόντος, ἢ ἄλλων

δύο ἐφεξῆς κληρονόμων. τὰ ἐρείπια τῆς ἐκκλησίας κωνσταντινουπόλεως, καὶ διηνεκῶς ἐμφυτευέσθωσαν, καὶ ἐπὶ τῇ τρίτῃ μοίρᾳ τῶν εὑρισκομένων τῆς κτήσεως οἰκιῶν, ἢ ἐπὶ τὸ ἥμισυ τῶν μετὰ τὴν ἀπὸ τοῦ ἐμφυτευτοῦ γινομένην ἐπανόρθωσιν τῶν οἰκιῶν.

Ὅτι ἐπὶ τῶν ἄλλων ἐκκλησιῶν, μοναστηρίων, καὶ ξενώνων, καὶ τῶν λοιπῶν, τῶν τε ἐντὸς κωνσταντινουπόλεως, καὶ τῶν ἐκτὸς ἐν οἵῳ δήποτε τόπῳ, καὶ διηνεκῶς δίδονται τὰ ἐρείπια αὐτῶν, ἐμφυτευτικῷ δικαίῳ τοῖς βουλομένοις διδόναι, καὶ κουφισμὸν μὴ πλείονα γίνεσθαι τοῦ ἕκτου μέρους τῆς προσόδου, ἣν ἔχει τὸ εἰς ἐμφύτευσιν διδόμενον πρᾶγμα. τὰς μισθώσεις παρὰ τῶν εὐαγῶν οἴκων γίνεσθαι, κατὰ δύο τρόπους συγχωροῦμεν, ἢ μέχρι τοῦ τῆς ζωῆς χρόνου τοῦ ἐμφυτευσαμένου, ἢ ὅσον ἂν τοῖς συναλλάττουσι, συναρέσκῃ μὴ ὑπερβαλλούσας δηλαδὴ τὸν τριακονταετῆ χρόνον. ἐπὶ μὲν τῶν ἐκκλησιῶν, καὶ εὐαγῶν οἴκων, ἐὰν ἐπὶ διετίαν μὴ καταβάλῃ ὁ ἐμφυτευτὴς τὸν συμφωνηθέντα κανόνα, ἐκπίπτει τῆς ἐμφυτεύσεως· ἐπὶ δὲ τῶν ἄλλων, ἐὰν ἐπὶ τριετίαν, τοῖς οἰκονόμοις, καὶ ὀρφανοτρόφοις, καὶ τοῖς τῶν λοιπῶν οἴκων εὐαγῶν διοικηταῖς, ἔτι γε μὴν καὶ τοῖς πάντων χαρτουλαρίοις, καὶ τοῖς τούτων γονεῦσι καὶ παισί, καὶ τοῖς ἄλλοις τοῖς κατὰ γένος αὐτοῖς, ἢ ἐκ γαμικοῦ δικαίου συναπτομένοις, ἀπαγορεύομεν ἐμφυτεύσεις τε καὶ μισθώσεις, ἤγουν ὑποθήκας πραγμάτων, τοῖς αὐτοῖς εὐαγέσιν οἴκοις προσηκόντων, ἢ δι᾽ ἑαυτῶν, ἢ διὰ παρενθέτου προσώπου λαμβάνειν· γινωσκόντων ὡς εἰ τοιοῦτόν τι γένηται, καὶ τοῦτο ἀνίσχυρον ἔσται, καὶ ἐκπίπτειν μὲν τὸν ἐμφυτευσάμενον καὶ μισθωσάμενον, τοῦ ἐμφυτευθέντος πράγματος· ζημιοῦσθαι δὲ καὶ τὴν καταβληθεῖσαν εἰς αὐτὸ τιμήν· τοὺς δὲ τὴν τοιαύτην ἐμφύτευσιν διαπραξαμένους, οἰκονόμους καὶ χαρτουλαρίους καὶ διοικητάς, τοσοῦτον ἅμα ζημιοῦσθαι, καὶ προσκυροῦσθαι τῷ οἴκῳ, ὅσην καὶ ὁ ἐμφυτευσάμενος τῆς καταβληθείσης τι-

μῆς ὑπέστη ζημίαν. Αἱρετικοὶ, ἀκίνητον ἐκκλησιαστικὸν πρᾶγμα μὴ ἐπικτάσθωσαν· μήτε κατὰ ἐμφύτευσιν, μήτε κατὰ μίσθωσιν· εἰ΄ τις δὲ αἱρετικὸς ποιήσει τοιοῦτό τι, ὃ δέδωκεν ὑπὲρ τούτων ἀπόλλυσιν.

## ΠΕΡΙ ΔΑΝΕΙΟΥ ΚΑΙ ΕΝΕΧΥΡΟΥ.

τοῦ μικροῦ κατὰ στοίχων. Τίτλ. ε.

Τὸ χρέος καθολικώτερόν ἐστι τοῦ δανείου· δάνειον μὲν γὰρ, τὸ ἀπὸ δόσεως τινὸς, καὶ καταβολῆς χρεωστούμενον, καὶ ἄλλο τι παρὰ τοῦτο, οὐκ ὀνομάζεται δάνειον. χρέος δὲ καὶ αὐτὸ τὸ δάνειον, καὶ τὸ ἀπὸ λεγάτου, καὶ τὸ ἀπὸ τιμήματος πραθέντος τινὸς πράγματος ὑπολιμπανόμενον, καὶ τὸ ἀπὸ διαθήκης, καὶ ἁπλῶς τὸ ἀπὸ αἰτίας ὁποιασοῦν ὀφειλόμενον.

## ΠΕΡΙ ΑΡΧΟΝΤΩΝ.

Οἱ ἄρχοντες, ἐν ταῖς ἐπαρχίαις αἷς ἄρχουσι, κωλύονται δανείζειν, καὶ τοκίζειν, καὶ πραγματεύεσθαι. αὐτοὶ δὲ μᾶλλον ἐπὶ τόκῳ παρ' ἑτέρων δανείζονται· οἱ δὲ, εἰς τὰς ὑπ' αὐτῶν τάξεις, καὶ δανείζουσι, καὶ τοκίζουσιν.

## ΠΕΡΙ ΥΠΟΘΗΚΩΩΝ ΚΑΡΠΩΝ.

Οἱ ἐκ τοῦ ἐνεχύρου ληφθέντες καρποὶ, ψηφίζονται εἰς τὸ χρέος, καὶ ἐὰν ἱκανοὶ γένονται πρὸς τὸ ὅλον χρέος, λύεται ἡ ἀγωγὴ, καὶ ἀποδίδοται τὸ ἐνέχυρον· εἰ δὲ καὶ πλείονες εἰσὶ τοῦ χρέους οἱ καρποὶ, ἀποδίδονται οἱ περιττεύοντες. Τῆς δούλης οἱ κάματοι, καὶ τὰ ἐνοίκια τῶν ὑποτεθέντων οἰκημάτων, εἰς τὸ χρέος ψηφίζονται· καὶ ἐὰν πολὺ ἐστι τὸ συναγόμενον, λύεται ἡ ἀγωγή. Οἱ καρποὶ τοῦ ἀγροῦ, ψηφίζονται εἰς τὸ χρέος, οὐ μόνον οὓς ἔλαβεν ὁ δανειστὴς ἀλλὰ καὶ οὓς ἠδύνατο λαβεῖν· εἰ δὲ καὶ ἔβλαψε τὸν ἀγρὸν, ἐνάγεται καὶ περὶ τούτου.

## ΠΕΡΙ ΑΝΤΙΧΡΗΣΕΩΣ.

Ὁ δανείσας, καὶ λαβὼν ἐνέχυρον οἶκον ἐφ' ᾧ καταμένειν ἐν αὐτῷ, εἰ καὶ πλεῖον ἐστὶ τὸ ἐνοίκιον τοῦ νομίμου τόκου, ὅμως

οὐ δοκεῖ πλείονα τόκον ἀπαιτεῖν, ἀλλὰ μᾶλλον ἔλαττον τὸν οἶκον μισθοῦσθαι. ἐὰν δὲ μισθώσας τὸν οἶκον λαμβάνῃ τὸ μίσθωμα, τότε εἴ τι ὑπὲρ τὸν νόμιμον τόκον δυνηθῇ λαβεῖν, τοῦτο εἰς κεφάλαιον λογίζονται.

ΠΕΡΙ ΣΥΜΦΩΝΙΑΣ ἘΝΕΧΥΡΟΥ.

Κυρίως ἐνέχυρον λέγεται, τὸ παραδοθὲν τῷ δανειστῇ· τὸ δὲ μὴ παραδοθὲν, ἀλλὰ συμφωνηθὲν, ὑποθήκη ἐστίν.

ΠΕΡΙ ΠΡΑΣΕΩΣ ἘΝΕΧΥΡΟΥ.

Ἐάν τις ἐνέχυρον λάβῃ καὶ συμφωνηθῇ τι περὶ αὐτοῦ, τὸ δόξαν κρατείτω· εἰ δὲ μηδὲν ἔδοξε καὶ διετία παρέλθοι, μετὰ τὴν καταδίκην, ἢ διαμαρτυρίαν ἔξεστι πιπράσκειν αὐτό.

Ὁ δανειστὴς μέλλων πιπράσκειν τὸ ἐνέχυρον, γνώριμον τοῦτο ποιείτω τῷ χρεώστῃ, εἰ οὐχ ὁρείαν ἔχει, καὶ διαμαρτυρέσθω αὐτόν· εἰ μή γε τι περιγραφὴν ποιήσει ἐν τῇ πράσει, τῇ προσφόρῳ ἀγωγῇ εὐθυνέσθω. Ὁ ἐνέχυρον κρατῶν οὐχ ὑπόκειται, οὐδὲ γὰρ ἰδίᾳ φυλακῇ νέμεται. ΣΧΟΛ.

Τὶς ἔχων δανειστὰς διαφόρους, εἱλκύσθη παρ' ἑνὸς τούτων, ὥστε ἀπαιτεῖσθαι τὸ χρέος, καὶ μὴ ἔχων αὐτὸ δοῦναι, δέδωκε τῷ δανειστῇ ἐνέχυρον, καὶ μετὰ τὴν δόσιν τοῦ ἐνεχύρου, ἐζήτησαν οἱ λοιποὶ δανεισταὶ πεμφθῆναι εἰς νομὴν τῶν τοῦ χρεώστου πραγμάτων, ὡς λανθάνοντος καὶ μὴ ὑποδεχομένου τὸ * δικαστῶς· ἆρα δύνανται οἱ πεμφθέντες δανεισταὶ ἰδίᾳ νομῇ, λαμβάνειν τὸ ἐνέχυρον τὸ δοθὲν τῷ συνδανειστῇ; οὐχί· διότι ὁ λαβὼν τὸ ἐνέχυρον ἐπὶ ἰδίᾳ ἀσφαλείᾳ ἔλαβεν αὐτό, ὡς ἂν ἐκεῖθεν ἀποβληθῇ, καὶ οὐχὶ ἀπὸ τῆς καθόλου νομῆς τῶν δανειστῶν, ἤτοι τῆς ῥεῖ σερβανδάε καύσα. ὁ γὰρ ἐξ ἐκείνης νεμόμενος, ὡς ὀνόματι πάντων τῶν δανειστῶν νεμόμενος, καὶ φυλάττων τὰ τοῦ χρεώστου πᾶσι τοῖς δανεισταῖς, εἰκότως ἐνάγεται παρ' ἐκείνων, ἵνα εἰσάξῃ τὰ πράγματα εἰς τὸ μέσον. Εἴτε ἐξ ἀρχῆς, εἴτε μετὰ ταῦτα συμφωνηθῇ περὶ τῆς πράσεως τῶν ἐνεχύρων, εἴτε μηδὲν συμφωνηθῇ

ὑποθήκη, καλῶς αὐτὰ πιπράσκει ὁ δανειστής, καὶ ποιεῖ δεσπότην τὸν ἀγοραστήν· εἰ μὴ οὕτως συνεφωνήθη, μὴ πιπράσκειν αὐτά, τότε γὰρ ἐνέχεται τῇ περὶ κλοπῆς ἀγωγῇ, ὁ πωλήσας αὐτὰ δανειστής. Ἐὰν εἴπῃ ὁ δανειστὴς ὅτι εἰ μὴ καταβληθῇ μοι τὸ χρέος ἐντὸς τοῦ δε τοῦ χρόνου, δεσπότης ἔσομαι τοῦ ἐνεχύρου, τοῦτο δὲ σύμφωνον ἀνίσχυρον ἔστω. Ἐὰν συμφωνηθῇ πιπράσκεσθαι τὸ ἐνέχυρον, οὐ μόνον διὰ τὸ κεφάλαιον· ἀλλὰ καὶ διὰ τοὺς τόκους, καὶ τὰ εἰς αὐτὸ δαπανηθέντα πιπράσκεται. τὸ γὰρ ἐνέχυρον, τὸ ὑπὸ τὸ κεφάλαιον ὑποτεθέν, σιωπηρῶς καὶ ἐπὶ τοῖς τόκοις ὑπόκειται. Ὁ τὸ ἀλλότριον ἐνεχυριάζων, ἑαυτὸν μὲν ποιεῖ ἔνοχον· τὸ δὲ ἐνεχυριασθέν, οὐ ποιεῖ ἔνοχον τὸν κεκτημένον δηλονότι.

Τὸ συμφωνηθῆναι τοῦ χρεώστου ἐν τῷ τὴν προθεσμίαν αὐτοῦ τῆς καταβολῆς ὑπερβαίνειν, διάπρασιν γίνεσθαι τοῦ ἐνεχύρου, οὐκ ἀναιρεῖ τὴν τοῦ ἐνεχύρου ἀγωγήν, ὅτε ἔλαττον πωλήσῃ ὁ δανειστής, τῷ συμφώνῳ τῷ ἐν τῷ πλήθει πολιτευομένῳ ἐναχθῆναι. Τὸ ἀπὸ καταδίκης ἐνέχυρον, ἡ τάξις πιπρασκέτω, εἰ δὲ μηδεὶς εὑρεθείη ὁ ἀγοράζων, ἔπειτα οὖν ἥττων εὑρεθῇ καὶ βουληθῇ ὁ νενικηκὼς ὑπερθεματίζων ἀγοράσαι, ἔξεστιν αὐτῷ τοῦτο ποιεῖν ὥσπερ ἐξωτικῷ. Δύναται ὁ δανειστὴς κατέχων τινὸς χρεώστου ἐνέχυρον, καὶ αὐτὸς ἑτέρῳ δανειστῇ διδόναι πάλιν αὐτὸ εἰς ἐνέχυρον· πλὴν ὑπὲρ τοσούτου τιμήματος, ὑπὲρ οὗ καὶ αὐτὸς κατέχει αὐτό.

## ΠΕΡῚ ΤΥΧΗΡΩ͂Ν ἘΝ ΤΟΙ͂Σ ἘΝΕΧΎΡΟΙΣ.

Τὰ συμβαίνοντα τυχηρὰ ἐν τῷ ἐνεχύρῳ ἐπὶ βλάβῃ τε καὶ ἐπικερδῆ, τὸν χρεώστην ὁρᾷ. Ἐδανείσατό τις ἀπ᾽ ἐμοῦ τι φ΄. δεδωκὼς μοι ἐνέχυρον, σκεύη ἀργυρᾶ· γενόμενος δὲ αὐτοῦ ἐν χρήσει, ἐζήτησε τοῦ λαβεῖν αὐτά, καὶ μετὰ καιρὸν ᾐτήσατο ἵνα πωλήσῃ τὰ ἐνέχυρα, καὶ ἐπέτρεψα αὐτῷ τὴν διάπρασιν· εἶτα ἀγοράσαι βούλομαι αὐτὰ παρὰ τοῦ ἀγοράσαντος ἀγοραστοῦ. καὶ φησὶν ὁ νόμος, μὴ δύνασθαι τοῦτο ποιεῖν, ἅπαξ ἐπέτρεψα τὴν διάπρασιν, καὶ ἐξέπεσον οὗ εἶχον ἐνεχύρου δικαίου· ἔξει

θήκην ἔλαβε, τὴν ζημίαν τὴν ἐν τοῖς τεμνομένοις δένδροις, καὶ τοῖς καταλυομένοις οἴκοις ὑπ᾽ αὐτοῦ γινομένων, εἰς λόγον ἐνεγκεῖν ἀναγκασθήσεται. καὶ ἐὰν μὴ κατὰ δόλον, ἢ πταῖσμα δὲ πρᾶγμα τὸ ὑποτεθὲν χεῖρον ἐποίησε, καὶ τούτου ἕνεκεν, τῇ ἀγωγῇ ἐνάγεται· ἵνα τοιοῦτον ἀποκαταστήσῃ τὸ πρᾶγμα, ὁποῖον ἦν ἐν τῷ καιρῷ τῆς ὑποθήκης. ὁ δὲ δανειστὴς τὰ ἀναγκαῖα δαπανήματα ἅπερ ἐποίησε περὶ τὸ ὑποτεθὲν πρᾶγμα, ἀπαιτεῖν οὐ κωλύεται. Τὰ ὑποτεθέντα πράγματα εἰς ἐνέχυρον, προσωπικῶς ζητοῦσιν οἱ χρεῶσται· οὐδὲ γὰρ ἔξεστι τῷ δανειστῇ χωρὶς συμφώνου καὶ ἀρχικῆς κελεύσεως, ἀφαιρεῖσθαι τὰ πράγματα τοῦ χρεώστου, τουτέστι διαπιπράσκειν, τὰ εἰς αἰτίαν ἐνεχύρου κατεχόμενα πράγματα. Ἐὰν ὁ ὑποτεθεὶς οἶκος καυθῇ, καί τις ἀγοράσας τὸ ἔδαφος κτίσῃ, καὶ τὸ κτισθὲν ὑπόκειται, ὁ δὲ καλῇ πίστει νομεὺς οὐκ ἀποκαθίστησιν· εἰ μὴ λάβοι τὰς δαπάνας, εἰς ὅσον τὸ πρᾶγμα γίνεται τιμιώτερον. Ἐὰν πρᾶγμα ἀλλότριον ὑπέθετό τις, εἶτα δεσπόσῃ αὐτοῦ μετὰ ταῦτα, οὐδὲν ἧττον ἰσχυρῶς ἔδοξεν ὑποτίθεσθαι αὐτὸ, ἐξ ἀποτελέσματος. Προτιμᾶται παρὰ τῶν ἐχόντων ὑποθήκην, καὶ αὐτὸς ὁ τὸ ἐνέχυρον λαβὼν, καὶ ὁ κληρονόμος. Τοῦ Μελίου χρεωστήσαντος, καὶ ἀφαιρεθέντος κτήματα, εἶτα κινήσαντος ὡς κακῶς ἐτιμήθησαν τὰ κτήματα, ἀπεφήνατο ὁ μάγιστρος δοῦναι τοῦτον τὸ χρέος καὶ ἀπολαβεῖν τὰ κτήματα. καὶ οὗτος ᾔτησε προθεσμίαν, καὶ ἐδόθη αὐτῷ μετὰ τὴν ποίησιν τῆς σημειώσεως καιρὸς, μηνῶν ἕξ· καὶ εἰ ὑπερεκπέσοι καὶ τοῦτον τὸν ὅρον, ἐδικαιώθη ὁ ἀντίδικος δεσπόζειν τῶν κτημάτων. Ἡ χρονία νομὴ, οὐκ ἀναιρεῖ τὸ ἐνέχυρον. Ὁ δανειστὴς καὶ ὁ τούτου κληρονόμος, οὐκ ἔχει μακροῦ χρόνου παραγραφὴν, εἰς τὸ μὴ ἀποδοῦναι τὸ ἐνέχυρον, μετὰ τὸ πληρωθῆναι τὸ χρέος, τουτέστι τῇ τριακονταετίᾳ. Εἰσὶ δὲ καὶ ἐνέχυρα καὶ ὑποθῆκαι, σιωπηρῶς συναλλασσόμενα· ὁ γὰρ δανείζων εἰς ἀνανέω-

σιμ οἶκον ἢ κατὰ ἐντολὴν τοῦ δεσπότου τοῦ χορηγήσαντος τὴν ἔξοδον τοῦ κτίσματος, ἔχει τὸν οἶκον ὑποκείμενον, ὃ νικᾷ τοὺς λοιποὺς δανειστὰς βουλόμενος τὸν τοιοῦτον οἶκον λαβεῖν εἰς ἱκάνωσιν.

## ΠΕΡΙ ΠΡΟΤΙΜΗΣΕΩΣ ΔΑΝΕΙΟΥ.

Ἐὰν δυσὶ τὸ αὐτὸ πρᾶγμα ἐν μιᾷ ἡμέρᾳ ὑποτεθῇ, αἱ ὧραι αἱ προλαμβάνουσαι καὶ ὑπερέχουσαι, οὐ ποιοῦσι τινὶ αὐτῶν προτίμησιν· ἀλλ' ὑπόκειται αὐτοῖς κατὰ ἀναλογίαν τοῦ χρέους.

Ἐὰν δανείσῃ τις τινὶ, εἶτα δανείσω καὶ ἐγὼ αὐτῷ ἐπὶ τὸ ἐξελθεῖν καὶ πραγματεύσασθαι, εἰς τὴν δὲ τὴν πανήγυριν, καὶ ἐξελθὼν ὁ δανεισάμενος εἰς τὴν πανήγυριν πλουτήσῃ, νικῶ ἐγὼ τὸν προγενέστερον δανειστὴν, εἰς τὸν ἀγορασθέντα ἀπὸ τῆς πανηγύρεως φόρτον, ὡς ἐπὶ τούτῳ δανείσας. Γίνωσκε καθόλου ὅτι πᾶς δανειστὴς, ἢ προσωπικός ἐστιν, ἢ ἐνυπόθηκος· καὶ προσωπικὸς μέν ἐστιν, ὁ δανείζων τινὶ ἄνευ ἐνεχύρων, ἢ ὑποθήκης, ὃ ἔχει μόνον τὸ πρόσωπον τοῦ δανεισαμένου, ἀνοχὴν τοῦ δανείου· οὐ μὴν καὶ τὴν δεσποτείαν. ἐνυπόθηκος δὲ, ὅς τις ἔλαβεν ὑποθήκην, ἢ οἶκον, ἢ κτῆμα· καὶ ἔστιν ἰσχυρότερος τοῦ προσωπικοῦ· ὡς ἔχων καὶ τὰ ὑποτεθέντα πράγματα ἐνέχυρα.

ῥωμαϊκὸν Ὅτι ἐπὶ τῶν προσωπικῶν ἀγωγῶν, ἐὰν ἔσχατος δανειστὴς ἀπολάβῃ τὸ δάνειον, καὶ παραδράμῃ τελεία σιωπηρὰ, καὶ γινώσκῃ τοῦτο ὁ πρῶτος δανειστὴς, οὐ μετακινεῖ τὸν λαβόντα.

ῥωμαϊκὸν Ὁ τὸ ἴδιον χρέος λαβὼν, ἀποκλείει τὸν προγενέστερον· διότι ἐῤῥαθύμησεν· οἱ γὰρ νόμοι τῶν ἀγρυπνούντων εἰσὶν, ἀλλ' οὐχὶ τῶν βαρέως κοιμωμένων.

ῥωμαϊκὸν Ὅτι ἐὰν παρά τινος τὸ αὐτὸ πρᾶγμα ὑποτεθῇ πρῶτον μὲν δανειστῇ, εἶτα δημοσίῳ. μετὰ δὲ ταῦτα προικὶ, προτιμᾶται ἡ προὶξ καὶ τοῦ δημοσίου· διὰ τὸ προτιμᾶσθαι ταύτην τῶν πρώτων δανειστῶν, οἵτινες εἰσὶ προτιμότεροι καὶ τοῦ δημοσίου.

ῥωμαϊκὸν Ὅτι οἱ προγενέστεροι δανεισταὶ, προτιμῶνται τῆς προικὸς, ἣν ἐπηγγείλατό τις δώσειν τῇ θυγατρὶ αὐτοῦ.

ῥωμαϊκὸν Ὅτι ἐν τοῖς συναλλάγμασι καὶ τῇ προτιμήσει αὐτῶν, οὐ

προσέ-

προσέχομεν τῷ χρόνῳ τὴν καταβολὴν· ἀλλὰ τοῦ συναλλάγματος. Ἐφ' ὧν θεμάτων ὁ τὴν ὑποθήκην λαβὼν, ἀνάγκην ἔχει πληρωθῆναι τὸ συνάλλαγμα ὡς ἐπὶ τῆς προικὸς, ἐπὶ τούτων οὐ προσέχομεν τῇ ἀριθμήσει· ἀλλὰ φαμὲν, βέβαιον εἶναι τὸ συνάλλαγμα ἐξ ἀρχῆς ὅτε καὶ γέγονεν, ἐφ' ὧν δὲ θεμάτων ἐν γνώμῃ αὐτοῦ, καὶ τοῦ συναλλάξαντος κεῖται πληρωθῆναι τὸ συνάλλαγμα, ἢ τοὐναντίον, ἐπὶ τούτων τῇ ἀπαριθμήσει προσέχομεν καὶ οὐ τῇ ἀρχῇ τοῦ συναλλάγματος. ῥωμαϊκόν

Ὁ προγενέστερος δανειστὴς, ὑποθήκην ἔχων γενικὴν, καλλίων ἐστὶ, τοῦ ἰδικὴν μετ' αὐτὸν ὑποθήκην λαβόντος, ὥστε οὖν ὁ ἀγοράζων παρὰ τοῦ προτέρου, οὐκ ὀχληθήσεται τούτου χάριν παρὰ τοῦ μεταγενεστέρου. εἰ δὲ ὁ πολλοῖς δανεισταῖς τὰ αὐτὰ ἐνέχυρα ἐν διαφόροις χρόνοις ὑπετέθη, ὅμως εἰ ἐκ τῶν πραγμάτων εἶδος αὐτῶν ἀπηγοράσθη ἀγρὸς καὶ ὑπετέθη τῷ ἰδικῶς, καλλίων οὗτος πάντων ἐστὶ, τῶν ἐν τῷ ἀγρῷ.

Ἐάν τις χρεωστῶν δανεισταῖς ἀπορῇ, καὶ περιελθοῦσαν αὐτῷ κληρονομίαν, ἢ λεγάτον μὴ βούληται λαβεῖν, οὐκ ἐνέχεται τοῖς δανεισταῖς ἐπὶ τῷ μὴ λαβεῖν· οὐ γὰρ ἀποκτᾶται τι τῶν αὐτοῦ. ἐκεῖνος γὰρ ἐνέχεται ὁ ἔχων τι, καὶ χρεωστῶν. καὶ ἀποκτώμενος ὃ ἔχει. ἡ δὲ κληρονομία καὶ τὸ λεγάτον, οὐ τῆς τοῦ χρεώστου περιουσίας ἐστὶν, ἀλλ' ἐκ φιλοτιμίας περιῆλθον αὐτῷ, καὶ εἰ ἐπιλαμβάνει αὐτὰ ὁ χρεώστης, ἀναγκάζεται πάλιν παρέχειν τοῖς δανεισταῖς. εἰκότως οὖν ὁ νόμος οὐκ ἀναγκάζει αὐτὸν μὴ βουλόμενον, δέχεσθαι τὴν κληρονομίαν, ἢ τὸ λεγάτον· κρεῖττον γὰρ ἡγεῖται, τὸν ἀφ' οὗ ἡ χάρις αὐτῷ μέλλει προσγίνεσθαι κερδῆσαι ταῦτα, ἤπερ τοὺς δανειστὰς ταῦτα λαβεῖν, μηδεμίαν ὠφέλειαν ἐντεῦθεν τοῦ πρὸς ὃν ἡ δωρεὰ ἔχοντος. Ἐὰν τὸ ἐνέχυρον ἐπώλησεν ὁ πρῶτος δανειστὴς τῷ δευτέρῳ, οὐδὲν ὕπεστιν· εἰ δὲ ὁ χρεώστης αὐτὸς ἐν προτιμήσει δέδωκεν αὐτῷ, ἢ ἐπώλησεν, ὁ δεύτερος δύναται λαμβάνειν αὐ- ῥωμαϊκόν

τὸ, λαμβάνων μέν τοι χρέος. Ὁ δανείσας εἰς ἐπανόρθωσιν οἴκου, προτιμᾶται. ΣΧΟΛ. Σημείωσαι ὅτι τῶν προσωπικῶν δανειστῶν ἐστὶ διαφορά. οἱ μὲν γάρ εἰσι προνόμιον ἔχοντες· οἱ δὲ μὴ ἔχοντες. καὶ οἱ ἔχοντες τὸ προνόμιον τῶν μὲν ἐνυποθήκων τὰ δεύτερα φέρουσι· τῶν δὲ ἀνυποθήκων νικῶσιν. εἰσὶ δὲ οἱ ἔχοντες τὸ προνόμιον, καὶ ἄλλοι μέν τινες· τέως δὲ καὶ ὁ δανείσας εἰς ἐπανόρθωσιν οἴκου. ἔστω ὡς ἵνα θέματος ἔχειν ὁ πέτρος οἶκον καταπίπτοντα, καὶ συνέτυχε τῷ παύλῳ περὶ δανείου, καὶ πεισθεὶς ὁ παῦλος, ἐδάνεισε τῷ πέτρῳ· ἵνα τοιαύτῃ αἱρέσει καὶ συμφωνίᾳ, ἤγουν ἵνα τὰ δανεισθέντα κατασκευασθῶσιν εἰς ἀνόρθωσιν τοῦ καταπίπτοντος οἴκου. ὃ καὶ γέγονεν ἐκίνησε μετὰ ταῦτα κατὰ τοῦ πέτρου ὁ παῦλος, ζητῶν τὸ δάνειον. συνεκίνησαν μετ' αὐτοῦ καὶ ἕτεροι δανεισταὶ προσωπικοὶ· μόνον δανείσαντες ἁπλῶς, καὶ μὴ ἔχοντες προνόμιον, προτιμηθήσεται ὁ παῦλος καὶ ἱκανωθήσεται πρῶτος τὰ χρέα· καὶ τότε οἱ ἕτεροι προσωπικοὶ δανεισταὶ ἀποπληρωθήσονται, εἴ γε καὶ εὑρίσκουσι περιουσίαν. Ἐὰν ὑποτίθωμαί σοι τὰ ἐσόμενά μοι, καὶ ἑτέρῳ τὸν τοῦ πέτρου ἀγρὸν, εἰ ἐμὸς γένοιτο, οἱ δύο συντρέχετε. ἐὰν ἐξ ἐμῶν χρημάτων ἠγοράσθη, ὁ μὲν ἀπὸ τῆς γενικῆς ὑποθήκης· ὁ δὲ ἀπὸ τῆς ἰδικῆς, καὶ οὐδὲν ποιεῖ πρόκριμα τὸ ἀγορασθῆναι τὸν ἀγρὸν ἐκ τῶν νουμμων τῶν ὑποκειμένων τῷ προτέρῳ δανειστῇ. ἐπειδὴ περ τῶν χρημάτων μήπω κτηθέντων, ἐστὶν ὑποθήκη γενική. Εἰ καταγράψω ὑπὲρ θυγατρός μου προῖκα ἵνα περιγραφῇ δανειστῶν, ἀπαιτεῖται ἡ θυγάτηρ ἐκχωρῆσαι τὴν τῆς προικὸς ἀγωγήν.

ΣΧΟΛ. Πέτρος ἔχων δανειστὰς διαφόρους, καὶ βουλόμενος περιγράψαι τούτους, τὴν ἰδίαν θυγατέρα τυγχάνουσαν αὐτεξούσιον, ἐξέδοτο πρὸς ἄνδρα, καὶ δέδωκεν ὑπὲρ αὐτῆς προῖκα τῷ γαμβρῷ ἀγνοοῦντι τὸν δόλον καὶ ἐντεῦθεν ἠλάττωσε τὴν ἰδίαν περιουσίαν· ἔχουσιν οἱ δανεισταὶ κατὰ τῆς θυγα-

τρὸς

πρὸς τὴν ἴμφακτον, καὶ ἀναγκάζουσιν αὐτὴν ἐκχωρῆσαι αὐτοῖς τὴν περὶ προικὸς ἀγωγὴν, ἣν ἐκτήσατο αὕτη· καὶ λαβόντες αὐτὴν κινοῦσι, καὶ ἀπαιτοῦσι τὴν προῖκα, λυθέντος τοῦ γάμου. Θεματίζομεν δὲ τὸν πατέρα ἐν τῇ ἐπιδόσει τῆς προικὸς, μὴ ἐπερωτῆσαι τὴν ἀντιστροφὴν τῆς προικὸς, ἀλλὰ μόνον δοῦναι αὐτήν.

Προτιμᾶται παρὰ τῶν ἐχόντων ὑποθήκην, καὶ αὐτὸς ὁ ἐνέχυρον λαβὼν, καὶ ὁ κληρονόμος. Ἡ διάταξις λέγει, ὅτι κἂν εἰς προῖκα τις ἔδωκεν ὑπὲρ θυγατρὸς πρᾶγμα ἐπὶ περιγραφῇ δανειστῶν, δύνανται ἐνάγεσθαι οἱ λαβόντες.

Ἐὰν οἱ δανεισταὶ μέρος ἐκ τῶν πραγμάτων ἑτοίμως ἔχωσι λαβεῖν, προτιμῶνται οἱ συγγενεῖς εὔποροι ὄντες. Ἐν ταῖς προσωπικαῖς οἱ δανείσαντες ἐφ᾽ ᾧ τοῖς πρώτοις δοθῆναι δανεισταῖς, εἰς τὸν τόπον αὐτῶν εἰσέρχονται. Ἐὰν βουλήσει τοῦ πρώτου ὑποτεθῇ ἄλλῳ, προτιμᾶται ὁ δεύτερος. Δανειστής ἐστιν, ὁ ἐξ οἱασδήτινος αἰτίας, χωρὶς παραγραφῆς διηνεκοῦς χρεωστούμενος, πολιτικῶς, ἢ πραιτωρίως· οὐ μὴν φυσικῶς κεχρεωστημένος.

ΣΧΟΛ. Τὸ δανειστὴς καὶ χρεώστης ὄνομα, ἡ συνήθεια καὶ ἡ τῶν πολλῶν γλῶττα ὡς ἐπίπολυ ἐπὶ τῶν δανειζόντων καὶ δανειζομένων παραλαμβάνει καὶ λέγει. Τοῦτο οὖν εἰδὼς ὁ νομοθέτης διδάσκει καὶ λέγει· ὅτι γινωσκέτω πᾶς ὁ νόμους γινώσκων, ὅτι οὐ μόνοι οἱ δανείσαντες δανεισταὶ λέγονται, ἀλλὰ καὶ πᾶς ἄνθρωπος χρεωστούμενος ἐξ οἱασδήποτε αἰτίας· οἷον ἀπὸ πράσεως, τίμημα· ἀπὸ μισθώσεως, μίσθωμα· ἀπὸ ἐπερωτήσεως καὶ ὁμολογίας τινὸς ἀνθρώπου, τί· καὶ ἀπὸ ποινῆς τυχὸν, ἀπὸ ὕβρεως, ἀπὸ κλοπῆς τὴν ὡρισμένην, ἀπὸ νόμου ποινὴν, δανειστὴς καὶ οὗτος λέγεται· καὶ ὁ χρεωστῶν αὐτῷ, ὅπως δήποτε καὶ ἐξ οἱασοῦν αἰτίας χρεώστης ὀνομάζεται· πλὴν προστίθησιν ὅτι ἐκεῖνος ἐστί τε καὶ λέγεται δανειστὴς ὁ χρεωστούμενος χωρὶς παραγραφῆς, τουτέστιν ὁ μὴ δυνάμενος ἐκβάλλεσθαι διὰ παραγραφῆς. Τί δέ ἐστι παρα-

γραφὴ

γραφή, ἄκουσον· ἡ τριακονταετία οὐκ ἔστιν ἀναμφιβόλως, ὅταν σοι δανείσω τινὶ τι καὶ παρέλθῃ ἡ τριακονταετία, καὶ οὔτε ὀχλήσω τὸν χρεώστην περὶ αὐτήν, καὶ οὔτε τόκον λάβω (ὁ τόκος γὰρ διακόπτει τὸν χρόνον, οὔτε ἄλλο τι ποιήσω δηλωτικὸν) τοῦ ὀχλῆσαι, ἀλλ' ἐφησυχάσω τελείως ἐφ' ὅλην τριακονταετίαν, εἰ μὲν ταύτην κινῶ, οὐδὲν δύναμαι ἀπαιτεῖν. ἐκβάλλει με γὰρ ὁ χρεώστης παραγραφῇ λέγων· ἐσίγησας ἀπὸ τοῦ χρόνου καὶ οὐδέν σοι ἀπὸ τοῦ νῦν χρεωστῶ, διὰ τὸ παρελθεῖν ὅλην τριακονταετίαν, καὶ λέγει καλῶς, οὐ μόνον δὲ ἐπὶ δανείου, ἀλλὰ καὶ ἐπὶ ἐπερωτήσεως, καὶ ἐπὶ τῶν τοιουτοτρόπων προσωπικῶν ἀγωγῶν χώραν ἔχει ἡ διηνεκὴς παραγραφή, ἤτοι ἡ τριακονταετία. εἰ γὰρ ἐπερωτήσω τινὰ δοῦναί μοι δέκα τι, ἢ προῖκα, ἢ ἄλλο τι πρᾶγμα, καὶ μετὰ τὸ ἐπερωτῆσαί με παρέλθῃ τριακονταετία, καὶ οὐδὲν εἴπω ἢ ὀχλήσω, ἐκβάλλομαι παραγραφῇ ταύτῃ τῇ διηνεκεῖ· καὶ ὁ μὲν νομοθέτης εἰπὼν χωρὶς διηνεκοῦς παραγραφῆς, ἤτοι τριακονταετίας, ἐδήλωσεν ἐκείνους τοὺς δανειστὰς τοὺς ἐκβαλλομένους διὰ ταύτης, ἤτοι τοὺς ἀπὸ δανείου, τοὺς ἀπὸ ἐπερωτήσεως, καὶ ἀπὸ τῶν ἄλλων ἀγωγῶν τῶν κλειομένων τῇ τριακονταετίᾳ. σὺ δὲ καλῶς νοῶν, μὴ μέχρι τῆς διηνεκοῦς παραγραφῆς καὶ μόνης; ἀλλ' οὕτω καθόλου λέγε, ὁ δανειστής ἐστιν ὁ ἐξ οἱασδήποτε αἰτίας χωρὶς οἱασδήποτε παραγραφῆς χρεωστούμενος. εἰσὶ γὰρ πολλοὶ δανεισταὶ καὶ δι' ἄλλων παραγραφῶν ἐκβαλλόμενοι. οἷον ὁ χρεωστούμενος ἀπὸ ὕβρεως, κλείεται διετίᾳ, καὶ ὁ συγχωρήσας τὸ χρέος, ἐκβάλλεται τῇ τοῦ συμφώνου παραγραφῇ· καὶ ἄλλοι ἄλλαις, αἵτινες οὐκ εἰσὶ τριακονταετεῖς· εἰ δὲ θέλεις συνδραμεῖν τοῖς ῥήμασι τοῦ νομοθέτου, ἵνα ἑλκύσῃς ταῦτα καλῶς ἐπὶ παντὸς δανειστοῦ, διηνεκῆ παραγραφὴν εἰπέ, μὴ τὴν τριακονταετίαν· ἀλλὰ πᾶσαν παραγραφὴν διηνεκῶς παύουσαν τὸν ἀντίδικον, καὶ τὴν δίκην ἐκβάλλουσαν τελείως, καὶ μὴ πρὸς καιρόν. οἷον ἐὰν χρεωστῇ μοί τις

καὶ

καὶ συμφωνήσω λαβεῖν τὸ χρέος μετὰ δύο μῆνας· ἢ ἐὰν τόδε κινῆται, παραγραφῇ ἐκβάλλομαι προσκαίρῳ ἀλλ' οὐχὶ διηνεκεῖ, ἤγουν πρόσκαιρον ἐκβάλλομαι μὴ κινεῖν. μετὰ γὰρ τὸ παρελθεῖν τοὺς δύο μῆνας, ἢ τὸ πρᾶγμα τὸ συμφωνηθὲν κινέσθαι, καλῶς κινῶ καὶ δικαίως πρὸ τούτου εἰμὶ δανειστής, ἐκεῖνος δὲ οὐκ ἔστι δανειστής, ὁ χρεωστούμενος μὲν ἐκβαλλόμενος δὲ διηνεκεῖ παραγραφῇ· δι' τῇ τοῦ χρόνου, τῇ τῆς συγχωρήσεως, τῇ τῆς διαλύσεως, καὶ ταῖς ὁμοίαις, πολιτικῶς φησὶν ἢ πραιτωρείως· πᾶς ἄνθρωπος ἢ πολιτικῶς χρεωστεῖται, ἢ πραιτωρείως· πολιτικῶς μὲν ἀπὸ πάντων τῶν συναλλαγμάτων, δι' πράσεως, μισθώσεως, ἀνταλλαγῆς, καὶ τῶν ὁμοίων καὶ πάντων τῶν ἄλλων ἅτινα εἰσηγήσατο ὁ νόμος ὁ δυοδεκάδελτος, ὅστις καὶ παρὰ πάσῃ πολιτείᾳ κρατεῖ, καὶ πολιτικὸς ὀνομάζεται· πραιτωρείως δὲ χρεωστεῖ, ὁ ἀπὸ νόμου χρεωστῶν εἰσηγηθέντος παρὰ τοῦ πραιτωρείου, ὁποῖος ἐστὶν ὁ ὑβρίσας τινὰ καὶ χρεωστῶν τὴν ἀποτίμησιν τῆς ὕβρεως, καὶ ὁ ἁρπάσας ἢ βίᾳ ἀφελόμενος πρᾶγμα οἱ δή ποτε, καὶ χρεωστῶν τοῦτο ἀποκαταστῆσαι. ταῦτα γὰρ ὁ πραιτώριος εἰσηγήσατο, καὶ οὐ μόνον ταῦτα ἀλλὰ καὶ ἄλλα, καὶ συνελόντι εἰπεῖν, πᾶς χρεωστῶν ἢ πολιτικῶς, ἢ πραιτωρείως χρεωστεῖ· τουτέστιν ἀπὸ νόμου εἰσηγηθέντος παρὰ τῶν δυοδεκαδέλτων, ὅστις ὡς εἴπομεν πολιτικὸς λέγεται· ἢ πραιτωρείως ἀπὸ νόμου δηλαδὴ εἰσηγηθέντος, παρὰ τῶν κατὰ μέρος πραιτώρων, ἤγουν ἀρχόντων. ὁ δὲ φυσικῶς χρεωστούμενος, οὐκ ἔστι δανειστής· ὥσπερ γὰρ ὁ διὰ παραγραφῆς ἐκβαλλόμενος οἵας δή τινος καθὼς εἴπομεν, οὐ δύναται ἀπαιτεῖν τὸ χρέος, οὕτως οὐδὲ ὁ φυσικῶς χρεωστούμενος. τίς δέ ἐστιν ὁ φυσικῶς χρεωστούμενος; ἄκουσον. ὁ μὲν δανείζων τινὶ τελείῳ καὶ φρονίμῳ, καὶ ὃν ὁ νόμος ἐπιγινώσκει, χρεωστεῖται καὶ φυσικῶς καθὸ δέδωκεν τι. καὶ οἶδεν ἡ φύσις, γ. ὡς δοὺς χρεωστεῖται· χρεωστεῖται δὲ καὶ νομίμως, καθὸ ὁ νόμος ἐπιγινώσκει ἔνοχον τὸν δανειζόμενον. ὁ δὲ δανείζων τι-

τῆς οὐσίας καὶ ἀτιμοῦνται. Οὐκ ἀναγκάζονται οἱ ἄποροι χρεῶσται δουλεύειν τοῖς ἰδίοις δανεισταῖς. Ὁ δανειστὴς μισθώσας, ἢ εἰς δουλικὴν ὑπηρεσίαν λαβὼν τὰ τέκνα τοῦ χρεώστου, ἐκπίπτει τοῦ χρέους, καὶ τὴν ὁμοίαν τοῦ χρέει ποσότητα τῷ κρατηθέντι παιδὶ, ἢ τοῖς γονεῦσιν αὐτοῦ καταβαλεῖν ἀναγκάζεται, πρὸς τῷ καὶ σωματικῶς αὐτὸν τιμωρηθῆναι. Θεσπίζομεν, εἴ τις ἐκείνου περιόντος ἔτι τοῦ νομιζομένου χρεωστεῖν αὐτῷ, καταλάβοι τὴν οἰκίαν αὐτοῦ· καὶ ἐνοχλοίη περιόντα τὸν ἄνθρωπον καὶ τοὺς οἰκείους αὐτοῦ, γαμετὴν φημὶ καὶ παῖδας καὶ οἶκον ὅλον, ἢ καὶ σημάνασθαι κατ' οἰκίαν ἐξουσίαν ἐπιτεθεῖναι τολμῶν, μὴ πρότερον ψήφου καὶ τάξεως νομικῆς μετὰ τὴν τοῦ λεγομένου χρεωστεῖν τελευτὴν φυλαχθείσης, τῆς μὲν ἀπαιτήσεως πάντως εἴτε δικαίαν ἔχει ταύτην, εἴτε καὶ μὴ, ἐκπιπτέτω. ὁπόσον δὲ ὀφείλεσθαι λέγει, τοσοῦτον ἕτερον προσαπαιτείσθω, καὶ διδότω τοῖς τοῦ περιυβρισμένου κληρονόμοις. δήμευσιν δὲ εἰς τὸ τρίτον τῆς οὐσίας ὑφιστάσθω· εἰ δὲ καὶ τελευτήσαντός τινος, περὶ τὴν ταφὴν ἁμάρτοι τις τοῦ τελευτήσαντος, καὶ τὴν ἐκφορὰν κωλύει, τοῖς αὐτοῖς ὑποκείσθω. Ὅταν τις μὴ χρεωστῶν τινί τι καταβάλῃ, εἰ μὲν ἀγνοεῖ ὅτι οὐ χρεωστεῖ, ἀναλαμβάνει· εἰ δὲ οὐκ ἀγνοεῖ, οὐκ ἀναλαμβάνει· δοκεῖ γὰρ τὸ οἰκειοτελῶς ἐδωρήσατο.

## ΠΕΡΙ ἈΝΑΡΓΥΡΙΑΣ.

Ἐάν τις λέγῃ μὴ χρεωστῶν ποιῆσαι γραμματεῖον, καὶ ἔστιν ἀσαφές, ὁ λαβὼν ἀποδείκνυσι χρεωστούμενον· εἰ δὲ ῥητῶς τὰς αἰτίας εἴπῃ δι' ἃς συνέγραψε τὸ χρέος, στοιχεῖν ἀναγκάζεται· εἰ μὴ προφανῶς δι' ἐγγράφων δείξει μὴ χρεωστῶν ὁμολογῆσαι,

## ΠΕΡΙ ΔΙΑΘΗΚΩΝ ΔΑΝΕΙΣΤΟΥ ΚΑΙ ΧΡΕΩΣΤΟΥ.

Οἱ λόγοι τοῦ τελευτήσαντος ἐν οἷς κατέγραψεν ἑαυτὸν χρεωστεῖσθαι, πρὸς ἀπόδειξιν οὐκ ἀρκοῦσιν· ἀλλ' οὐδὲ τὸ ἐν διαθήκῃ εἰπεῖν αὐτόν τινα περὶ χρεῶν ἰδίων, ἱκανόν ἐστι πρὸς ἀπό-

δείξιν ἀληθείας. Ἔξεστι τοῖς δανεισταῖς τοῦ χρεωστοῦντος αὐτοῖς, ἐν τῷ πλουτεῖν περὶ τῆς ἰδίας περιουσίας ὀμόσαντος, ἢ ἄλλως ἀσφαλισαμένου τὴν ταύτης ποσότητα, καὶ ἔτι περὶ ταύτης ἀνιχνεύειν καὶ ζητεῖν. Ὁπόσα ἄν τις ὑπὲρ ἑαυτοῦ ἐν ἰδίᾳ γράψῃ διαθήκῃ, ταῦτα μηδὲν ὠφελεῖν αὐτόν· μήτε τοῖς δανεισταῖς προκεῖσθαι· ἀλλ' ἐκείνοις ἄδεια ἔστω, πάντα ἐρευνᾶν ὃν ἂν βούλωνται τρόπον. Ὁ ἀνὴρ τὰ κεχρεωστημένα τῇ γυναικὶ ἀφήλικι οὔσῃ λαβὼν, οὐ ποιεῖ αὐτῇ πρόκριμα· εἰ μὴ τελεία γενομένη, ἀπεδέξατο τὴν πρᾶξιν. Ἐὰν προκομισθῇ ἔγγραφος κατάθεσις, δηλοῦσα ὅτι πρὸ χρόνων τόσων ἐδανείσατό τις, ὁ μὲν χρόνος τῆς ποιήσεως τῆς καταθέσεως, νικᾷ τοὺς μεταγενεστέρους δανειστὰς, ἢ συναλλάκτας. ὁ δὲ ἐκ καταθέσεως χρόνος, τουτέστι τὸ λέγειν ὅτι πρὸ χρόνων τόσων ἐδανείσατο, ὀφείλει ἀληθῶς δείκνυσθαι, καὶ οὐκ ἔχει ἰσχὺν εἰ μὴ δειχθῇ κατὰ τῶν προτέρων δανειστῶν. Ἐὰν ἄνηβος κληρονομήσῃ τινά, ὀφείλει τὰ κληρονομιαῖα χρέα καταβαλεῖν. Περὶ χρεῶν οἱ κληρονόμοι κατέχονται, οὐχ οἱ λεγατάριοι.

## ΠΕΡΙ ΠΑΙΔΩΝ ἽΝΑ ΤΡΕΦΩΣΙ ΤΟΥΣ ΓΟΝΕΙΣ.

Ὅτι πάντως οἱ ἀνιόντες καὶ κατιόντες ἀπορούμενοι, ἀλλήλους ἀναγκάζονται τρέφειν.

## ΠΕΡΙ ΠΑΙΔΩΝ ΚΑΙ ΓΟΝΕΩΝ.

Οἱ παῖδες, τρέφειν τοὺς ἰδίους γονεῖς ἀναγκάζονται ἀπορουμένους, ὥσπερ καὶ οὗτοι ἐκείνους, οὐ μὴν δὲ καὶ χρέος ὑπὲρ αὐτῶν ἀναγκάζονται διδόναι. Παράδοξον λέγει νόμιμον ἡ διάταξις, ὅτι οἱ παῖδες εἰ καὶ μὴ κληρονομήσωσι τὸν πατέρα, κατέχονται εἰς μόνον τὸ πριμίπιλον δημόσιον, ὅπερ ὁ πατὴρ ἐχρεώστησε, καὶ καλῶς ἔδοξεν ἀπὸ μόνου τοῦ πριμιπίλου κατέχονται. οὐδεμιᾷ γὰρ ἀνάγκῃ ἐνάγονται ἀπὸ τῶν πατρῴων δανειστῶν, οἱ τὸν πατέρα μὴ κληρονομήσαντες, εἰ μὴ μόνον ἀπὸ τοῦ πριμιπίλου.

ΠΕΡΙ ΓΥΝΑΙΚΩ͂Ν.

Ἐὰν γυνὴ ἐπὶ περιγραφῇ δανειστῶν χρεωστοῦσα τῷ ἀνδρὶ ποιήσῃ ἀποχὴν ὀνόματι προικὸς, ὅλον τὸ χρέος ἀπαιτεῖται ὁ ἀνὴρ, καὶ σβέννυται ἡ προὶξ· οὐδὲ γὰρ συνίσταται προὶξ ἐπὶ παραγραφῇ δανειστῶν.

ΠΕΡΙ ΤΑ΄ΞΕΩΣ ΚΑΙ ΚΕΦΑΛΑΙ΄ΟΥ ΚΑΙ ΤΟ΄ΚΟΥ.

Ἐὰν εἴπῃ ὁ δανειστὴς λογίζεσθαι εἰς κεφάλαιον καὶ τόκον τὰ καταβληθέντα, πρότερον εἰς τόκον λογίζεται, καὶ τότε τὸ περιττὸν εἰς κεφάλαιον· οὕτω γὰρ τῇ τάξει τῆς γραφῆς προσέχομεν. Οἱ ἐγγράφως ὁμολογήσαντες χρεωστεῖν, οὐκ εὐχερῶς ἀκούονται λέγοντες ἢ ὅλον τὸ χρέος, ἢ μέρος αὐτοῦ καταβεβληκέναι ἀγράφως ἐπὶ μαρτύρων. ἐὰν οὖν μὴ πέντε μάρτυρες ἀξιόπιστοι παρῶσιν ἐν τῇ ἀγράφῳ καταβολῇ, καὶ ἐνομότως καταθῶνται, ὡς παρόντων αὐτῶν κατεβλήθη τὸ χρέος, ἢ κατάθεσις καταβολῆς παρὰ τοῦ δανειστοῦ γέγονεν, οὐκ ἄλλως τίς ἐστιν εὐπρόσδεκτος, καταβολὴν ἄγραφον γεγονέναι λέγων

ΠΕΡΙ ΜΕΤΑΘΕ΄ΣΕΩΣ ΧΡΕ΄ΟΥΣ.

Ἐὰν μετάθεσις γίνηται τοῦ χρέους, ἀφανίζεται τελείως ἡ προτέρα ἐνοχή. Τότε γίνεται μετάθεσις χρέους, ὅτε ῥητῶς συμφωνήσει τις, ἀφίημι τὴν προτέραν τῆς ἐνοχῆς καὶ λαμβάνω σε· ἐὰν δὲ μὴ ἐμφέρηται ῥητῶς, τὸ ἀφίημι τὸν πρότερον χρεώστην· ἀλλ' ὅτι τυχὸν ἐπεὶ ἐκεῖνος ἀπῶν, καὶ εὔθετος ἡ ἐκείνου περιουσία, ὑπεισῆλθον ἐγὼ ἵνα ἀποδῶ σοι τὸ χρέος, τότε ἔχει τοὺς δύο ἐνόχους ὁ δανειστὴς, καὶ πρότερον μὲν εἰ εὐπορεῖ ὁ ἐπεμβαλόμενος ἑαυτὸν, ἐνέχεται· εἰ δὲ ἀπορεῖ, κρατεῖται ὁ πρωτότυπος, καὶ οὐκ ἔχει παραγραφήν. Ὁ ἀρνησάμενος χρεωστεῖν, οὐ κωλύεται καὶ ἑτέρᾳ δικαιολογίᾳ χρήσασθαι, εἰ μὴ ὁ νόμος ἐμποδίζει. ΣΧΟ΄Λ. Ἐκίνησέ τις κατά τινος λέγων, ὅτι χρεωστεῖται τυχὸν ρ̄ ν. ὁ δὲ ἐναγόμενος ἠρνήσατο καὶ εἶπε μὴ χρεωστεῖν, ἐξανάγκης τοῦ ἐναγομένου ἀρνησαμένου, ἀπη-

ἀπαιτήθη ὁ ἐναγόμενος ὅτι χρεωστεῖται δεῖξαι, καὶ δὴ καὶ ἀπέδειξεν ὅτι χρεωστεῖται· μετὰ τὰς τοῦ ἐνάγοντος ἀποδείξεις, οὐκ εὐθὺς ἀπαιτεῖται τὸ χρέος τὸ ἀποδειχθὲν ὁ ἐναγόμενος, ἀλλὰ δύναται καὶ ἑτέρᾳ δικαιολογίᾳ χρήσασθαι· καὶ εἰπεῖν, ὅτι κἂν ἀπεδείχθη τὸ χρέος, οὐκ ὀφείλω αὐτὸ δοῦναι, διότι ὅτε ἐδανεισάμην, ἀφῆλιξ ἤμην καὶ κακῶς τοῦτο ἐδαπάνησα, καὶ βοηθεῖ μοι ὁ νόμος λέγων. ὅτι ὁ δανείζων ἀφήλικι μέλλοντι κακῶς δαπανᾷν, ἀπόλλει τὸ χρέος, καὶ ἄλλην δὲ δικαιολογίαν δύναται λέγειν, ὅτι τριακονταετία παρῆλθε, κἂν ἀπέδειξας ὅτι χρεωστῶ, ἀλλ' ἐνίκησά σε καὶ ἠλευθερώθην τῷ χρόνῳ. καὶ πάλιν λέγει ὁ νόμος, ὅτι ἐὰν χρεωστῶ τινὶ δέκα ι΄, καὶ ἔχει ὅθεν δήποτε ἐκεῖνος ἐμὲ ι΄ ι΄, ἀντιλογίζομαι ταῦτα σιωπηρῶς. εἰ γοῦν κινήσει τις κατά τινος, οὗ τινος ἔχει ι΄, καὶ μετὰ τὰς ἀποδείξεις τοῦ ἐνάγοντος, ἀρνησαμένου τοῦ ἐναγομένου, δύναται λέγειν ὁ ἐναγόμενος, ὅτι κἂν ἀπέδειξας ὅτι χρεωστῶ, οὐδέν σοι δώσω, ἔχεις γὰρ ἐμὰ ι΄, καὶ ἐκεῖθεν ἀντιλόγισαι, καὶ ἐν πᾶσι τούτοις, εἴ τις εἴποι καὶ ὤφειλεν ὁ ἐναγόμενος ἐν ἀρχῇ εἰπεῖν ὅτι χρεωστῶ μὲν, τουτέστιν ἔλαβον τὸ χρέος, ἀλλ' ἔχω ἀποκατάστασιν, ἢ ὅτι τῷ χρόνῳ ἠλευθερώθην, ἢ τὰ ἄλλα. ἐπεὶ δὲ ἠρνήσατο νῦν ταῦτα λέγειν οὐ δύναται. ἀκούσει ὅτι καλῶς λέγει ὅτι οὐ χρεωστῶ, ὁ λαβὼν μὲν, ἔχων δὲ ἀποκατάστασιν διὰ τὴν ἡλικίαν, ἢ τῷ χρόνῳ ἐλευθερωθεὶς, ἢ ἀντίλογον ἔχων, ὅστις ἀντίλογος σιωπηρῶς αὐτῷ τῷ νόμῳ τέμνει τὸ χρέος καὶ ἐλευθεροῖ τὸν χρεωστοῦντα. δύναται οὖν ὁ εἰπὼν μὴ χρεωστεῖν, χρήσασθαι καὶ ἑτέραις τοιαύταις δικαιολογίαις τουτέστι καλῶς εἰσαγομέναις, καὶ χρηματιζομέναις. εἰ δὲ προδήλως ὁ νόμος ἐμποδίζει τὴν δικαιολογίαν εἰσάγεσθαι, οὐ δύναται λέγεσθαι, δι' ὃ λέγω. λέγει ὁ νόμος, ὅτι ἐὰν ἐναχθῇ τις ὡς χρεωστῶν, καὶ εἴπῃ μὴ χρεωστεῖν, οὐ δύναται μετὰ τὰς τοῦ ἐνάγοντος ἀποδείξεις λέγειν, ὅτι κατέβαλον τὸ χρέος· πῶς

γὰρ προσδεχθήσεται λέγων καταβαλεῖν, ὁ εἰπὼν μηδόλως χρεωστεῖν. Ὁ δικαίαν ἔχων παραγραφὴν, οὐκ ἔστι χρεώστης.

ΠΕΡΙ᾽ ΕΚΚΛΗΣΙ´ΑΣ.

Ἐὰν ἰδιώτῃ χρεωστῆται παρά τινος ἐκκλησίας, ἀναγκάζεται λαβεῖν, καὶ ἀντὶ τοῦ χρέους, ἀκίνητα πράγματα. Ὁ πατρίκιος ἔλεγε, τότε χρὴ δίδοναι τῷ χρεώστῃ τὸ προθέμενον πρὸς τὸ καταβαλεῖν τὸ χρέος, ὅτε οὐκ εὔπορος τοῖς κτήμασι καὶ τοῖς πράγμασιν· ἵνα ταῦτα ἐπ᾽ ἀδείας δὴ μὴ κατεπειγόμενος πωλήσῃ, ἢ καὶ τυχὸν ἐνεχυριάσας εὐπορήσῃ τὸ χρυσίον· ὅτε δὲ ὁ χρεώστης τῶν ἀπόρων ἐστὶν, οὐ χρὴ δίδοσθαι τὴν προθεσμίαν· οὐδεμία γὰρ γίνεται, οὔτε τῷ χρεώστῃ, οὔτε τῷ ὀφειλέτῃ ὠφέλεια, εἰ μὴ καὶ μᾶλλον βλάβη, καὶ δαπανῶντος ἀπαιτουμένῳ ἅπερ νῦν ἔχει, μικρὰν οὖν ἔλεγε χρὴ δίδοσθαι τὴν προθεσμίαν, καὶ τέμνεσθαι τὴν δίκην, ἵνα μὴ καὶ πάλιν φιλονεικίαι ἐπ᾽ ἀνονήτοις γίνοιντο, δὴ ἡ τῆς δίκης ὑπόθεσις, ἐπὶ πλέον ἐκτείνοιτο.

ΠΕΡΙ᾽ ΤΩ͂Ν ΔΗΜΟΣΙ´ΩΝ ΘΗΣΑΥΡΩ͂Ν

Μηδεὶς ἐκ τῶν δημοσίων θησαυρῶν δανειζέσθω. εἰ δέ τις ἐκ τοῦ θείου ταμείου λαθραίως, ἢ φανερῶς, ἢ ἐγγράφως, ἢ ἀγράφως, ἢ μετ᾽ ἐγγυητῶν δανείσηται χωρὶς βασιλικῆς κελεύσεως, δημευέσθω καὶ περιορίζέσθω. καὶ ὁ δανείσας δὲ ἐκ τῶν θείων θησαυρῶν, κεφαλικῶς τιμωρείσθω. Ἡ περὶ τοῦ δανείου ἀγωγὴ, εἰ μὴ προσωπικῶς χρηματισθῇ τὴν ἀρχὴν, τῇ παραγραφῇ τῶν λ ἐνιαυτῶν σβέννυται· ἡ δὲ ὑποθηκαρία εἰς τεσσαράκοντα ἐκτείνεται.

ΠΕΡΙ᾽ ΚΤΗΜΑ´ΤΩΝ Α᾽ΝΤΙ᾽ ΧΡΥΣΙ´ΟΥ τῷ δανειστῇ διδομένων.

Εἴ τις δώσειε χρυσίον, τῇ τοῦ δανεισαμένου περιουσίᾳ πιστεύων· ὁ δὲ, εἰς ἔκτισιν χρυσίου μὲν οὐκ εὐποροίη, περιουσίαν δὲ ἀκίνητον ἔχει, ὁ δανειστὴς δὲ ἐπιζητεῖ καὶ χρυσίον πάντως ἐπι-

ζητεῖ

ζητεῖ· τὸ δὲ, οὐκ ἦν πρόχειρον· εἰ δέ τις κινητὴ περιουσία, δίδομεν τῷ δανειστῇ βουλομένῳ, καὶ ἀκίνητα πράγματα λαβεῖν ἀντὶ χρυσίου· ἄλλου δέ τινος ὠνουμένου τὰ αὐτοῦ ἀκίνητα πράγματα, παρόντος τοῦ δανειστοῦ πολλάκις, καὶ θρυλλοῦντος ὡς ὑπόκειται τὰ τοῦ δανεισαμένου πράγματα, καὶ ταύτῃ φοβοῦντος τοὺς προσιέναι βουλομένους ταῖς ἀγορασίαις. τηνικαῦτα ἐνθάδε μὲν τῆς εὐδαίμονος ταύτης πόλεως οἱ ἐνδοξότατοι τῆς ἡμετέρας πολιτείας ἄρχοντες κατὰ τὴν ἑκάστῳ πεταγμένην ὑπὸ τῶν νόμων καὶ ἡμῶν δικαιοδοσίαν· ἐν δὲ ταῖς ἐπαρχίαις, οἱ τῶν θεμάτων ἡγούμενοι παρασκευαζέτωσαν, ἀκριβοῦς διατιμήσεως γινομένης τῶν πραγμάτων τῶν χρεωστούντων, δίδοσθαι πρὸς ἀναλογίαν τοῦ χρέους, κτῆσιν ἀκίνητον τοῖς δανεισταῖς, μετὰ τοιαύτης ἀσφαλείας, μεθ' ἧς ἂν ὁ χρεώστης δύναιτο δυνηθείη· τῶν μέν τοι διδομένων ἀκινήτων, ἡ ἐπιλογὴ τῷ δανειστῇ ἔσται. καὶ γὰρ οὐκ ἂν εἴη δίκαιον, τὸν δόντα μὲν χρυσίον· λαβεῖν δὲ μὴ δυνάμενον, ἀλλὰ ἀναγκαζόμενον δέξασθαι κτῆσιν ἀκίνητον, μὴ καὶ τὴν καλλίονα τῶν τοῦ χρεώστου πραγμάτων, καὶ ἣν ἐκεῖνος αἱρεῖται λαβεῖν, καὶ ταύτην γοῦν ἔχειν παραψυχὴν, ὅτι περ εἰ χρυσίον οὐκ ἔλαβεν, ἀλλ' ὃ ἀντ' ἐκείνου δι' αἱρεθὲν αὐτῷ κατεκτήσατο. Ὁ δεσπότης προσποιούμενος τὴν οἰκέτην αὐτοῦ πραγματείας τινὸς, τότε κατέχεται δανειζομένου αὐτοῦ, ὅτε ἐπέτρεψεν αὐτῷ καὶ δανείζεσθαι· εἰ δὲ μὴ δείκνυται ἐπιτρέψας, τότε ζητοῦμεν περὶ τοῦ πεκουλίου τοῦ δούλου, καὶ πληρουμένου κατὰ πρῶτον λόγον τοῦ δεσπότου, πληροῦται κατὰ δεύτερον λόγον καὶ ὁ δανειστής.

## ΠΕΡῚ ἘΓΓΥΗΤΩ͂Ν ΚΑῚ ἈΝΤΙΦΩΝΗΤΩ͂Ν. τίτλ. ϛ.

Εἴ τις δανείσειε, καὶ ἐγγυητὴν, ἢ μανδάτωρα, ἢ ἀντιφωνητὴν προσλάβοι, οὗτος μὴ τὴν πρώτην εὐθὺς κατὰ τοῦ μανδάτωρος, ἢ τοῦ ἐγγυητοῦ, ἢ ἀντιφωνητοῦ, χωρείτω· μὴ γὰρ ἀμε-

λήσας

λήσας τοῦ δανεισαμένου, τὰς παρενθήκας διενοχλείτω· ἀλλὰ χωρείτω πρότερον ἐπὶ τὸν τὸ χρυσίον εἰληφότα, καὶ τὸ δάνεισμα πράξαντα, καὶ εἰ μὲν ἐκεῖθεν ἀπολάβοι, τῶν ἄλλων ἀπεχέσθω· εἰ δὲ οὐκ ἰσχύει παρὰ τοῦ δανεισαμένου λαβεῖν, ἢ εἰς μέρος, ἢ εἰς ὁλόκληρον, καθόσον ἂν παρ' αὐτοῦ μὴ δυνηθῇ λαβεῖν, κατὰ τοσοῦτον ἐπὶ τὸν ἐγγυητήν, ἢ τὸν ἀντιφωνητήν, ἢ μανδάτωρα χωρείτω, καὶ παρ' ἐκείνου τὸ λειπόμενον κομιζέσθω. καὶ εἰ μὲν παρόντες αὐτοὶ τύχοιεν καὶ ἀμφότεροι, ὅ τε πρωτότυπος, ὅ τε ἐγγυησάμενος, ἢ μανδατωρεύσας, ἢ ἀντιφωνήσας, τὰ προειρημένα ἐκ παντὸς φυλαττέσθω τρόπου. εἰ δὲ ὁ ἐγγυητὴς ἢ ὁ μανδάτωρ, ἢ ἀντιφωνητὴς παρείη· τὸν δὲ πρωτότυπον ἀπεῖναι συμβαίη, δεικνύτω ὁ δανειστής, τὸν ἐγγυητὴν ἢ μανδάτωρα. καὶ ὅ γε τῷ πράγματι καθήμενος δικαστής, διδότω καιρὸν τῷ ἐγγυητῇ ταυτὸ δ' εἰπεῖν ἀντιφωνητῇ καὶ μανδάτωρι, βουλόμενος τὸν πρωτότυπον ἀγαγεῖν, ἐφ' ᾧ τε ἐκεῖνον πρότερον ὑπομεῖναι τὴν ἐναγωγήν, οὕτω τε αὐτοὺς ἐγκαταλοίπω πεφυλάχθαι βοήθειαν, καὶ ἀμυνέτω γε τῷ ἐγγυητῇ, καὶ ἀντιφωνητῇ, καὶ μανδάτωρι, εἰς τὴν τοῦ ἐγγυηθέντος παράστασιν· ὥς τε αὐτὸν ἀχθέντα, τῆς ἐντωπέως ἐναγωγῆς ἀπαλλάξαι, τοὺς ὑπὲρ αὐτοῦ διενοχλουμένους. εἰ δὲ ὁ χρόνος ὁ ἐπὶ τούτῳ ταχθεὶς ἐξήκει, τηνικαῦτα ὁ ἐγγυητής, ἢ μανδάτωρ, ἢ ἀντιφωνητής, ἀγωνιζέσθω τὴν δίκην, καὶ τὸ χρέος ἐκτιννύτω ὑπὲρ τοῦ ἐγγυηθέντος, ὑπὲρ οὗ τὰς ἐντολὰς ἔγραψεν, ἢ τὴν ἀντιφώνησιν ὑπεισῆλθε, παρὰ τοῦ δανείζοντος ἐκχωρούμενος ἀγωγάς, οὐ μὴν οὐδὲ ἐπὶ τὰ πράγματα τοῦ δανεισαμένου. εἰ παρ' ἑτέρου κατέχοιτο χωρήσει πρότερον, πρὶν ἂν διέλθοι τὴν ἐπὶ ταῖς προσωπικαῖς ἀγωγαῖς ὁδόν, κατά τε μανδατώρων καὶ ἐγγυητῶν, καὶ ἀντιφωνητῶν, οὕτω τε ἐπὶ τὰ πράγματα ἐλθεῖν τοῦ πρωτοτύπου, εἴτε παρ' ἑτέρου κατέχοιτο καὶ τοὺς ἐπειλημμένους αὐτῶν ἐνοχλήσας· εἰ μὴ ἐκεῖθεν σχοίη τὸ ἱκανόν, τηνικαῦτα χωρείτω κα-

τὰ τῶν πραγμάτων τῶν ἐγγυητῶν καὶ μανδατώρων καὶ ἀντιφωνητῶν. τοῦτο δὲ δεῖν εἰπεῖν εἴ τινας ἐγγύας ἔχοιεν, ἅπασί τε αὐτοῖς φημὶ καὶ τοῖς ὑποθηκαίοις, καὶ ταῖς ὑποθηκαρίαις ἀγωγαῖς ἐνέχεσθαι δυναμένοις, κατὰ μέν τοι τῶν πρωτοτύπων, καὶ τῶν ὄντων παρ' αὐτοῖς πραγμάτων, εἴτε ταῖς προσωπικαῖς, εἴτε ὑποθηκαρίαις εὐθὺς, εἴτε ἀμφοτέραις χρήσασθαι βούλοιντο, πᾶσαν αὐτοῖς δίδομεν ἄδειαν τὴν ἔμπροσθεν εἰρημένην ὁδὸν καὶ τάξιν ἐπὶ τῶν ἄλλων προσώπων τε καὶ πραγμάτων νομοθετήσαντες, καὶ οὐ τοῦτο δὲ μόνον ἐπὶ δανειστῶν φαμὲν, ἀλλὰ καὶ εἴ τις ὠνήσατό τι παρά τινος. Ὁ χρέος ἄλλου ἀναδεξάμενος, ἐὰν ὁμολογήσῃ, καὶ ἀντιφωνήσῃ τὸ χρέος, καλῶς ἀπαιτεῖται. Ὁ ὑπὲρ ἄλλου ἐπερωτηθεὶς, ὀφείλει τὸ ἱκανὸν ποιῆσαι, κἂν αὐτὸς μὴ ἔλαβεν. Θεμάτισον οὖν μέλλειν τὶς παρά τινος δανείσασθαι, παρεστήσατο δὲ ὁ δανειστὴς ἕτερόν τινα ἐγγυώμενον καὶ ὑποβάλλοντα ἑαυτὸν τῇ καταβολῇ τοῦ χρέους· εἴγε μὴ καταβάλοι ὁ πρωτότυπος αὐτό. ὁ τοιοῦτος ἐγγυητὴς οὗτος, ἔνοχος οὕτω τῇ ἀποδόσει τοῦ χρέους γέγονε, καὶ πρὸ τοῦ γενέσθαι ἔνοχον τὸν ἐγγυηθέντα. Ἐὰν ὑπὲρ ἀλλοτρίου χρέους ἑαυτὸν καταβαλεῖν ἀντιφωνήσας, ἡ ἐπὶ τῇ ἀντιφωνήσει σου ἀγωγὴ, οὐ μόνον κατὰ σοῦ ἀλλὰ καὶ κατὰ τῶν κληρονόμων τῶν σῶν ἀδιακρίτως ἁρμόζει. ΠΕΡῚ ἘΓΓΥΉΣ γυναικὸς.

Ἐγγύας γυνὴ οὐ δίδωσι πρός τινα, ἀλλ' οὐδὲ ἐὰν δώσῃ ἐνέχεται. τό τε δὲ μόνον ἐνέχεται εἰς ἐγγύην ἡ γυνὴ, ὅταν λάβῃ τι δι' αὐτὸ τοῦτο τὸ ἐγγυήσασθαι. ἡ γὰρ ὑπὲρ τῆς ἐγγύης δωρεά, ποιεῖ αὐτὴν ὑποκεῖσθαι τῇ ἐνοχῇ. ἐνέχεται δὲ καὶ τότε, ὅτε εἴποι ῥητῶς, ὅτι ἀποβάλλεται τὸ ἴδιον δίκαιον, καὶ τὸν νόμον ὅς τις βοηθεῖ αὐτῇ εἰς τὸ μὴ ἐνέχεσθαι εἰς ἐγγύην. ὁ δὲ τοιοῦτος νόμος ἀπὸ τοῦ εὑρόντος αὐτὸν, Βελλιανεῖος ὀνομάζεται. Γυνὴ ἐγγυωμένη βοηθεῖται, καταβάλλουσα δὲ ὑπέρ τινος, οὐκ ἀναλαμβάνει. Ὅτι οὐδὲ κληρικὸς ἐγγύας δίδωσιν, ὡς ὁ κ' τῶν ἁ-

γίων

γίων ἀποστόλων κανών φησι· διδοὺς γὰρ καθαιρεῖται. Ἐὰν μέλλουσα γυνὴ ἀντιφωνεῖν καταβάλῃ, ἢ δώσῃ ἀντ᾽ αὐτοῦ ἕτερον χρεώστην, χώραν οὐκ ἔχει τὸ δόγμα, αἱ γὰρ ἔνοχοι γενόμεναι, βοηθοῦνται· οὐ μὴν αἱ τὰ ἴδια μειώσασθαι. Γυνὴ καταβαλοῦσα ὑπὲρ τινος, οὐκ ἀντιφωνεῖ. Καὶ ἀλληλεγγύως δανειζομένη μετά τινος γυνή, βοηθεῖται. Αἱ γυναῖκες ἀντιφωνοῦσαι ἐνέχονται, ἐν ᾧ μὴ ἰντερκεδεύουσιν, ἤγουν ἰδίῳ ὀνόματι, ἢ κέρδει ἀντιφωνοῦσαι, ἐνέχονται· ὑπὲρ ἀλλοτρίου δὲ ἀντιφωνοῦσαι βοηθοῦνται. Αἱ ἀπατώμεναι, οὐ μὴν αἱ ἀπατῶσαι βοηθοῦνται ἐν ἑκάστῃ ἐνοχῇ, καὶ ὅτι ἄλλον ἐκδικοῦσιν· οὐ γὰρ ἐπιτέτραπται γυνὴ ἐκδικεῖν, οὔτε τὸν ἴδιον ἄνδρα, οὔτε τὸν υἱόν, οὔτε τὸν πατέρα· εἰ δὲ ἐκδικεῖ ἐκεῖνον ὅς τις καταδικαζόμενος δύναται χωρεῖν κατ᾽ αὐτοῦ, οὐ δοκεῖ ἀντιφωνεῖν. Ἡ διάταξις βούλεται τὴν γυναῖκα λαβοῦσαν τινὰ καὶ ἀντιφωνήσασαν, μηκέτι βοηθεῖσθαι ἀπὸ τοῦ δόγματος, εἴτε ἐγγράφως, εἴτε ἀγράφως ἀντεφώνησεν. Ἐὰν ἀπατῶσα γυνή, ἢ γινώσκουσα μὴ ἐνέχεσθαι ἀντιφωνήσῃ, οὐ βοηθεῖται καὶ ὁ κατὰ μανδάτωρος τῆς γυναικὸς ἀντιφωνήσας, βοηθεῖται. Ἐὰν γυνὴ παρὰ τὸν νόμον ἀφήλικι ἐγγυήσηται, εἰ μὲν εὔπορος ἐστὶν ὁ χρεώστης, οὐκ ἐνάγεται ἡ γυνή· εἰ δὲ ἄπορος, ἐνάγεται. Ἡ γυνὴ κἂν πολλάκις μετ᾽ οἷον δήποτε χρόνον ἐπερωτηθῇ ὑπὲρ τοῦ ἀνδρὸς αὐτοῦ, ὡς ἀντιφωνοῦσα βοηθεῖται. Ἐὰν ἀντιφωνήσασα γυνὴ μετὰ δύο ἔτη τῆς ἀντιφωνήσεως, εἰς δεύτερον ἐπερωτηθῇ, ἤγουν ἐγγυητὴν παράσχοι, οὐ βοηθεῖται. Περὶ ξένου καὶ ἑτέρου φησί, καὶ οὐ περὶ τοῦ ἰδίου ἀνδρός. Οὐ μόνον ἡ γυνὴ ἀντιφωνοῦσα βοηθεῖται, ἀλλὰ καὶ ὁ ταύτην ἐγγυησάμενος κἂν ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς ἀντιφωνήσῃ γυνή, βοηθεῖται. Ὁ ὑπεξούσιος, καλῶς ὑπὲρ πατρὸς ἐγγυᾶται, καὶ γινόμενος γὰρ αὐτεξούσιος, εἰς ὅσον ἐποίησεν ὑπεξούσιος, ἐνέχεται· ἢ ὑπεξούσιος ὢν καταδικάζεται. Ἐὰν ἐγγυησώμεθα ἐγὼ καὶ γυνὴ εἰς ὁλόκληρον, ἐγὼ μόνος ἐνέ-

χομαι. εἰ δὲ μετὰ ἀφήλικος ἐγγυήσομαι καὶ ἀποκατασταθῇ, τότε εἰς ὁλόκληρον ἐνέχομαι, ὅτι πρῶτος ἐνεγγυησάμην· εἰ μὴ κατὰ δόλον τοῦ δανειστοῦ προσελήφθη. Ἐκ πολλῶν ἐγγυητῶν, ἐὰν ὁ εἷς ὑπὲρ τὸ ἀναλογοῦν αὐτῷ μέρος καταβάλῃ, οὐκ ἀναλαμβάνει· οὐ γάρ ἐστι μὴ χρεωστούμενον. Ἐὰν ἐγγυήσηταί τις τοῦ παραστῆσαι αὐτὸν τῷδε τῷ χρόνῳ τόνδε, ἐπειδή γε δίδωσι πρόσιμον, φαμὲν ὅτι κἂν μὴ παραστήσῃ αὐτὸν τῶν ἓξ μηνῶν, δίδοται αὐτῷ ἕτερος τοσοῦτος χρόνος· εἰ δὲ πλείων εἴη ὁ ἐξ ἀρχῆς, ἑξάμηνος μόνον εἰς ὑπέρθεσιν αὐτῷ δίδοται.

Ἐπὶ τόκοις ἐγγυητὴς οὐκ ἐνέχεται, εἰ μὴ τοιόνδε τι συμφωνηθῇ. Οἱ ἐγγυώμενοι ἀφήλικα, ἀφισταμένου αὐτοῦ τοῦ ἀφήλικος καὶ μὴ ποιοῦντος εἰς ὃ αὐτὸν ἐγγυήσαντο, βοηθοῦνται. Ἡ ἀπρόθεσμος ἀντιφώνησις, δέκα ἡμερῶν ἔχει προθεσμίαν. Ὁ ἐπὶ ταβουλαρίου ὡς ἐν καταθέσει τινὰ ἐγγυώμενος ἐπὶ ἰδιωτικῇ αἰτίᾳ, εἰς δύο μόνων μηνῶν κατέχεται· εἰ μὴ ἄρα ῥητῶς ἐνεγγυήσατο εἰς πλείονα χρόνον. εἰ δὲ ἐπὶ δημοσίᾳ αἰτίᾳ ἐνεγγυήσατο, δοκεῖ ἐγγράφως ἐγγυᾶσθαι, σημείωσαι οὖν ὅτι ἀγράφως ἐγγυώμενος, εἰς δύο μηνῶν κατέχεται κατὰ πρόληψιν. Ἐὰν νομίσματα δανείσω, οὐ δύναμαι λαβεῖν ἐγγυητὴν, ἐφ' ᾧ δοῦναί μοι ὑπὲρ αὐτῶν σῖτον· εἰ μὴ γὰρ εἰς αὐτὸ τὸ δανεισθῇ, οὐ προσλαμβάνεται ἐγγυητής. τὰ μὲν γὰρ φορτία, καλῶς εἰς τι ἀντιμῶνται· τὰ δὲ νομίσματα, οὐκ ἀντιμῶνται εἰς φορτία.

## ΠΕΡΙ ΤΟΚΟΥ, τίτλ. ζ.

Τόκος ἀνεπερώτητος, οὐκ ἀντιστρέφεται. Ὅτι κἂν ἄγραφος ἐπερώτησις ἐπὶ τόκον γένηται, ἔρρωται. Ὅταν περὶ κέρδους ἀγωνίζωνταί τινες, προτιμᾶται ὁ περὶ τὸ κέρδος τῷ χρόνῳ προτερεύων. Ὅταν φησί τινες δύο ἀγωνίζονται λαβεῖν κέρδος, προτιμᾶται ὁ πρώτως χρεωστηθεὶς τὸ ἴσον τὸν χρέος. δι' ὃ λέγω, ἐδάνεισα ἐγὼ Πέτρῳ ῑ ῑ, συμφωνήσας λαμ-

λαμβάνειν τόκον, τυχὸν καθ' ἕκαστον μνᾶν ῑι ἕν, μετὰ ἐνιαυτὸν ἕνα ἢ δύο, τοῦ αὐτοῦ ἐδάνεισας σὺ, ἕτερα ῑιῑ. καὶ συνεφώνησας λαμβάνειν τόκον, καθ' ἕκαστον μνᾶν ῑι ἕν· παρῆλθε δὲ καιρὸς ἱκανὸς, καὶ τὸ μὲν κεφάλαιον ἐλάβομεν καὶ οἱ δύο, ἐχρεωστούμεθα δὲ καὶ ἄμφω τοὺς τόκους, οἵτινες εἰσὶ κέρδος, καὶ εὑρόντες τινὰ περιουσίαν τοῦ χρεώστου. θέλει γὰρ ἀπαρτίσαι αὐτὸν, ἢ ἀγωνιζόμεθα ποῖος ἐξ ἡμῶν τὴν εὑρεθεῖσαν ὀλίγην περιουσίαν, εἰς τοὺς χρεωστουμένους αὐτοῦ τόκους λήψεται. ὑποθέτου δὲ μὴ ἐξαρκεῖν ἴσως τῆς ὀλίγης περιουσίαν ἐκείνην, πρὸς ὁλοκλήρους τούς τε ἐμοὺς καὶ τοὺς σοὺς τόκους· καὶ λέγει ὁ νόμος ὅτι ἐκεῖνος λήψεται τὰ εὑρεθέντα, ὁ πρώτως δανείσας, καὶ πρότερον τῷ χρόνῳ τοὺς τόκους, ἤτοι ὅς τις πρῶτος τοὺς τόκους ἐπηρώτησε καὶ χρεωστεῖται. Τόκου τόκος οὐκ ἀπαιτεῖται, ἀλλ' οὐδὲ τόκος ἀνεπερώτητος· τουτέστιν ὅταν οὐκ ἐν τῇ ἀρχῇ τῆς ὑποθέσεως μὴ γέγονεν ἐπερώτησις, ἤγουν συμφωνία. Τῶν τόκων τὸ κεφάλαιον διπλασιαζόντων, ὁ τόκος παύεται. Πολλή ἐστι διαφορὰ ἐπερωτήσεως τόκων καὶ συμφωνίας· εἰ μὲν γὰρ περιέχεται τὸ ὁμολογῶ, ὁμολογεῖς παρέχειν μοι καὶ τοὺς τόκους, τοῦτο ἰσχυρόν ἐστι πρὸς ἀπαίτησιν. εἰ δὲ οὕτως ἁπλῶς γέγραπται, ἐδανεισάμην ἀπὸ σοῦ τόδε, καὶ συνεφώνησα δοῦναί σοι καὶ τοὺς τόκους, τοῦτο οὐ πάνυ ἰσχυρόν ἐστι πρὸς ἀπαίτησιν τῶν τόκων.

Τὸ χωρὶς δήλης ποσότητος ἐπερωτῆσαι τοὺς ἁρμόζοντας τόκους, οὐδέν ἐστιν. Ὁ διὰ φιλοτιμίαν ἐπὶ πλείω χρόνον μὴ ἀπαιτήσας τόκους, οὐ καλῶς ἀπαιτεῖ τοὺς προλαβόντας. ῥωμαϊκὸν

Ἐὰν τις χρεωστῶν κεφάλαιον, τόκους μὴ κεχρεωστημένους καταβάλῃ, οὐκ ἀναλαμβάνει· ὁ δὲ τόκους ὑπὲρ τὸ νόμιμον καταβαλὼν, οὐκ ἀναλαμβάνει μὲν, καταλογίζεται δὲ αὐτοὺς εἰς τὸ κεφάλαιον. εἰ δὲ καὶ τὸ κεφάλαιον κατέβαλεν, ὡς τὸ κεφάλαιον μὴ χρεωστῶν, εἰ κατέβαλεν ἀναλαμβάνει· εἴτε πρὸ τοῦ κεφαλαίου τοὺς τόκους κατέβαλεν· εἴτε μετὰ ταῦτα· εἴτε

ἀνὰ ἑκατὸν. Ὁ δὲ ὀρφανικὸς τόκος, ἀπὸ τρίτης ἑκατοστῆς ἐστὶν, ἤγουν νομίσματα δ'. Ὁ μὴ κεχρεωστημένος τόκος, εἰ μὲν πρὸ τοῦ κεφαλαίου καταβληθῇ, εἰς κεφάλαιον καταλογίζεται· εἰ δὲ μετὰ τὸ κεφάλαιον καταβληθῇ· ἐπειδὴ οὐκ ἔχει λοιπὸν εἰς τί καταβληθῆναι, ἀναλαμβάνεται. Εἴ τε τόκον τις ὑπὲρ μέτρον, εἴτε τόκων τόκους ἐπερωτήσει, τὸ παράνομον ἀφαιρεῖται, καὶ τὸ λοιπὸν ἀπαιτεῖται. Οἱ ἀπὸ συμφώνου τόκοι καταβληθέντες, οὐ δύνανται ἀναλαμβάνεσθαι, οὐ δὲ εἰς κεφάλαιον λογίζονται· μὴ καταβληθέντες δὲ, οὐκ ἀπαιτοῦνται. Ὁ δανειστὴς ὀφείλει δεικνύειν καὶ τὸ χρέος, καὶ τὴν τῶν τόκων ἐπερώτησιν· τὸ γὰρ ἤδη τινὰ χρόνον ἀπὸ συναινέσεως τόκους λαβεῖν, οὐ ποιεῖ πρόκριμα τῷ χρεώστῃ. Ἐὰν χρεωστῶμαι παρά τινος ἄνευ τόκου, εἶτα μὴ ἀπολαμβάνων τὸ χρέος, κινήσω εἰς δικαστήριον, καὶ ἐνεχθῇ ὁ χρεώστης, ἀπὸ τοῦ καιροῦ ἐκείνου γίνεται τὸ χρέος ἔντοκον, καὶ ἀπαιτεῖται ὁ τόκος. Μετὰ τὴν τετράμηνον τῆς καταδίκης, εἴτε δημόσιον ἐστὶν, εἴτε ἰδιωτικὸν χρέος, ἑκατοστιαῖος τόκος δίδοται.

## ΤΙ' ΕΣΤΙΝ ἙΚΑΤΟΣΤΙΑ'ΙΟΣ ΤΟ'ΚΟΣ.

Ἑκατοστιαῖος τόκος ἐστὶν, τὸ ἐπὶ τοῖς ἑκατὸν νομίσμασι, ιβ' ῖι ὑπὲρ ὅλου δίδοσθαι ἐνιαυτοῦ, ἀλλὰ τὸ ἤδη τοῖς ἑκατὸν, καθ' ἕκαστον μῆνα δίδοσθαι ῖι ἕν. ὅπερ πρὸς ὅλα ταῦτα, τὰ ἑκατὸν διαιρούμενον, ἑκατοστὸν πάντως ἐστίν· εἰκότως οὖν καὶ ὁ τοιοῦτος τόκος, ἑκατοστιαῖος προσαγορεύεται. Κατὰ ταῦτα δὲ νοητέον, καὶ τὸ ἄχρι τετάρτης ἑκατοστῆς, καὶ τὸ ἄχρι τρίτης, καὶ ἄχρις ἡμισείας καὶ ἄχρι διμοίρου. ΣΧΟ'Λ. Τὸ μὲν ἄχρι τρίτης ἑκατοστῆς, τὸ ἐφ' ἑκάστῃ λίτρᾳ ῖι δ' δηλοῖ· τὸ δὲ ἄχρις ἡμισείας ἑκατοστῆς, τὸ ἐφ' ἑκάστῃ λίτρᾳ ὑπὲρ ς'. Κατὰ ταῦτα δὲ καὶ τὸ ἀπὸ δ' ἑκατοστῆς, τὸ ἐφ' ἑκάστῃ λίτρᾳ δηλοῖ ῖι γ'. Ἃ μέντοι ἑκατοστιαῖος τόκος ιβ' ῖι εἰσὶν εἰς τὴν λίτραν· ὅπως δὲ καλοῦνται οἱ τόκοι ἑκατοστιαῖοι, τῆς λίτρας μὴ ποσουμένης εἰς

τι ε΄, δηλ. εἰς ιβ΄ ἐντεῦθεν μαθήσῃ. σημαίνει γὰρ ἡ ἑκατοστὴ, τὴν εἰς ιβ΄ τινὰ περισταμένην ποσότητα· ἑκατοστὴ δὲ, τὰ ιβ΄ λέγεται. διότι ἐν τοῖς ἀνέκαθεν χρόνοις, ἐπὶ τοῖς ἑκατὸν πράγμασι, ιβ΄ πρὸς τὸ κοινὸν ὑπὲρ αὐτῶν οἱ ἔχοντες κατεβάλλοντο. καὶ ταῦτα μὲν ἐν τοῖς παλαιοῖς οὕτως εὕρηται· ἡμεῖς δὲ καθάπερ νῦν ὁρῶμεν γινόμενον, οὕτω δήπου καὶ λέγομεν. Ὁ διαπόντια χρήματα καὶ καρποὺς δανείζων, πλεῖον ἑκατοστῆς λαβεῖν δύναται. Ὁ μὴ κινδυνεύων δανειστὴς ὑπὲρ τοῦ πλοϊσμοῦ τῆς θαλάσσης, μείζονα τόκον οὐ λαμβάνει. Οἱ ἀναισχύντως τοκίζοντες, καὶ τόκους τόκων ἀπαιτοῦντες, ἀτιμοῦνται.

## ΠΕΡΙ ΚΑΡΠΩΝ.

Καρπῶν δανειζομένων, δύναται καὶ ὁ ἀπὸ συμφώνου τόκος ἀπαιτεῖσθαι. Ἐπὶ καρπῶν δανειζομένων, ἔξεστι καὶ πλείονα τόκον ἐπερωτᾷν, διὰ τὸ ἄδηλον τῶν καρπῶν.

Ὅταν περὶ κέρδους ἀγωνίζωνταί τινες, προτιμᾶται ὁ περὶ τὸ κέρδος τῷ χρόνῳ προτερεύων. Ἡ διάταξις ὁρίζει καὶ ποσότητα ῥητὴν τοῖς τόκοις, ἵνα οἱ μὲν ἀπὸ ἰλλουστρίων καὶ ἀνωτέρω, ἄχρι τρίτης ἑκατοστῆς μόνον δανείζωσιν. ἀργυροπρᾶται δὲ καὶ ἔμποροι, ἄχρι διμοίρου ἑκατοστῆς. οἱ δὲ λοιποὶ πάντες, ἄχρι ἡμίσεως ἑκατοστῆς. εἰ δὲ πρὸς οἶκον εὐαγῆ δάνειον εἴη, τότε πάντες οἱ εἰρημένοι, μόνον τὸν ἀπὸ τετάρτης ἑκατοστῆς τόκον λαμβανέτωσαν. ἐπὶ δὲ τῶν ναυτικῶν δανείων, καὶ τῶν ἐπὶ τῶν δανειζομένων εἰδῶν ἐφ' ὧν τὸ παλαιὸν ἐξῆν πλείονα τόκον λαμβάνειν, μόνον μὲν τὴν ἕως ἑκατοστῆς ἢ μὴ περαιτέρω· μὴ βουλομένη μὴ δὲ διὰ παρακατάσχεσιν ἐνεχύρων, μείζονα τόκον λαμβάνεσθαι. μήτε τοὺς δικαστὰς ποτὲ καταδικάζειν εἰς πλείονα τόκον, προφάσει τῆς τῶν τόπων βοηθείας. εἰ δέ τις πλείονα τόκον λάβοι, εἰς τὸ κεφάλαιον αὐτὸν λογίζεσθαι, καὶ ὅπως δή ποτε λάβῃ, ἢ δι' ἑτέρου καθ' οἱονδή τινα τρόπον. μὴ δὲ ὑπὲρ τοῦ τόκου τοῦ μέλλοντος χρόνου, μὴ δὲ ὑπὲρ τοῦ τόκου, τῶν ἤδη πα-

ρέλτων

ρελθόντων χρόνων, δύνασθαι κατὰ μηδένα τρόπον τόκον ἐπερωτηθῆναι· μὴ δὲ εἰ κατὰ τὸ σχῆμα τὸ τοῖς παλαιοῖς γνωριζόμενον κεῖται, καὶ οἱ κατὰ μικρὸν καταβαλλόμενοι, τὸ διπλοῦν τοῦ χρέους οὐχ ὑπερβαίνουσιν.

ΝΕΑΡΑ ΤΟΥ ΚΑΙΣΑΡΟΣ Λέοντος τὸν τόκον ἀπαγορεύουσα.

Εἰ καὶ πολλοῖς τῶν πρὸ ἡμῶν ἔδοξε δεκταίαν εἶναι τὴν τῶν τόκων ἔκτισιν, ἴσως διὰ τὴν τῶν δανειστῶν δυσκληρίαν τε καὶ ὠμότητα, ἀλλ' οὖν ὡς ἀναξίαν τῆς ἡμῶν τῶν χριστιανῶν πολιτείας, ἀποβλητέαν εἶναι κεκρίκαμεν, ἅτε παρὰ τῆς θείας νομοθεσίας κεκωλυμένην. διὸ κελεύει ἡ ἡμετέρα γαληνότης, μηδενὶ μηδαμῶς ἐξεῖναι ἐν μηδεμιᾷ προφάσει, τόκον εἰληφέναι· ἵνα μὴ τοὺς νόμους φυλάττειν, νόμον θεοῦ παραβαίνωμεν. ἀλλὰ καὶ εἴ τις ὁσονδήποτε λάβοι, εἰς τὸ χρέος λογισθήσεται. Ὁ ἱερωμένος, τόκους ὅλως οὐ συγχωρεῖται λαμβάνειν· ἀλλαχοῦ δὲ εἴρηται, καὶ ὡς καθαιρεῖται γὰρ τοῦτο ποιῶν, ὡς ὁ ιζ΄ κανὼν τῆς ἐν Νικαίᾳ οἰκουμενικῆς συνόδου φησί, καὶ ὁ ι΄ τῆς ἐν τρούλλῳ, τῆς καὶ ϛ΄ λεγομένης. πῶς γάρ, ὃς οὐδὲ πράγματα ἔχειν συγχωρεῖται, ἢ βιωτικοῖς καὶ ἐκκλησιαστικοῖς πράγμασιν ἐνασχολεῖσθαι.

## ΠΕΡΙ ΜΙΣΘΩΣΕΩΣ ἘΝ Ὧ ΠΕΡΙ ἘΡΓΟΛΑΒΩΝ τῶν μικροῦ κατὰ στοιχεῖον. Τίτλ. η΄.

Μίσθωσις ἐστιν, ὅταν τις οἶκον, ἢ ἴδιον ἀγρόν, πακτεύσῃ πρός τινα. ἐφ' ᾧ λαμβάνειν ἐτήσιον πάκτον, ἢ ὅταν δώσῃ ὕλην χαλκὸν τινὰ ἢ χρυσὸν ἢ ἄργυρον τεχνίτῃ, ὥστε τοῦ κατασκευάσαι αὐτῷ ἔργον ἐπὶ μισθῷ, καὶ ὡσαύτως ἐπὶ κατασκευῆς οἴκου, καὶ λοιπῆς ὑπηρεσίας, ἐπὶ μισθῷ γινομένης, μίσθωσις ὁρίζεται. Ἡ μίσθωσις ὑπὸ τὴν κατὰ συναίνεσιν ἀγωγὴν ἀνάγεται καὶ αὐτή, καὶ πάντα ὅσα τις ποιῶν λαμβάνει τὸν ἐπὶ τούτοις μισθόν, ἐπὶ μισθώσει γίνεσθαι λέγεται· καὶ ὅλον τοῦτο τὸ ἔργον μίσθωσις ὀνομάζεται. μίσθωσις δέ ἐστι ὁ

τῆς

τοῦ τὸν ἴδιομ οἶκομ ἢ ἀγρὸν, ἐπὶ πάκτῳ πρός τινα δοῦναι, ἔοικε γὰρ καὶ τοῦτο τρόπον τινὰ τοῖς πεπρασμένοις ἐπὶ μισθῷ· τὸ δὲ πάκτον, δηλοῖ συμφωνίαν, καὶ τὸ ἀπὸ συμφωνίας παρά τινος ὀφειλόμενον πρός ἄλλον τινὰ καταβάλλεσθαι. Παρὰ τῷ νόμῳ τὸ εἰπεῖν οὕτως, ὁ μισθώσας, τὸν διδόντα τὸν μισθὸν δηλοῖ· τὸ δὲ εἰπεῖν ὁ μισθωσάμενος, τὸν λαμβάνοντα τὸν μισθόν. παρὰ δὲ δὲ τοῖς ἄλλοις ὁ μισθώσας, οὐ πάνυ εὔχρηστον· τὸ ὁ μισθωσάμενος δὲ, τὸν μισθὸν διδόντα δηλοῖ. Μίσθωμα παρὰ τῷ νόμῳ πάντη μὲν ἢ ὡς ἐπὶ τὸ πλεῖστον, ὃ ὁ λαμβάνων τὸν μισθὸμ συμφωνεῖ, ὑπὲρ τοῦ μισθοῦ καταβαλέσθαι καὶ ἀποδοῦναι· ποτὲ δὲ καὶ ἐπ' ὀλίγον, καὶ αὐτὸ τὸ διδόμενον ὡς μισθός. Ἐπὶ μισθώσεως, πάντων βίαν ἢ τινι οὐ δυνατὸμ ἀντιστῆναι ὁ δεσπότης ἐπιγινώσκει· οἷον τὴν ἀπὸ τῶν ποταμῶν καὶ πολεμίων βλάβην, καὶ τῶν ὁμοίων.

ΠΕΡῚ ΤΗ͂Σ ΣΥΜΒΑΙΝΟΎΣΗΣ ἈΦΟΡΊΑΣ ἐν τοῖς καρποῖς.

Ἡ διάταξις βούλεται, τὴν ἀπὸ τοῦ οὐρανοῦ γινομένην ἀφορίαν, μὴ τῷ μισθωτῷ ἐγκινδυνεύεσθαι, ἀλλὰ τῷ δεσπότῃ· εἰ μὴ τὸ ἐναντίομ συμπεφώνηται, ἢ τὸ ἦθος τοῦ κλίματος τοῦτο βούλεται. Χρὴ μέντοι πρὸς τὰς γενομένας ἤδη ἀφορίας, τὴν συμβαινόντων ἀφορίαν ἀναλογισθῆναι, καὶ οὕτως ἐπικουφισθῆναι τὸμ μισθωτὸμ, μετὰ τὰς ἀφορίας, τὴν ἀπομενόντων βλάβην.

Ὁ ἐπὶ χρήμασι μισθωσάμενος, τὴν συμβαινόντων τοῖς καρποῖς ἄμετρομ βλάβην ἐκ τῆς λεγομένης ἀνομβρίας, οὐκ ἐπιγινώσκει· ἀλλὰ τὴν μετρίαν. ὁ δὲ τοὺς καρποὺς μερίζόμενος, ὡς μισθωσάμενος ὡς ἂν δικαίῳ κοινωνίας, καὶ τὸ κέρδος, καὶ τὴν ζημίαν συμμερίζεται τῷ δεσπότῃ. Ὁ τὴν ὠφέλειαν ἔχωμ τοῦ πράγματος, καὶ τὴν βλάβην αὐτοῦ ἔχειν ὀφείλει. ΣΧΌΛ. οἷομ ἐὰν συστῇ τελεία πρᾶσις μεταξὺ δύο τινῶμ, καὶ τυχὸμ ὁ πεπραμένος ἀγρὸς προσθήκην τινὰ καὶ αὔξησιν δέξηται, τί δ' ὅτι πλησιάζωμ αὐτῷ ποταμὸς ἀπὸ

DD δ τοῦ

τοῦ γειτονοῦντος ἀγροῦ, γῆν ἀποσπάσας τινὰ ἀνεπαισθήτως, καὶ κατὰ βραχὺ τοῖς ἰδίοις αὐτοῦ τοῦ πεπραμένου προσέθηκεν, ἡ τοιαύτη ὠφέλεια, καὶ μὴ παραλαβόντα τὸν πεπραμένον ἀγρὸν. τὸν ἀγοραστὴν ὁρᾷ. καὶ ἐπεὶ τὴν ὠφέλειαν ἔχει αὐτοῦ, ἀναγκάζεται ἐπιγινώσκειν καὶ τὴν βλάβην αὐτοῦ. καὶ ἐὰν τυχὸν τὸ ἐναντίον ποιήσῃ ὁ ποταμὸς, καὶ ἀπὸ τοῦ πεπραμένου μᾶλλον ἀγροῦ μέρος τι ἀποσπάσας κατὰ μικρὸν καὶ ἀνεπαισθήτως ἑτέρῳ γειτνιάζοντι προσθήσῃ ἀγρῷ, ἡ τοιαύτη ζημία ἐπικλασθήσεται τῷ ἀγοραστῇ, καὶ ὁ πράτης παραδιδοὺς αὐτὸν ἠκρωτηριασμένον, οὐ κατά τι ζημιωθήσεται. ὥσπερ γὰρ ἡ πρὸ τῆς παραδόσεως προσθήκη εἰς ὠφέλειαν ἐχώρει τοῦ ἀγοραστοῦ, οὕτω καὶ ἡ ζημία γενήσεται· καὶ ὅνπερ δὲ ἐὰν πάθῃ, καὶ πρὸ παραδόσεως κατά τι βλαβῇ, τὴν βλάβην προξενεῖ τῷ ἀγοραστῇ, καὶ τὸ ἀνάπαλιν, ἐὰν τιμιώτερος γένηται, εἰς ὠφέλειαν ἐστὶ τοῦ ἀγοραστοῦ. Ἐάν τις ἐνιαυτὸν συγχωρήσῃ τῷ μισθωτῷ διὰ τὴν ἀφορίαν, ἢ εὐφορία ἐν τοῖς ἑξῆς ἐνιαυτοῖς γένηται, λαμβάνει τὸ συγχωρηθέν· εἰ δὲ ἐν τῷ ὑστέρῳ ἐνιαυτῷ γέγονεν ἡ ἀφορία καὶ ἡ συγχώρησις τῶν πρώτων εὐφορησάντων, ἐὰν οἶδεν ὁ μισθώσας, συλλογίζεται. Ὅτι τὸν ἐπὶ τεσσαρακονταετίᾳ ἐπιμείναντα τῷ ἀγρῷ μισθωτὸν, ἀναγκάζω καὶ ἄκοντα γεωργεῖν τοῦτον, καὶ οὐ δύναμαι κωλύειν, ἢ ἐκδιώκειν αὐτόν. Ἐὰν παριόντων τῶν στρατιωτῶν παραχωρήσῃ ὁ μισθωσάμενος καὶ οἱ στρατιῶται τὰς θυρίδας, ἢ ἕτερόν τι ἀφέλωνται, ἐνέχεται εἴγε μὴ δυνάμενος, οὐκ ἀπήγγειλε τῷ δεσπότῃ, ἢ δυνάμενος οὐκ ἀντέστη τοῖς στρατιώταις. Ἡ ἀμέλεια τοῦ μισθωτοῦ ἐστὶν, ἂν δὲ ἔχθραν αὐτοῦ ὁ γείτων κατὰ τὰ δένδρα, αὐτὸς μέντοι ἐκκόπτων, ὑπόκειται πρὸς τῇ ἐπὶ μισθώσει ἀγωγῇ, καὶ τῇ περὶ τῶν δένδρων τῶν κλοπιμαίως ἐκτεμνομένων ἀγωγῇ, καὶ τῇ περὶ βίας, ἢ λάθρα.

## ΠΕΡΙ ΚΑΥΣΕΩΣ ΤΥΧΗΡΑΣ.

Ἐὰν συμβῇ συμφωνηθῆναι τὸν μισθωσάμενον οἶκον, ἀβλαβὲς ἔχειν τὸ πῦρ, καὶ τυχηρὰ γένηται καῦσις, οὐκ ἐνέχεται ὁ μισθωσάμενος· εἰ δὲ κατὰ ῥαθυμίαν αὐτοῦ συνέβη, ἐνέχεται.

ΠΕΡΙ ΑΓΕΛΗΣ.

Ὁ μισθωσάμενος ἀγέλην, οὐκ ἐνέχεται ἐὰν δειχθῇ ὅτι χωρὶς ἀπάτης αὐτοῦ λῃσταὶ αὐτὴν ἀφείλοντο· ἀναλαμβάνει δὲ τοὺς μισθοὺς, οὓς ὑπὲρ τοῦ λειπομένου χρόνου δέδωκεν. Ὁ ποιμὴν καὶ ὁ ῥάπτης, καὶ ὁ κναφεὺς, ἀπὸ ῥαθυμίας καὶ ἀμελείας καὶ ἀπειρίας, ἐνέχονται.

ΠΕΡΙ ΕΜΠΡΗΣΜΟΥ.

Ἐὰν συμφωνηθῇ μὴ ἔχειν πῦρ καὶ σχῇ, ἐνέχεται· εἰ καὶ κατὰ τύχην ἐμπρησμὸς γένηται. Ἐὰν συνεφώνησεν ὁ μισθωσάμενος μὴ ἔχειν ἐν τῷ οἴκῳ χόρτον καὶ σχῇ, εἶτα δοῦλος αὐτοῦ, ἢ ξένος εἰσαγάγοι πῦρ καὶ καύσῃ, ἐνέχεται.

ΠΕΡΙ ΓΛΥΠΤΩΝ.

Ἐὰν λάβῃ τις ἐπὶ τῷ ἐγκλεῖσαι ἢ ἐγγλύψαι λιθάρια καὶ κλασθῇ, εἰ μὲν ἐξ ἀπειρίας τοῦ τεχνίτου, ἐνέχεται· εἰ δὲ ἀπὸ αἰτίας τῆς ὕλης, οὐκ ἐνέχεται· εἰ μὴ κίνδυνον ἀνεδέξατο.

ΠΕΡΙ ΚΝΑΦΕΩΝ.

Ἐὰν μυόβρωτον γένηται τὸ δοθὲν τῷ κναφεῖ, ἐνέχεται· καὶ ἐὰν ἕτερον ἀνθ' ἑτέρου παράσχῃ, κἂν ἐν ἀγνοίᾳ. Ἐὰν μετὰ τὸ πληρωθῆναι τὸν χρόνον τῆς μισθώσεως, συναινοῦντος ἑκατέρου μέρους, ὁ μισθωτὸς ἐπιμένῃ, ἀνανεοῦται εἰς ἐκεῖνον μόνον τὸν ἐνιαυτὸν ἡ μίσθωσις, οὐ μὴν καὶ εἰς ἐκεῖνον τὸν λειπόμενον χρόνον, εἰ πενταετία τυχὸν ἦν ἡ προτέρα μίσθωσις, ὅπερ καὶ ἐπὶ τῶν πολιτικῶν ἐστι μισθώσεων· εἰ δὲ καὶ τὸν δεύτερον ἐπιμένοι, ἐνέχεται εἰς αὐτὸν, καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως. Εἰ καὶ ἐν ἀγνοίᾳ μισθώσω πίθους κεκλασμένους, καὶ ἐκχυθῇ ὁ οἶνος, εἰς τὸ διάφορον ἐνέχομαι. Εἰ δὲ καὶ τόπον εἰς νομὴν μισθώσω, καὶ ἐκ τῶν ἐν αὐτῷ κακῶν βο-

τανῶν βλαβῶσιν, ἢ φθαρῶσι τὰ θρέμματα· εἰ μὲν ᾔδειν, εἰς τὸ διάφορον ἐνέχομαι· εἰ δὲ ἠγνόουν, οὐκ ἀπαιτῶ τοὺς μισθούς.

Ἐὰν δίαιταν εἰς ἐνιαυτὸν μισθωσάμενος, ὅλον παράσχω τὸν μισθὸν καὶ πέσῃ ἢ καυθῇ τῷ ἕκτῳ μηνί, ἀναλαμβάνω τοὺς λοιπούς. Ὁσάκις ἐπὶ τῷ γενέσθαι τι δίδοται, μίσθωσις ἐστίν. Ἐὰν συνεφωνήθη κυρωθῆναι τὸ ἔργον δοκιμασίᾳ τοῦ δεσπότου, ἀνδρὸς ἀγαθοῦ δοκιμασίαν ἐπιζητοῦμεν· τὸ αὐτὸ κἂν εἰς τὴν δοκιμασίαν ἑτέρου τὸ ἔργον ἀναγάγωμεν. οὐκ ἔχει δὲ ἄδειαν ὁ τοιοῦτος τὸν χρόνον ἐκτείνειν ἐν ᾧ τὸ ἔργον συνεφωνήθη γενέσθαι, ἀλλὰ τὸ ἔργον μόνον δοκιμάζειν. Ἐάν τις ἐπὶ τῷ κομίσαι μισθώσηται κίονα, καὶ κλασθῇ ἐν τῷ κουφίζεσθαι ἢ βαστάζεσθαι, ἢ ἀποτίθεσθαι, οὐκ ἐνέχεται· εἰ μὴ ἀπὸ ῥαθυμίας οἰκείας, καὶ τῶν ὑπουργούντων αὐτῷ. ἐστέρηται δὲ ῥαθυμίας, εἰ πάντα γέγονεν, ἅπερ ἐπιμελέστατός τις ἔπραττε τὸ αὐτὸ καὶ ἐπὶ πίθων, καὶ ξύλων, καὶ ἄλλων πραγμάτων. Ὁ μισθωσάμενος ζῶον ἐπὶ τῷ βαστάσαι τι δῆλον, καὶ βαρύτερον ἐπιθεὶς, βλαπτομένου αὐτοῦ ἐνέχεται, ὅς τις δή ποτε ἔβλαψεν. Ὁ λαβὼν μισθὸν ἐπὶ φυλακῇ πράγματος, ἐγκινδυνεύει περὶ τὴν αὐτοῦ φυλακήν, χωρὶς τῆς ἐξ ἑτέρου γινομένης εἰς αὐτὸ βλάβης· εἰ μὴ ἄρα ἠδύνατο φυλαχθῆναι. εἰ δὲ καὶ αὐτὸς ὁ φύλαξ βλάψει αὐτό, ἐνέχεται. Ὁ κλέψας τὸν μισθωθέντα δοῦλον αὐτῷ, ἐνέχεται ὡς κλέπτης. Ἐὰν ὁ μισθωσάμενος ὁμολογήσῃ ποινὴν διδόναι τῷ μισθωσαμένῳ, εἴπερ αὐτὸν ἐξεώσηται πρὸ συμπληρώσεως τῆς πενταετίας, ἀζημίως αὐτὸν ἐξεοῦται μὴ καταβάλλοντα τοὺς μισθοὺς ἐμπροθέσμως, ἢ μὴ γεωργοῦντα χρησίμως. Οἱ μισθωσάμενοι πρᾶγμα, καὶ μετὰ τὴν συμπλήρωσιν τῆς μισθώσεως, οὐκ ἀποδιδόντες εὐγνωμόνως τὸ πρᾶγμα, ἀλλὰ τὸν δεσπότην τοῦ πράγματος εἰς κρίσεις καὶ ὀχλήσεις εἰσάγοντες, μετὰ τὴν καταδίκην, οὐ τὸ πρᾶγμα μόνον, ἀλλὰ σὺν τούτῳ καὶ τὴν τιμὴν ὅ-

σης

σης τὸ πρᾶγμα ἐστὶν ἄξιον, ἀλλὰ διδέναι καταναγκάζονται, ἵνα δὴ πλὴν ζημιούμενοι παιδεύονται διὰ τῆς ζημίας μὴ εἶναι ἀγνώμονες. Ἐὰν χωρὶς αἰτίας καταλίπῃ τὸν ἀγρὸν ὁ μισθωσάμενος πρὸ συμπληρώσεως τοῦ χρόνου, ἀναδίδωσιν ὅλου τοῦ χρόνου τὸν μισθόν. Τῶν ἐνοίκων ἐπὶ τριῶν χρόνων, τουτέστιν ἐπὶ διετίαν μὴ φαινομένων, μήτε τὸ ἐνοίκιον καταβαλόντων, ἔξεστιν οἷς διαφέρει ἀνοίγειν, καὶ παρουσίᾳ δημοσίων, ἀπογράφεσθαι τὰ ἐκεῖ ὄντα. Ὡραῖον λέγει ἡ διάταξις, ὅτι ὁ ἔνοικος ἐφόσον δίδωσι τὸ μίσθωμα, οὐκ ἐκβάλλεται παρὰ τοῦ δεσπότου· εἰ μὴ ἄρα εἰς ἰδίαν χρείαν ἀναγκαίαν δέεται τοῦ οἴκου, ἢ ἐπισκευάσαι βούλεται, ἢ ὁ ἔνοικος κακῶς αὐτῷ κέχρηται. Ἐὰν τὸ γενόμενον ἔργον ἀπὸ σεισμοῦ παρασαλευθῇ, τοῦ μισθώσαντος ἐστὶν ὁ κίνδυνος. Ἐὰν πρὸ δοκιμασίας πέσῃ τὸ βάθρον, εἰ μὲν ἀπὸ αἰτίας τοῦ ἐδάφους, ὁ μισθώσας ζημιοῦται· εἰ δὲ ἐξ ἐλαττώματος τοῦ ἔργου, ὁ μισθωσάμενος.

Ἐάν τις πωλήσῃ ἀγρὸν, ἔχων ἐν αὐτῷ μισθωτὸν, οὐκ ἀναγκάζεται ὁ ἀγοραστὴς συγχωρῆσαι τῷ μισθωτῷ μένειν ἐν τῷ ἀγρῷ, εἰ μὴ ἄρα ἐπὶ τούτῳ συμφώνῳ ἠγόρασεν.

## ΠΕΡΙ ἘΜΠΡΗΣΜΟΥ ΚΑΙ ΑΥΘΙΣ.

Ἐὰν ὁ φουρνάριος δοῦλος ἀποκοιμηθῇ, καὶ καυθῇ ὁ οἶκος, χώρα τῇ μισθώσει ἐὰν ἀμελῶς τοὺς ὑπηρετοῦντας ἐπελέξατο. εἰ δὲ ἄλλος ὑπέβαλε τὸ πῦρ, ἑκάτερος ἐνέχεται.

Ἐὰν ὁ δοῦλος τοῦ μισθωτοῦ καύσῃ τὸ ἐποίκιον, χώρα τῇ μισθώσει καὶ τῷ ἀκουϊλίῳ, καὶ τῆς μιᾶς κινουμένης, ἀργεῖ ἡ ἄλλη. ἔξεστι δὲ καὶ τῷ μισθωτῷ δοῦναι, ὑπὲρ θεραπείας τῆς ζημίας τὸν καύσαντα. ἐὰν αὐτὸς ἐστέρηται ῥαθυμίας, ἐπεί τοι γε ἐγκαλεῖται κακοῖς δούλοις χρώμενος· τὰ αὐτὰ καὶ ἐπὶ ἐνοίκων φαμέν.

## ΠΕΡΙ ἘΡΓΟΛΑΒΩΝ.

Οἱ χειροτέχναι, οἷον λεπτουργοὶ καὶ μαρμάριοι, γυψοπλάσται τε καὶ οἱ λοιποὶ, ἐν ᾧ δ' ἂν ἔργῳ σοίχημα ποιήσωσι καὶ ἐπιτιχικόν

ἀῤῥαβῶνας λάβωσι, μὴ καταλιμπανέτωσαν τοῦτο, καὶ εἰς ἕτερον ἐπεμβαινέτωσαν, εἰ μὴ τελείως τοῦτο ἐργάσωνται. ἐὰν δὲ ἀπορίᾳ ὕλης, ἢ κακίᾳ τοῦ ἐργοδότου τούτοις ὑπέρθεσις γένηται, μὴ χορηγουμένων τῶν ἁρμοζόντων τῷ τεχνίτῃ πρὸς τὴν τοῦ ἔργου τελείωσιν, τότε ὁ τεχνίτης ὁποίας ἂν εἴη τέχνης, μετὰ προφωνήσεως εἴτε διαμαρτυρίας, προσημαινέτω τῷ ἐργοδότῃ. τούτου δὲ ὑπερτιθεμένου, ἐγκαλείσθω δεῖ τῷ ἐπάρχῳ, καὶ τότε μετὰ διαγνώσεως, ἀπεχέσθω ἔργου.

ἐπιτεχνικόν

Ὅταν ἀπληστία ἢ κακουργία, οἱ εἰρημένοι ἐργολάβοι τὸ ἔργον καταλιπόντες ὃ ὑπελάβοντο, ἑτέρου ἔργου ἐφάψωνται, ἐξέστω τῷ ἐργοδότῃ τούτων προμαρτύρασθαι τούτοις, ἐνώπιον ἀκροατῶν, ὑπομιμνήσκοντα καὶ τὴν ἐκτεθεῖσαν ἔγγραφον συμφωνίαν, ἢ διὰ λόγου προβᾶσαν. καὶ εἰ ἀμελήσειε τοῦ πληρῶσαι τὴν τοιαύτην μίσθωσιν, ἐγκαλείσθωσαν τῷ ἐπάρχῳ, καὶ τότε ἕτερον ὁ ἐργοδότης προσλαμβανέτω. οἱ δὲ ἀθετοῦντες ἐργολάβοι, διὰ δαρμοῦ καὶ κουρᾶς καὶ ὕβρεως σωφρονιζέσθωσαν, ἀπαιτούμενοι καὶ τὸν μισθὸν ὅσον ἔλαβον. παρεχόμενον τῷ ἐργοδότῃ τούτων, ἀμισθὶ δηλονότι τούτων τοῦ ἔργου ἀπωθουμένων. εἰ δὲ ἐνδεὴς ὕλης ὁ ἐργοδότης τυγχάνει, μετὰ προτροπῆς αὐτοῦ, ἑτέρων ἐφαπτέσθωσαν ἔργων· ὡς μὴ ἀργοὶ ὄντες οἱ τεχνῖται, ἐν ἀπορίᾳ τροφῆς γίνωνται.

ἐπιτεχνικόν

Οἷος δ' ἂν τεχνίτης ἄλλου ἔργον ἐφιέμενος ὡς ἂν παρὰ πάντων κατασύρηται, ποτὲ μὲν τοῦτον δελεάζει, ποτὲ δὲ ἕτερον παρακρούεται. ἔστι δὲ καὶ ὅτε παραπείθων τῇ στωμυλίᾳ καὶ σκαιότητι τῶν λόγων, αὔξει τοὺς μισθοὺς, ὡσανεὶ τῷ κακῷ στοιχήματι γινομένους, εἰ μὲν τῇ ἀληθείᾳ ὁρισμῷ τοῦ ἐπάρχου εὑρεθείη τὸ ἔργον πλέον ἀνοῖξαν, καὶ εἰς ζημίαν τῷ τεχνίτῃ γινόμενον, εἴτε καὶ ἄλλως στοιχηθὲν καὶ πάλιν ἑτέρως δόξαν τῷ μισθωσαμένῳ γενέσθαι τοῦτο, εἴτε βέλτιον, εἴτε ἔλαττον, εἴτε ἐν ἀδήλῳ ἡ ἐμφάνεια τοῦ ἔργου τυγχάνει, τὸ τοιοῦτον ἔργον ἀποτιμάσθω μετὰ διαγνώσεως τοῦ ἐπάρχου, παρ' ἐμπείρων

τεχνι-

τεχνίτην ἔτι ῥάμεψασθαι, ἔτι τὸ ἐξ ἀφανοῦς γεγονός. καὶ δι' αὐτὴν ταῖς πράσεσι καὶ ἀγορασίαις ἐστὶ τῷ νόμῳ, τοῦτο καὶ ἐν τοῖς στοιχήμασι, καὶ εἰ μὲν εὑρεθῇ αὐτὸ στοιχηθὲν, καὶ ὡς ἐστοίχηται γενόμενον, εἰ μὲν ἔλαττον τοῦ ἡμίσεως ὁ μισθὸς ὑπάρχει, ἀναλύεσθαι τὸ σύμφωνον, καὶ ἀποτιμᾶσθαι τὸ ἔργον. εἰ δὲ πλεῖον τοῦ ἡμίσεως, διδόσθωσαν οἱ μισθοὶ ὡς ἐστοίχηνται· εἰ δὲ προσθήκη γέγονεν, ἢ ἀμοιβὴ τοῦ ἔργου, ἡ προσθήκη ἀποτιμάσθω, ἢ ἡ ἄμειψις. Οἱ τεῖχος ἐργαζόμενοι καὶ θόλους ἐγχωρ- ἐπιτειχικὸν ρίτους, ἢ καμάρας, ἐχέτωσαν πᾶσαν ἀσφάλειαν καὶ ἐμπειρίαν, ἵνα μὴ ὁ θεμέλιος σαθρὸς γένηται, ἢ τὸ κτιζόμενον λοξὸν, ἢ καὶ ἄνισον· εἰ γὰρ ἔνδοθεν τοῦ δεκάτου ἐνιαυτοῦ γένηται πτῶσις, ἄνευ θεομηνίας, ὑποκείσθω ὁ κτίζων ταῦτα, ἐξ ἰδίων ἀναλωμάτων ποιεῖν. καὶ εἰ μὲν μέγα ἐστὶ τὸ ἔργον ὑπερβαῖνον τὴν τοῦ χρυσίου λίτραν, ὁ μὲν ἐργολάβος ὁ κτίσας τοῦτο, ἀμισθὶ κτιζέτω μετὰ τῶν συγκτιζόντων αὐτῷ. ὁ δὲ ἐργοδότης, παρεχέτω τὰς ὕλας· τὰ δὲ ἔμπηλα, φυλαττέσθωσαν χρόνους ἕξ. καὶ εἰ ἐντὸς τῶν ἕξ χρόνων συμπτωθῇ τὸ ἔργον ἐξ ἀπειρίας τοῦ τεχνίτου, ἀμισθὶ καὶ αὖθις ὁ κτίσας ἀνανεούτω τοῦτο. ὁμοίως δὲ καὶ ἐν πᾶσι τοῖς ἐργολάβοις ἔστω οὕτως. εἰ δέ τινες εὑρεθῶσι παρὰ τὰ διατεταγμένα διαπραττόμενοι, τυπτόμενοι καὶ κουρευόμενοι, ἐξοριζέσθωσαν.

## ΠΕΡῚ ΠΑΡΑΚΑΤΑΘΗΚΗΣ. Τίτλ. Ι.

Παρακαταθήκη ἐστὶ, τὸ αὐτὸ παραφυλακῇ τινὶ διδόμενον.

Ὁ διδοὺς παρακαταθήκην, εἴπερ βούλεται πλείαν ἔχειν ἀσφάλειαν, λαμβανέτω μὲν καὶ γράμματα τοῦ ἀνθρώπου ἐκείνου, πρὸς ὃν τὴν παρακαταθήκην διδόναι βούλεται· μὴ ἀρκείσθω δὲ μόνον τῷ γράμματι, ἀλλὰ καὶ μάρτυρας προσκαλείσθω, σεμνοὺς καὶ ἀξιοπίστους. Ἡ περὶ παρακαταθήκης ἀγωγὴ, τὴν καλῇ πίστει ἐστὶν, ὅθεν καὶ καρποὺς, καὶ τόκους, καὶ πᾶν πρᾶγμα ἀπαιτεῖ. Εἴ τε τόκον ὁ τὴν παρακαταθήκην

λαβὼν

λαβὼν, ἐκ τῶν παρατεθέντων αὐτῷ λάβοι, εἴτε αὐτὸς συγχρήσηται τοῖς παρατεθεῖσι, δίδωσι τόκους, ταὐτὸ καὶ ἐπὶ τῶν δήμων τῶν καλῇ πίστει ἀργυρῶν. Ἐπὶ τῶν ἀπὸ θορύβου, ἢ ἐμπρησμοῦ, ἢ συμπτώσεως, ἢ ναυαγίου παρατιθεμένων, κατὰ μὲν τοῦ λαβόντος, εἰς τὸ διπλοῦν ἡ ἀγωγὴ ἁρμόζει· κατὰ δὲ τῶν κληρονόμων, ἀπὸ μὲν δόλου τοῦ διατιθεμένου, εἰς τὸ διπλοῦν· ἀπὸ δὲ οἰκείου, εἰς τὸ ἁπλοῦν. ἐπὶ δὲ τῶν λοιπῶν παρακαταθηκῶν, εἰς τὸ ἁπλοῦν ἡ ἀγωγὴ δίδοται. Εἴτε ὁ τὴν παρακαταθήκην δεξάμενος, εἴτε ὁ κληρονόμος ἐναχθῇ, καὶ φιλονείκως τὸ πρᾶγμα πρὸ ψήφου φθαρῇ· τυχὸν γὰρ δοῦλος ἦν καὶ ἀπέθανεν, ἐλευθεροῦται· εἴ γε μὴ παρὰ τῷ ἐνάγοντι ἀποκαταστὰν ἀπόλοιτο. Τῆς παρακαταθήκης, καὶ οἱ καρποὶ, καὶ οἱ τόκοι, καὶ πᾶν πρᾶγμα ἀπαιτεῖται. Ὁ παραθέμενος δύναται παραχρῆμα κινῆσαι τὴν περὶ παρακαταθήκης ἀγωγὴν, καὶ μὴ ἀποδιδοὺς ὁ δεξάμενος δόλον ποιεῖ· εἰ μὴ ἀλλαχοῦ ἐστιν, ἢ ἀποκέκλεισται ἐν τόπῳ πρὸς ἀνοιγῆναι μὴ δυναμένῳ, ἢ οὐκ ἐξῆλθεν ἡ αἵρεσις τῆς παρακαταθήκης. Καὶ ὁ δοῦλός μου, κἂν ὁ καλῇ πίστει δουλεύων μοι παράθηται τὸ ἀνῆκόν μοι, ἔχω τὴν ἀγωγὴν τὴν περὶ παρακαταθήκης.

Καὶ κληρονομιαίου δούλου, ὁ κληρονόμος ζητεῖ τὴν παρακαταθήκην. Εἴτε πρίν ἐστιν ὁ παραθέμενος δοῦλος, εἴτε ἀπέθανεν, ἢ ἠλευθερώθη, ἢ ἐξεποιήθη, ὁ δεσπότης ζητεῖ τὴν παρακαταθήκην· οὐ μὴν αὐτὸς ὁ ἐλευθερωθεὶς, οὔτε ὁ νέος αὐτοῦ δεσπότης, τῇ γὰρ ἀρχῇ προσεκτέον τοῦ συναλλάγματος.

Δοῦλός σου παρέθετό μοι χρήματα ἐπὶ τῷ δοῦναί σοι ὑπὲρ τοῦ ἐλευθερῶσαι αὐτόν· εἰ μὲν διδοὺς ἐποίησά σε τῶν παρακολουθησάντων ἐν εἰδήσει, οὐκ ἐνέχομαι· εἰ δὲ ὡς ἴδια δέδωκα, ὑπόκειμαι διδόναι ὡς παρακαταθήκην. ὁ γὰρ ὡς ἴδια διδοὺς, οὐκ ἀποδοῦναι δοκεῖ τὴν παρακαταθήκην.

## ΠΕΡΙ ΤΥΧΗΡΑΣ ΠΕΡΙΣΤΑΣΕΩΣ.

Ἡ τυχηρὰ περίστασις, οὐκ κινδυνεύει τὸν λαβόντα τὴν παρακαταθήκην· μόνον γὰρ δόλον καὶ μεγάλην ἀπαιτεῖται ἀμέλειαν ἐν ᾧ μηδὲν ἰδικώτερον συνεφωνήθη. Ὁ μὴ τῆς παρακαταθήκης ὡς τῶν ἰδίων ἐπιμελούμενος, δόλον ποιεῖ.

Ἐὰν ἐξ ἐπιδρομῆς λῃστῶν, ὁ τὴν παρακαταθήκην λαβὼν ἀπώλεσε τὰ παρακατατεθέντα αὐτῷ, οὐ κινδυνεύεται τοῖς κληρονόμοις αὐτοῦ ἡ ἀπώλεια. ὁ γὰρ παρακαταθήκην λαμβάνων, δόλον μόνον καὶ ῥᾳθυμίαν καὶ ἀμέλειαν ἀπαιτεῖται· εἰ μὴ ῥητῶς καὶ ἕτερόν τι συνεφωνήθη. Οὐ δοκεῖ πρᾶγμα ἀπολλύειν, ὁ μὴ ὢν αὐτοῦ δεσπότης. ΣΧΟΛ. Οἷον ἐπὶ θέματος, ἐδανεισάμην ἀπό τινος ρ̄ νο. δέδωκα αὐτῷ ἐνέχυρον, κατεῖχε τὸ ἐνέχυρον ὁ δανειστής· κἂν δὲ ὁ δανειστὴς κρατῇ τὸ ἐνέχυρον, ἀλλ' ὅμως ἐγὼ εἰμὶ τούτου δεσπότης. Συνέβη ἀπολεσθῆναι τὸ τοιοῦτον ἐνέχυρον, ἐμπρησμῷ τυχὸν ἢ κλοπῇ ἢ θανάτῳ· τί γὰρ ὅτε ζῶα ἢ δοῦλοι ἦσαν τὸ ἐνέχυρον, ἢ ἄλλῃ τινὶ φθορᾷ φυσικῇ, ἐζήτει ὁ δανειστὴς τὸ χρέος ἐξ ἐμοῦ, ἐγὼ ἔλεγον· δός μοι τὸ ἐνέχυρον, καὶ δώσω σοι τὸ χρέος. καλῶς ὁ δανειστὴς ἀντιθήσει μοι τὸ παρὸν νόμιμον λέγων, ἐγὼ τοῦ ἐνεχύρου δεσπότης οὐκ ἤμην καὶ οὐ δὲ δοκῶ ἀπολλύειν αὐτοῦ, σὺ δὲ δεσπότης ὢν αὐτοῦ ἐπίγνωθι καὶ τὸν κίνδυνον, ὁρεῖ μοι τοῦτο καλῶς, καὶ ἀπαιτήσει με καὶ τὸ χρέος, οὐ δὲ τὸ ἐνέχυρον ἀπαιτηθήσεται πλὴν εἰ μὴ κατὰ δόλον αὐτοῦ ἀπώλετο. τότε γὰρ ζημιοῦται αὐτὸς τοῦτο, καὶ τὸν τούτου κίνδυνον ἐπιγινώσκει, κἂν μὴ ἐστὶ δεσπότης. Ἐὰν ἀποκεχρημένος τῇ προφάσει τῆς αἰτίας, ἢ ἄλλης τυχηρᾶς περιστάσεως, καὶ ἔχων τὰ παρατεθέντα πράγματα ὁ κληρονόμος, ἢ κατὰ δόλον παυσάμενος ἔχειν αὐτά, μὴ ἀποκαταστήσῃ, ἐνέχεται τῇ ἀγωγῇ τῆς παρακαταθήκης. Ὁ ἐγγυησάμενος τὸν λαβόντα παρακαταθήκην, ἐνέχεται· κἂν δόλον μὲν ὁ λαβὼν οὐκ ἐποίησεν, ἔχει δὲ τὸ πρᾶγμα· τί γὰρ ὅτι μαίνεται, ἢ ὀρφανός ἐστιν, ἢ ἀδιάδοχος ἐτελεύτησεν, καὶ ἀναγκαζέτω παρασχεῖν ὅσα λόγῳ

παρακαταθήκης ὁ ἐγγυητὴς εἴωθε δίδοσθαι. Ὁ παρ᾽ ἑκατέρου μέρους, ἢ διαλύσεως συμβόλαια, ἢ ἄλλα τινὰ δικαιώματα κατὰ παρακαταθήκην λαβὼν, ἀνάγκην ἔχει φυλάττειν τὰ σύμφωνα ἐφ᾽ οἷς τὴν παρακαταθήκην ἔλαβεν. Ὁ λαβὼν πρᾶγμα εἰς παρακαταθήκην, καὶ παραθέμενος αὐτὸ ἐγγράφως ἑτέρῳ τινὶ, οὐ καλῶς παραιτεῖται ἀποκαταστῆσαι ἅπερ ἔλαβεν, ἐν τῷ προφέρειν τὸν χάρτην εἰς ἀπόδειξιν τοῦ ὅτι ἑτέρῳ ταῦτα παρέθετο.

## ΠΕΡῚ ἈΝΤΕΛΟΓΟΥ.

Ὁ ἀντέλογος ἐπὶ πάντων τῶν ἄλλων πραγμάτων γίνεται, χωρὶς μόνης τῆς περὶ παρακαταθήκης ἀγωγῆς· ὅταν γὰρ παρακαταθήκην τις ἀπαιτῇ, καὶ ἐγκαλῇ κατὰ τοῦ δεξαμένου αὐτὴν, οὐκ ἔχει χώραν ὁ τὴν παρακαταθήκην λαβὼν, κινεῖν τὸν ἀντέλογον· ἀλλ᾽ εἰ καὶ βούλεται κινῆσαι, ὁ δικαστὴς αὐτὸν οὐ προσδέχεται, ἀλλ᾽ ἀναγκάζεται παντιοτρόπως τὴν παρακαταθήκην ἀποδιδόναι. Θαυμασίως δὲ καὶ καλῶς ἡ διάταξις ταῦτα παρακελεύεται, τὰς πολλὰς πονηρείας τῶν παρακαταθήκας λαμβανόντων παρά τινων ἀναστέλλουσα.

## ΠΕΡῚ ΚΟΙΝΩΝΊΑΣ. τίτλ. ι.

Συνίσταται κοινωνία, ἢ ἕως οὗ ζῶσιν οἱ κοινωνοῦντες, ἢ πρὸς καιρὸν, ἢ ὑπὸ καιρὸν, ἢ ὑπὸ αἵρεσιν. Ἐν τῇ συστάσει τῆς κοινωνίας, οὐδὲν δεῖ περὶ τῆς ἀπαγορεύσεως συμφωνεῖν, κατὰ φύσιν γὰρ τῆς κοινωνίας, ὁ παρὰ καιρὸν ἀπαγορεύσας, ἐνέχεται. Ὅπε μὲν ἀπὸ συναινέσεως γίνεται κοινωνία, χώρα τῇ περὶ κοινωνίας ἀγωγῇ· ὅπε δὲ χωρὶς συναινέσεως, κοινοπραξία ἐστίν.

Θανάτῳ λύεται ἡ κοινωνία, καὶ οὐκ ἐφεῖται συμφωνεῖν διαβαίνειν εἰς τοὺς κληρονόμους· εἰ μὴ ἐπὶ δημοσίων χρεῶν.

Ἐὰν ἀδελφοὶ κοινωνίαν συστήσωνται, καὶ τὰ ἀπὸ στρατείας

προσγινόμενα, καὶ τὰ σιτηρέσια κοινοποιοῦνται. Ἐὰν ῥητῶς πάντων τῶν πραγμάτων γένηται κοινωνία, καὶ κληρονομία, καὶ λεγάτα καὶ δωρεαὶ, καὶ πᾶν κέρδος, τῇ κοινότητι προσπορίζεται. Ἐὰν συμφωνήσωμεν κοινὴν εἶναι τὴν ὡς εἰκὸς ἐπερχομένην εἰς ἕνα ἡμῶν δικαίαν κληρονομίαν, οὐ περὶ τῆς ἐκ διαθήκης δοκοῦμεν λέγειν· ἀλλὰ περὶ τῆς νομίμου. Συνίσταται κοινωνία, πράγματι καὶ ῥήματι, καὶ δι' ἀγγέλου, καὶ διαλύεται ἀπαγορεύσει, θανάτῳ καταστάσεως ἐναλλαγῇ, καὶ ἀπορίᾳ. Συνίσταται καὶ ἐπὶ πᾶσι τοῖς πράγμασι, καὶ ἐπὶ τέλει, καὶ ἐφ' ἑνὶ πράγματι καὶ μεταξὺ τῶν ἄνισον οὐσίαν ἐχόντων, ὁ γὰρ πενέστατος, ὡς ἐπίπαν τὸ λεῖπον ἐν χρήμασι, διὰ τῆς σπουδῆς ἀντεισάγει. Ἐὰν ἁπλῶς γένηται κοινωνία καὶ μὴ λεχθῇ ἐπὶ τίνι, δοκεῖ συνίστασθαι, ἐπὶ τῷ περιγινομένῳ πόρῳ καὶ κέρδει, ἀπὸ πράσεως καὶ ἀγορασίας, καὶ μισθώσεως, καὶ ἐκλήψεως συνίσταται. πόρος γάρ ἐστιν, ὁ ἀπὸ καμάτου τινὶ περιγενόμενος, καὶ κληρονομίαι δὲ καὶ λεγάτα καὶ δωρεαὶ, οὐ περιέχονται· αἱ γὰρ δωρεαὶ, ὡς μισθὸς τινὸς ἠγωνισμένου, περιγίνονται ἡμῖν. Τοῦ κέρδους ὁ κοινωνὸς οὐ δίδωσι τόκον· εἰ μὴ ἀπὸ ὑπερθέσεως καὶ συγχρήσεως. Ὁ κοινωνὸς ἀπὸ ἀμελείας καὶ ῥαθυμίας ἐνέχεται, οὐ χρεωστεῖ δὲ μεγάλην ἀσφάλειαν, ἀλλ' οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν.

Τοῦ κοινωνοῦ βλάψαντος τὸ κοινὸν πρᾶγμα, καὶ ὁ κληρονόμος αὐτοῦ ἐνέχεται· εἰ καὶ τὰ μάλιστα κατὰ κληρονόμων οὐχ ἁρμόζει ὁ ἀκουΐλιος.

## ΠΕΡΙ ΔΙΑΙΡΕΣΕΩΣ ΚΟΙΝΩΝ.

Εἰ μὴ δύνανται διαιρεθῆναι τὰ πράγματα, καθ' ὑπερθεματισμὸν ἑνὶ προσκυρούσθωσαν. ἐὰν δὲ ὁ εἷς τῶν δικαζομένων πένης ὢν μὴ δύνηται ὑπερθεματίζειν, φερέσθω καὶ ἐξωτικὸς ὀφείλων ὑπερθεματισμὸν ἐπὶ τῷ πράγματι ποιήσασθαι.

Ἐὰν ἡ γενομένη μεταξὺ ἡμῶν πλειόνων ὄντων ἐπὶ τοῖς ἐ-

τικοῖνοις πράγμασι διαίρεσις, καταλειφθείσης, ἢ μετενεχθείσης τῆς νομῆς πέρας οὐκ ἐδέξατο, ἀνανεοῦσθαι τὰ τῇ ἀμοιβαίῳ πίστει βεβαιωθέντα, οὐ δύνανται. Ἀπαγόρευσις πολλάκις παρὰ τῷ νόμῳ καλεῖται, ἡ τῆς κοινωνίας διάλυσις. Εἰ καὶ συνεφωνήθη εἴσω δήλου καιροῦ μὴ λυθῆναι τὴν κοινωνίαν, ἐξ εὐλόγου αἰτίας λύεται. τί γὰρ ὅτι ἡ αἵρεσις ἐφ᾽ ᾗ συνέστη, οὐκ ἐγένετο, ἢ ὑβριστὴς καὶ ἐπιζήμιος ἐστὶν ὁ κοινωνός, ἢ οὐκ ἔστι καρπίζεσθαι τὸ πρᾶγμα, δι᾽ ὃ συνέστηκεν ἡ κοινωνία. Τὰ περὶ τὴν κοινωνίαν, οὐ τὰ διὰ τὴν κοινωνίαν δαπανηθέντα κοινά.

Ἐὰν ἀπαγορεύσω τῷ ἐγκαταλιμπανομένῳ μου κοινωνῷ, ὅσα μὴ κτήσομαι ἕως οὗ μάθῃ κοινὰ γίνεται· ἡ δὲ ζημία μόνον ἐμὲ ὁρᾷ, τὸ δὲ κέρδος τοῦ κοινωνοῦ, μόνου αὐτοῦ ἐστι, καὶ ἡ ζημία κοινή. Τὰ ἐξ οἰκείας ἀμελείας συμβαίνοντα, ἐπιγινώσκει ὁ κοινωνός, κἂν ἐν πολλοῖς ἑτέροις ὠφέλησεν. Τὰ συστάντα χρέα παρὰ καιρῷ κοινωνίας, ἐκ τοῦ κοινοῦ δίδονται· καὶ ἐὰν πρὸ τῆς καταβολῆς τοῦ χρέους, ἴσως γὰρ αἱρετικόν ἐστιν, ἡ κοινωνία λυθῇ, περὶ τῆς καταβολῆς ἀλλήλους ἀσφαλίζονται. Ἐὰν χρήματα συνεισάγωμεν ἐπὶ κοινῇ πραγματείᾳ, καὶ ἀπόλλυνται τὰ ἐμά, τῇ κοινότητι ἀπόλλυνται· εἴγε οὐκ ἀπώλλοντο, εἰ μὴ συνέβη ἡ κοινωνία. εἰ δὲ μετὰ τὸ ἀφορίσαι με καὶ μήπω συναγαγεῖν ἀπώλλοντο, μόνος ζημιοῦμαι. Ὁ κοινωνός μου ἐπὶ τῷ κοινῷ πράγματι καὶ τῇ τῆς κλοπῆς ἀγωγῇ ἐνέχεταί μοι, καὶ οὐκ ἀναιρεῖ τὴν ἑτέραν ἡ ἑτέρα. Τὰ τυχηρά, ὁ κοινωνὸς οὐκ ἐπιγινώσκει, ὅθεν τὰ διατετιμημένα θρέμματα εἰ μὴ ὑπὸ λῃστῶν ἀφαιρεθῶσι, κοινὴ γίνεται ἡ ζημία· εἰ δὲ κλαπῶσι, μόνος ὁ ἐσχηκὼς αὐτὰ ζημιοῦται. Χρεωστεῖ γὰρ ἀκριβεστάτην ἀσφάλειαν ὁ δεξάμενος τὰ διατετιμημένα, καὶ ἁρμόζει ἡ περὶ κοινωνίας ἀγωγή, ἐὰν ἐπὶ κοινωνίᾳ ἐδόθησαν βόσκεσθαι· εἰ καὶ τὰ μάλιστα ἦν διατετιμημένα. Ἐὰν κοινωνὸς ἐπὶ κοινῇ ἐπιδημήσας ἐμπορείᾳ, περιέπεσε λῃσταῖς καὶ ἀπώλεσεν ἴ-

δια

διὰ χρήματα, ἢ πράγματα, ἅτινα εἰ μὴ διὰ τὴν ἐμπορείαν οὐκ ἐλάμβανε, τὸ μέρος τῆς ζημίας ἐπιγινώσκει ὁ κοινωνός, καὶ τῶν περὶ τὴν ἰατρείαν δαπανῶν. τὸ αὐτό ἐστι καὶ ἐὰν πλοῖον μετὰ τῆς πραγματείας ἐν ἀνάγκῃ καὶ ἐζημιώθη, ὅτι χωρὶς θαλάσσης οὐκ εἰώθει ἡ πραγματεία φέρεσθαι. Ὁ εἷς τῶν κοινωνῶν ἀργυροπρατῶν, οὐ κοινοποιεῖ τὰ ἔξωθεν τῆς τραπέζης αὐτῷ περιποιηθέντα. Εἰ δὲ καὶ ἀδελφοὶ ἐπὶ κοινωνίᾳ τὰς τῶν γονέων οὐ διείλοντο κληρονομίας, οὐ κοινοποιοῦσι τὰ ἔξωθεν αὐτοῖς κτηθέντα. Ὁ κοινωνὸς ὑπερτιθεμένων τῶν ἄλλων, ἐὰν ἀνανεώσῃ τὸν κοινὸν οἶκον, ἐπιλογὴν ἔχει, ἢ τὰ δαπανηθέντα λαβεῖν μετὰ τόκων, εἴσω τεσσάρων μηνῶν μετὰ τὴν ἀνανέωσιν, καὶ ἔχει περὶ τὴν ἀπαίτησιν προνόμιον, ἢ καὶ τὸν οἶκον εἰς δεσποτείαν μετὰ τὴν πεπραμένον, ἢ μᾶλλον διὰ τῆς περὶ κοινωνίας ἀγωγῆς λαβεῖν τὸ διάφορον· ἴσως γὰρ οὐ βούλεται ἔχειν τὸν οἶκον, διὰ τοῦτο δὲ πεπραμένῳ περιωρίσθη, ἐπειδὴ μετ' αὐτοῦ ὁ νόμος τὴν δεσποτείαν δίδωσι τῷ ἀνανεώσαντι. Ὁ ἀποδημήσας διὰ κοινὴν ἐμπορείαν, μόνας τὰς εἰς αὐτὴν γινομένας δαπάνας λογίζεται τῇ κοινότητι. Ἐὰν ἐπὶ πράσει, ἢ μισθώσει συστῇ κοινωνία, καὶ ἡ μετὰ θάνατον τοῦ ἑνὸς γινομένη ζημία, καὶ τὸ κέρδος κοινόν ἐστιν. Ὁ κοινὸς πωλεῖν δύο οἴκων, ἄκοντος τοῦ ἑνὸς τῶν δεσποτῶν διαιρεῖται· ἐν ᾧ μή ἐστιν ἑτέρωθεν εἴσοδος.

## ΠΕΡῚ ΛΎΣΕΩΣ ΚΟΙΝΩΝΊΑΣ. Τίτλ. ια.

Λύεται ἡ κοινωνία, φθειρομένων τῶν προσώπων, ἢ τοῦ πράγματος, ἢ τῆς γνώμης, ἢ τῆς ἀγωγῆς· προσώπου μὲν, ἡνίκα καταδικασθῇ θανάτῳ, ἢ ἐξορίᾳ, ἢ δημεύσει. εἷς τῶν κοινωνῶν, ἢ καὶ τελευτήσῃ κοινῷ θανάτῳ. Φθείρεται δὲ τὸ πρᾶγμα, ὅταν ἢ παντελῶς οὐχ ὑπέστη, ἢ τὴν κατάστασιν ἐνήλλαξεν, ἱερωθεὶ ἢ δημευ-

δημευθῇ. γνώμῃ δὲ λύεται· ὅταν ἀπαγορεύσωσι, καὶ ἰδιαζόντως ἕκαστος αὐτῶν, ἄρξηται πραγματεύεσθαι. ἀνάγκῃ δὲ λύεται, ὅταν δι᾽ ἐπερωτήσεως ἢ δικαστηρίου ἐναλλαγῇ ἡ τῆς κοινωνίας αἰτία, καὶ γὰρ οὐδὲ διαλύσει τῆς κοινωνίας ἐνάγειν, ἀπαγορεύει αὐτῷ.

τέλος τοῦ τρίτου.

# ΠΕΡΙ ΣΥΝΑΙΝΕ-ΣΕΩΣ ΜΝΗΣΤΕΙΑΣ ΚΑΙ ΛΥΣΕΩΣ ΑΥΤΗΣ. τίτλ. α΄.

Μνηστεία ἐστὶν, ἡ τῶν μελλόντων γίνεσθαι γάμων ὑπόσχεσις· τὸ γὰρ προοικονομεῖν καὶ προκατασκευάζειν τὸ μετὰ ταῦτα μέλλον γίνεσθαι, καὶ τὸ ἕλκειν, καὶ φέρειν τινὰ τὶ πρᾶγμα εἰς ἑαυτὸν, μνηστεύεσθαι λέγουσιν· ἐμφαίνει δὲ καὶ αὐτὸ τὸ ὄνομα τῆς μνηστείας, μνήμην τοῦ ἐπαγγέλματος. Μνηστεία ἐστὶν ἡ τῶν μελλόντων γάμων ἐπαγγελία, καὶ ἐγγράφως καὶ ἀγράφως μνηστεία λέγεται συνίστασθαι.

Οἱ συναινοῦντες τῷ γάμῳ, καὶ τῇ μνηστείᾳ συναινοῦσιν· ἀεὶ δὲ συναινεῖν δοκεῖ ὁ πατὴρ, εἰ μὴ ῥητῶς ἐναντιοῦται.

Παρὰ γνώμην τῆς ὀρφανῆς, ὁ ἐπίτροπος οὐ συνίστησιν αὐτῇ μνηστείαν, ὅτε διαλύει τὴν γενομένην. Ὁ πατὴρ τῆς ὑπεξουσίας, δύναται διαλύειν τὴν μνηστείαν, οὐ μὴν καὶ τῆς αὐτεξουσίας. Ὡς ἐπὶ τῶν γάμων, οὕτω καὶ ἐπὶ τῆς μνηστείας οἱ συναπτόμενοι συναινοῦσι, δεῖ οὖν καὶ τὴν ὑπεξουσίαν συναινεῖν· δοκεῖ δὲ τῷ πατρὶ συναινεῖν, ἡ μὴ ἀντιλέγουσα. Τότε δὲ μόνον ἀντιλέγειν δύναται, ὅτε τοῖς τρόποις ἀνάξιον, ἢ αἰσχρὸν αὐτῇ μνηστεύεται. Διχονοοῦντος τοῦ ὑπεξουσίου, οὐ γίνεται μνηστεία ὀνόματι αὐτοῦ. Ἡ μνηστευομένη ἑτέρῳ, καὶ ἑτέρῳ γαμηθεῖσα, ἀτιμοῦται. Ἡ ἑτέρῳ μνηστευθεῖσα, ἀπαγορεῦσαι τὴν μνηστείαν καὶ ἑτέρῳ γαμηθῆναι, οὐ κεκώλυται, γενομένου δηλονότι ῥεπουδίου, ἤτοι διαζυγίου. Ὁ τὸ γινόμενον νοῶν, καλῶς μνηστεύεται, τουτέστιν ὁ μὴ ὢν ἥττων τῶν ἑπτὰ ἐτῶν.

ΝΕΑΡΑ ΤΟΥ ΚΑΙΣΑΡΟΣ ΛΕΟΝΤΟΣ.

Οὕτω φησὶ, καὶ ἡμεῖς θεσπίζομεν μηδαμῶς συνίστασθαι μνηστείαν,

στείαν, ἐπὶ χρόνοις ἐλάττοσι τῶν ἑπτά· μήτε μὴν ἰσοπολιτείαις βεβαιοῦσθαι τὴν μνηστείαν, τοῦ τρισκαιδεκάτου ἔτους ἐλθούσης τῆς νύμφης· τοῦ δὲ νυμφίου, τὸν τεσσαρεσκαιδέκατον μὴ διαμετρουμένου, ἀλλὰ ταῦτα μὲν ἀπηγόρευται πρὸς τὴν κοινὴν καὶ δημοσίαν τοῦ πολιτεύματος χρῆσιν. εἰ δὲ βασιλεὺς οἷα πολλὰ συμβαίνει, πράττων οἰκονομίαν τινὰ καὶ μνηστείαν, καὶ τὴν ἐξ ἱερολογίας συναρμόσειν τοῖς μνηστευομένοις, ἐνδον τῶν διορισθέντων ἐτῶν ἐπιτηρεῖται, τοῦτο πρὸς τὸν νόμον οὐδὲν αἰτιᾶται· ἔξεστι γὰρ τοῖς ἐκ θεοῦ τὴν οἰκονομίαν τῶν κοσμικῶν ἐγκεχειρισμένοις πραγμάτων, ὑπέρτερον ἢ κατὰ νόμον οἰκονομεῖν, ὃς ἄγει τοὺς ὑπηκόους.

## ΝΕΑΡᾺ ΤΟΥ ΚΑΊΣΑΡΟΣ ἈΛΕΞΊΟΥ.

Ἐκείνας εἶναι φησὶ κυρίως μνηστείας, καὶ ἀπηχῶς ἰσοδυναμούσας γάμῳ, ὅσαι καὶ τὸν χρόνον ὃν ἡ τοῦ βασιλέως καίσαρος Λέοντος θεσμοθεσία ὡρίσατο, ἀκέραιον ἔχειν παρ' ἑαυταῖς, καὶ τὴν ἱερὰν εὐλογίαν ἐπακολουθοῦσαν ἐγνώρισαν. εἰ δὲ μνηστεῖαι τινὲς κατὰ τὸ τοῖς πολλοῖς συνήθη ἀκόλουθαι ἤδη γεγόνασι, καὶ συμβόλαια μὲν ἐξετέθησαν, οὔπω δὲ ὁ τακτὸς ἐπέστη καιρός, καθ' ὃν ἡ τοῖς χριστιανοῖς ὀφειλομένη εὐλογία εἴωθε γίνεσθαι, καὶ οὐ δὲ αἱ συνήθεις ἐπὶ τοῖς μνηστευσαμένοις εὐχαὶ διὰ τοῦ ἱερέως ἐξεφωνήθησαν, ταύτας μνηστείας μὲν ἀκριβεῖς ὅσον κατὰ τὴν ἐκκλησιαστικὴν ἀκριβολογίαν, μὴ δὲ εἶναι μὴ δὲ ὀνομάζεσθαι· ὡς ἁπλῶς δὲ ἀρεσκείας ἀνθρώπων, δι' ἐπιδρώσεως κατησφαλισμένας, τὸ ἐνδρομὸν ἐπιφέρεσθαι. ΤΟΥ ἈΥΤΟΥ. Ἐνεργεῖν δὲ τὸν παλαιὸν νόμον τὸν ἐπὶ τῇ μνηστείᾳ ἐκφωνηθέντα, ἐν τοῖς κεκωλυμένοις προσώποις μόνον ἐπὶ τῇ ἀρραβωνισθείσῃ μνηστῇ, ἀλλὰ τὸ πρῶτον τῆς παρὰ χριστιανοῖς ἐμπολιτευομένης καταστάσεως. εἰ γὰρ ἡ μὴ μνηστεία ἐστὶ κατὰ τὸ ἀκριβὲς ἐντελής τὸ γινόμενον, δὴ ὅτι σκοπὸν ἔχειν μνηστείας δοκεῖ, καὶ θεμέλιος γάμου ἐπίθεσι

προ-

προκαταβάλλεται. καλῶς ἂν ἔχοι τὰ κεκωλυμένα τῷ νόμῳ πρόσωπα, καὶ αὖθις κωλύεσθαι· καὶ μηδεμία εἰς γυναῖκα λαμβάνειν, ἣν ὁ παλαιὸς νόμος, μνηστὴν τινὸς γενομένην, διὰ τῆς μνηστείας λυομένης, οὐκ ἀφῆκεν ἑτέρῳ κατὰ γάμον συνάπτεσθαι.

ΝΕΑΡΑ΄. Ὅτι ἐὰν ἀτελὴς γένηται μνηστεία, καὶ οὔπω δεκτὴ γάμου, παράνομος ἐστὶν ἡ μνηστεία, καὶ ἀντ' οὐδενὸς λογίζεται. ΝΟΜΟΣ. Ἡ μανία ἐμποδίζει τὴν μνηστείαν· ἐπιγενομένη δὲ οὐ λύει τὴν συστᾶσαν.

## ΠΕΡΙ ΜΑΝΙΑΣ.

Ἡ δὲ ρι α΄ νεαρὰ τοῦ καίσαρος λέοντος, καὶ ἡ ρι β΄ τοῦ αὐτοῦ, καὶ μανίας ἐπιγενομένης τῇ μνηστείᾳ, λύεσθαι τὸν γάμον διορίζονται· πλὴν εἰ μὲν πρὸ τοῦ γάμου, ἢ μετὰ τὰς ἡμέρας τοῦ γάμου ἡ μανία ἐν τῷ μνηστήρων ἐπιγένηται. αὐτίκα φασὶ καὶ ἡ διάλυσις τοῦ γάμου γενήσεται· εἰ δὲ μετὰ τὸν γάμον, εἰ μὲν ἡ μνηστὴ εἰς μανίαν περιπέσοι, μὴ κατ' ἐπιβουλὴν τοῦ οἰκείου ἀνδρὸς, μήτε μὴν συνειδότος αὐτοῦ τὴν πανουργίαν, ἀλλ' ἑτέρωθεν τοῦ πάθους ἐπισυμβάντος, μέχρι τριετοῦς ἔσω φέρειν τὴν δυστυχίαν τὸν ἄνδρα, καὶ τῆς κατηφείας ἀπολαύειν· καὶ εἴγε μὴ ἐν χρόνῳ τοσούτῳ λύσις εἴη τοῦ κακοῦ, μὴ δὲ πρὸς τὰς οἰκείας ἐπανέλθοι φρένας ἡ τὴν μανίαν νοσοῦσα, τηνικαῦτα διασπᾶσθαι τὴν κοινωνίαν, καὶ τῆς ἀνυποίστου συμφορᾶς ἐλεύθερον εἶναι τὸν ἄνδρα. εἰ δὲ ὁ μνηστὴρ εἰς μανίαν περιπέσοι, ἐφ' ὅλοις ἔτεσι πέντε τῶν συναπτομένων, μὴ διαζεύγνυσθαι· εἰ δὲ μετὰ τὴν τοῦ τοσούτου χρόνου περίοδον μὴ γένοιτό τις ἀπαλλαγὴ τῆς δυστυχίας, μὴ δὲ πρὸς ἀναφρόνησιν ὁ μεμηνὼς κατασταίη, τηνικαῦτα διατέμνεσθαι τὴν γαμήλιον κοινωνίαν, μηδεμιᾶς μηδετέρῳ μέρει προσγινομένης καινοτομίας. Ὁ πατὴρ τῆς ὑπεξουσίας, δύναται πέμπειν διαζύγιον, καὶ λύειν τὴν μνηστείαν. εἰ δὲ μετὰ τὴν μνηστείαν αὐτεξουσία γένηται ἡ θυγάτηρ, οὐ δύναται λοιπὸν ὁ πατὴρ τὴν ἤδη γενομένην καταλύειν μνηστείαν· ὅθεν κἄν

τινα λόγῳ προικὸς ἐπιδέδωκεν, ἐν τῇ τοιαύτῃ μνηστείᾳ, οὐδὲ τοῦτα ἀναλαμβάνεσθαι δύναται, ἀνυπεξουσίας ὡς εἴρηται γενομένης τῆς κόρης. Ὁ μνηστευσάμενος κόρην, καὶ μὴ συμφωνήσας χρόνον ἐν τῇ μνηστείᾳ, ὀφείλει ταύτην εἰ μὲν ἐν τῇ αὐτῇ ἐπαρχίᾳ διάγει, ἔσω διετίας γαμεῖν· εἰ δὲ ἐν ἀποδημίᾳ, ἔσω τριετίας· εἰ δὲ ὑπερβῆται, δύναται ἡ κόρη ἑτέρῳ συνάπτεσθαι. Σημείωσαι δὲ ὅτι τὸ τοιοῦτον, ἐπὶ ἐφήβων νοεῖται. Ἐξ εὐλόγου αἰτίας, καὶ περαιτέρω τριετίας ὑπερτίθεται ἡ μνηστεία, τυχὸν διὰ νόσον τοῦ μνηστῆρος, ἢ τῆς μνηστῆς, ἢ θάνατον γονέων, ἢ διὰ κεφαλικὰ ἐγκλήματα, ἢ μακρὰς ἀποδημίας ἐξ ἀνάγκης γινομένας. Μνηστεύεταί τις καὶ παρὼν δι' ἑαυτοῦ, καὶ διὰ μέσου, καὶ δι' ἐπιστολῆς. Καὶ μεταξὺ ἀπόντων γίνεται μνηστεία, ἐὰν μέντοι δέξωνται τὸ πραχθέν. Τὸ πένθος τοῦ ἀνδρὸς, οὐ κωλύει τὴν γυναῖκα μνηστευθῆναι. Οἱ τῶν μαινομένων παῖδες κἂν ὑπεξούσιοι ὦσιν, οὐ δέονται τῆς τῶν πατέρων αὐτῶν συναινέσεως, γάμῳ συναλλάσσοντες δηλονότι καὶ μνηστείᾳ, ἀλλ' ἐν μὲν Κωνσταντινουπόλει, κρίσει τοῦ ἐπάρχου τῆς πόλεως· ἐν δὲ ταῖς ἐπαρχίαις κρίσει τῶν ἀρχόντων, ἢ τῶν ἐπισκόπων, παρουσίᾳ τῶν κουράτωρ τοῦ ἰδίου πατρὸς, τὸν γάμον ἐπιτελοῦσιν. Μετὰ τὸ συστῆναι τὴν μνηστείαν, οὐ δύνανται οἱ τῆς κόρης γονεῖς ἀναγκάζειν τὸν μνηστῆρα, παρέχειν ἐγγυητὴν καὶ λαμβάνειν τὴν προῖκα, διαπανηρὸν ὄντα πολλάκις, ἢ μὴ διδόντος, διαλύειν τὴν μνηστείαν· ἀλλ' ἐκ παντὸς μὲν τελεῖται ὁ γάμος, παρέχεται δὲ ἡ προὶξ, καὶ ἐν συνεστῶτι τῷ γάμῳ, εἰ βλέπει ἡ γυνὴ δαπανώμενον τὴν προῖκα, τότε δύναται κινεῖν.

ῥωμαϊκὸν

## ΠΕΡῚ ΤΟΥ ἈΠΑΙΤΕῖΣΘΑΙ τὸ γαμικὸν πρόστιμον· ἡ δεκάτη νεαρὰ τοῦ καίσαρος Λέοντος φησίν.

Οὕτως οὖν καὶ ἀπὸ τοῦ νῦν κελεύσματι νόμου τὸ ἀπὸ τῆς συνηθείας βεβαιωθὲν, καὶ κρατείτω, καὶ διαιτάτω, καθάπερ ἄρχει τοῦ παρόντος, καὶ προστίμου εἰς πράξει, ὁ τὴν μνη-

στείαν

στείαν ἀνατρέπων ζημιούσθω.

ΠΕΡΙ ΛΥΣΕΩΣ ΜΝΗΣΤΕΙΑΣ.

Λύεται μνηστεία, καὶ εἰ ὑπὸ δημοσίων πραγμάτων ἐγγαλ-στριος ἢ γυνὴ περιφόρατου, καὶ διὰ καινοτάτην θρησκείας ἀγνοηθεῖσαν, καὶ δογμάτων διαφοραί, καὶ διὰ τρόπων αἰσχρότητα, ἢ τύχης ἐναλλαγήν, ἢ δι᾽ ἀποκαρσιν ἀληθῆ, καὶ τῆς πρὸς τὸν μονήρη βίον μετάβασιν, ἢ διὰ τὸ ἀποκεῖσθαι τὴν οὐσίαν αὐτοῦ, ἢ ἄλλῳ λειτουργήματι ἔνοχον εὑρεθῆναι.

ΠΕΡΙ ΑἹΡΕΤΙΚΩ͂Ν.

Οἱ τῶν αἱρετικῶν παῖδες, ἐὰν γένωνται χριστιανοί, ἀναγκάζονται τοὺς ἰδίους γονεῖς τρέφειν αὐτούς, καὶ ἐνδύειν, καὶ προῖκα, ἢ προγάμου δωρεὰν ὑπὲρ αὐτῶν δοῦναι, κατὰ τὸ μέτρον τῆς οὐσίας.

ΠΕΡΙ ἈΡΡΑΒΩ͂ΝΩΝ. Τιτλ. β΄.

Ὁ ἀρραβὼν, φύσιν ἔχει τοιαύτην, ἵνα ὁ μὲν λαβὼν τὸν ἀρραβῶνα, εἰ παραιτήσεται διπλάσιον ὅπερ ἔλαβεν ἀποδῷ· ὁ δὲ δεδωκὼς ἵνα ἐκπέσῃ τῶν ἀρραβώνων. Ἐὰν εἷς τῶν μνηστευσαμένων τελευτήσῃ, μηδὲν ἐμποδίσας τοῦ γάμῳ, ἀναδίδοται ἀνελλιπῶς ὁ δοθεὶς ἀρραβών. Ἀρραβώνων δὲ ἐπ᾽ ὀνόματι μνηστείας δοθέντων, ἐὰν ἐν τῷ μεταξὺ ὁ μνηστὴρ, ἢ ἡ μνηστὴ τελευτήσῃ, πρὸ τοῦ τὸν γάμον γενέσθαι, τὰ δοθέντα χάριν ἀρραβῶνος κελεύομεν ἀποκαταστῆναι. εἰ μὴ ἄρα αἰτίαν εἰς τὸ μὴ ἐπιτελεσθῆναι τοὺς γάμους, τὸ τελευτῆσαν πρόσωπον ἤδη παρέχει· ἴσως γὰρ ἤδη δέδωκεν ὁ ἀνὴρ αἰτίαν, εἰς τὸ μὴ γενέσθαι τὸν γάμον, καὶ ἀποπεσὼν τῇ ἀπωλείᾳ τῶν ἀρραβώνων τότε ἐτελεύτησεν. Πολλάκις πατὴρ ὑπὲρ τῆς ἰδίας θυγατρὸς δεξάμενος ἀρραβῶνα τελευτᾷ, μηδέπω γενομένων τῶν γάμων· εἶτα μετὰ τὸν ἐκείνου θάνατον, ἢ ἐπίτροπος, ἢ κουράτωρ παρασκευάζει λυθῆναι τὴν μνηστείαν, λέγει οὖν ἡ διάταξις ὅτι οὐ χρὴ τὰ ἐν τῇ ζωῇ τοῦ πατρὸς δοκιμασθέντα καὶ συναρέσαντα

σιν τα, παραχαράττεσθαι. ΠΕΡΙ ΑἹΡΕΤΙΚΩΝ..

Οἱ ἑτερόδοξοι ἐν ἀγνοίᾳ εἰ ποιούμενοι πρὸς ἑαυτοὺς μνηστείαν, δώσωσιν ἀῤῥαβῶνας, δύνανται ἀναλαβεῖν ἅ τι δεδώκασι, λύοντες τὴν μνηστείαν· εἰ γὰρ ᾔδεισαν τὸ ἀλλότριον τῆς πίστεως, καὶ ἔδωκαν ἀῤῥαβῶνας γάμου, τότε ὁ μὲν ἀνὴρ ζημιοῦται ἃ ἔδωκεν, ἡ δὲ γυνὴ δίδωσιν ἐν διπλῷ ἃ ἐδέξατο. Ἐὰν γυνὴ αὐτεξουσία, τελείαν ἄγουσα ἡλικίαν, ἀῤῥαβῶνας δεξαμένη παραιτῆται τὸν γάμον, διπλοῦς ἀναδιδότω αὐτούς· εἰ δὲ ἐλάττων οὖσα συγγνώμην ἡλικίας ᾔτησε, καὶ ἀῤῥαβῶνας ἔλαβε, πάλιν τὸ διπλάσιον ἀναδιδότω. Ἐὰν δὲ ἀφῆλιξ οὖσα καὶ αὐτὴ συγγνώμην ἡλικίας οὐκ ᾔτησεν, αὐτὸ δ' ἁπλοῦν ὅπερ ἔλαβεν ἀποκαταστήσει, φαινόμενον εἶναι παρ' αὐτοῖς· οὐ δεῖ γὰρ αὐτὴν κερδαίνειν ἐξ ἑτέρου ζημίαν, κἂν ἀφῆλιξ οὖσιν. εἰ δ' ἐδαπανήθη τὸ πρᾶγμα, οὐ ζημιωθήσεται ὑπὲρ αὐτοῦ ἡ γυνή.

ΠΕΡΙ ΑἸΤΗΣΕΩΣ ΣΥΓΓΝΩΜΗΣ ἩΛΙΚΙΑΣ.

Γίνεται δὲ ἡ αἴτησις τῆς συγγνώμης τῆς ἡλικίας, τοῖς μὲν ἀνδράσιν, ἀπὸ εἰκοστοῦ χρόνου ἕως εἰκοστοῦ ε΄· ταῖς δὲ θηλείαις ἀπὸ ὀκτωκαιδεκάτου, μέχρι τοῦ κε΄ χρόνου· αἰτούμενοι βασιλέα ἀπώσασθαι τοὺς κουράτωρας αὐτῶν, ὡς αὐτοὶ μόνοι τῶν ἰδίων πραγμάτων ποιεῖσθαι φροντίδα δυνάμενοι, προλήψεως ἀγαθῆς δηλονότι μαρτυρούμενοι, καὶ ἡνίκα αὐτὰ δὲ μετὰ τὴν αἴτησιν, πράττουσι τὰ τῶν τελείων, οὐ μέντοι γε χωρὶς δεκρέτου, ἐκποιοῦνται τι τῶν αὐτοῖς προσηκόντων. Εἰ δὲ καὶ πατὴρ κόρης, ἢ μητὴρ ἀῤῥαβῶνας ἔλαβον, ἢ πάππος ὑπὲρ ἐγγόνης τελείας οὔσης ἡλικίας, καὶ αὐτοὶ διπλάσιον παρεχέσθωσαν. εἴπερ δυνάμενοι προβῆναι τοὺς γάμους, παραιτοῦνται τοῦτο. εἰ δὲ ἀνυπόστατος ὁ γάμος μέλλει εἶναι, αὐτοὶ οἱ ἀῤῥαβῶνες ἀναδιδόσθωσαν ἁπλοῖ. εἰ δὲ καὶ μὴ ἦν ἀνυπόστατος ὁ γάμος, δι' ἄλλην δὲ αἰτίαν παραιτοῦνται, εἰ μὲν ᾔδεισαν καὶ πρὸ τῆς μνηστείας τὴν αἰτίαν, ἑαυτοὺς ἐγκαλείτωσαν διὰ τὸ μὴ

τοῦ-

τοῦ τὸ μέμνηστεῦσθαι τό· εἰ δὲ ἠγνόουν, ἢ πολλάκις ἡ αἰτία μετὰ τὴν μνηστείαν συμβῇ, τὸ ἁπλοῦν ἀποδιδόσθω. τὰ δὲ αὐτὰ καὶ ἐπὶ μνηστῆρος λέγομεν τοῦ τὴν μνηστείαν παραιτησαμένου. Εἰ καὶ νόμοις ἀπηγορευμένοι οὐκ εἰσὶν, οἱ ἐλπισθέντες γάμοι, μὴ δὴ τοὺς δοθείσας τοῖς μνήστροις ἀρραβῶνας, ἢ μνηστὴ τὴν συνάφειαν τοῦ μνηστῆρος, διὰ τὴν αἰσχρὰν αὐτοῦ ἢ ἄσωτον ἀναστροφὴν, ἢ τὴν τῆς θρησκείας, ἢ τοῦ δόγματος διαφορὰν παραιτεῖται, ἢ διατοῦτο ὅτι ὡς ἀνὴρ συνάφειαν ἐξ ἧς ἐλπὶς γονῆς τικτούσης ποιεῖν οὐ δύναται, ἢ δι' ἄλλην εὔλογον αἰτίαν· εἰ μὲν ἀπεδείχθη πρὸ τοῦ δοθῆναι τοὺς αὐτοὺς ἀρραβῶνας, τοῦτο αὐτὸ τὴν γυναῖκα, ἢ τοὺς αὐτῆς γονεῖς ἐγνωκέναι, ἑαυτοὺς ὀφείλουσιν ἐγκαλεῖν. ἐὰν δὲ ταῦτα ἀγνοοῦντες, τοὺς ὑπὲρ τῇ μνηστείᾳ ἀρραβῶνας ἐδέξαντο, ἢ μετὰ τοὺς δοθείσας ἀρραβῶνας αἰτία τις εὔλογος μεταμελείας παρενετέθη, αὐτῶν μόνων ἀποδιδομένων, ἐπὶ τοῦ ἄλλου ἁπλοῦ τιμωρείας, ἐλεύθεροι φυλαττέσθωσαν.

## ΠΕΡΙ ἈΡΧΟΝΤΩΝ.

Οὐ χρὴ τοὺς ἄρχοντας ἐξ ἐκείνης τῆς ἐπαρχίας ἧς ἄρχουσι μνηστεύεσθαι, εἰ δὲ τοῦτο ποιήσουσιν, ἔξεστι τῇ κόρῃ καὶ τοῖς γονεῦσιν αὐτῆς, ἢ ἐπιτρόποις, ἢ κουράτορσι, παραιτεῖσθαι τὸν γάμον, καὶ κερδαίνειν τοὺς ἀρραβῶνας. τοῦ αὐτοῦ κρατοῦντος καὶ ἐπὶ υἱῶν καὶ ἐκγόνων καὶ συγγενῶν, καὶ δομεστίκων ἢ συγκαθέδρων, καὶ ἐπὶ πάντων τῶν οἰκείων αὐτῶν, ἐὰν κατὰ σπουδὴν τοῦ ἄρχοντος ἐμνηστεύσαντο. εἰ μέντοι γε μετὰ τὴν ἀρχὴν βούλεται ἡ κόρη συναφθῆναι αὐτῷ, ἔρρωται ὁ γάμος. σημείωσαι δὲ ὅτι τότε κωλύει τὸ συνάλλαγμα, ὅτε ὁ τὸ ὀφφίκιον χειρίζων, ἤγουν ἐνέργειαν τινὰ καὶ ἀρχὴν μεταχειριζόμενος, δύναται φοβερὸς εἶναι τοῖς γονεῦσι τῆς κόρης· ὡς εἴ γε ἄρχων μὲν ἦν, οὐκ ἦν δὲ ἱκανὸς κωλῦσαι τοὺς τῆς κόρης γονεῖς, οὐ κεκώλυται ἡ μνηστεία. Καὶ ἡ δεκάτη καὶ ε. νεαρὰ τοῦ καίσαρος λέοντος οὕτω φησί, θεσπίζομεν ὥσπερ τοὺς υἱοὺς καὶ τοὺς ἄλλους ἄρρενας συγγενεῖς καὶ οἰκείους, οὕτω καὶ θυγατέρας τὰ

τὰ ἄλλα τοῦ θήλεως μέρους πρόσωπα, τὴν ἐν ἑκάστῃ ἐπαρχίᾳ διαλαχόντων ἄρχειν, εἰς μνηστείαν διδόναι κωλύεσθαι. Ἐὰν μνηστὴρ, ἢ καὶ μνηστὴ μετὰ τὸ λαβεῖν ἀῤῥαβῶνας, ἢ καὶ δοῦναι, τὸν μονήρη βίον ἀγαπήσῃ, ὁ μὲν μνηστὴρ ἀναλαμβάνει οὓς δέδωκεν· ἡ δὲ μνηστὴ, οὓς ἔλαβεν ἀναδίδωσι μόνον, καὶ οὐ τὸ διπλοῦν ἀναγκάζεται παρασχεῖν, τοῦ κοινῆς ἑκατέρου μέρους συγχωρουμένου.

## ΠΕΡῚ ΔΩΡΕΩ͂Ν ΜΝΗΣΤΕΊΑΣ, τίτλ. γ΄.

Ἐὰν ὁ ἀνὴρ μὴ ὑποδεξάμενος προῖκα, βούλεται τὸ ἐν τῇ συνηθείᾳ γινόμενον προῖκα ποιῆσαι τῇ ἰδίᾳ μνηστῇ, μελλούσῃ αὐτῷ γαμεῖσθαι· εἰ μὲν δωρήσεται πράγματα ἰδικῶς, καὶ μετὰ ταῦτα δέξεται αὐτὰ παρ' αὐτῆς εἰς προῖκα, καὶ ἡ δωρεὰ τελεία ἐστὶν, ὡς πρὸ τοῦ γάμου γενομένη, καὶ ἡ προὶξ συνίσταται, ὡς ἐπὶ δόσεως προελθοῦσα· ἐὰν δὲ γράψῃ μόνον ὅτι ὑπεδέξατο προῖκα, μηδὲν ὑποδεξάμενος, οὐδεμία ἐστὶν ἀπαίτησις, τῶν μὴ ἐπιδοθέντων αὐτῷ πραγμάτων. Τῶν προγαμιαίων δωρεῶν αἱ δεσποτεῖαι, ὀφείλουσιν ἐντεῦθεν ἤδη συνίστασθαι, ὑπὸ αἵρεσιν δὲ ἀνατρέπεσθαι, ἐὰν μὴ προβῶσιν οἱ γάμοι.

Ἐὰν μὴ ἰδικῶς τραδιτεύσῃ τις, τῇ ἰδίᾳ μνηστῇ ἃ ἐδωρήσατο αὐτῇ, κἂν ὁμολογήσῃ ἔχειν αὐτὰ ἐν προικὶ, οὐδὲ ἀπαιτεῖται· τοῦτο νόει ἐπὶ μόνης μνηστῆς, ἐφ' ἧς καὶ ἐλέχθη. εἰ δὲ γυναικί τις ἐχαρίσατο, κἂν ἐδωρήσατο αὐτῇ τὰ δωρηθέντα, ὀφείλει ἐπιμένειν τῇ αὐτῇ βουλήσει. Ἐάν τις δωρήσηται τῇ μνηστῇ πράγματα ἐπὶ τούτῳ τῷ ὅρῳ, ἵνα ὅτε προβῇ ὁ γάμος, τότε γένηται αὐτῆς δέσποινα, ἄχρηστος ἐστὶν ἡ τοιαύτη δωρεὰ, καὶ ὁ λογισμὸς δῆλος· εἰς καιρὸν γὰρ ἀναφέρεται γάμου, ἐν ᾧ μεταξὺ τῶν συνοικούντων σύστασιν οὐ δέχεται δωρεά. Καὶ εἰκότως· συνισταμένου γὰρ τοῦ γάμου, οὐ δύναται ὁ ἀνὴρ δεσπότης γενέσθαι πράγματος, τῇ γυναικὶ διαφέροντος· ἢ ἡ γυνὴ δεσπότις πράγματος, ἀνήκοντος τῷ ἀνδρί. εἰ μὲν γὰρ ὡς μνηστῇ ὁ ἀνὴρ ἐδωρήσατο, ἔῤῥωται ἡ δωρεά· ἐπεὶ δ' ὡς γυναικὶ ἐδωρήσατο.

τοῦτο

τοῦτο γὰρ δηλοῖ ὅτι προβῇ ὁ γάμος, ἀνίσχυρός ἐστιν ἡ τοιαύτη κατὰ τὸν κανόνα τὸν λέγοντα, μέσον ἀνδρὸς καὶ γυναικὸς δωρεὰ οὐκ ἔρρωται.

## ΠΕΡΙ ἈΦΗΛΙΚΩΝ.

Ὅτι ἐὰν δωρεῖται τινὰ πραγμάτων μετὰ τῆς πρεπούσης συμμετρίας, ὁ ἐλάττων τῶν εἰκοσιπέντε ἐνιαυτῶν, ἐν ᾧ καιρῷ τῆς μνηστείας ποιήσηται, οὐκ ἀνακαλεῖται αὐτὴν, ὡς προκαλύμματι τῆς ἡλικίας. ῥωμαϊκόν

Ὅσα ὁ ἀνὴρ δωρεῖται τοῖς γονεῦσι τῆς μνηστῆς ἐπὶ τῷ γενέσθαι τὸν γάμον, ταῦτα μὴ γενομένου τοῦ γάμου, ἀναδίδοται αὐτῷ. γυνή τις μέλλουσα γαμεῖσθαι, δόλον ἐποίησε τῷ ἀνδρὶ περὶ τὴν προῖκα, μηδὲν ῥητῶς ἐπαγγειλαμένη, ἀπατήσασα δὲ αὐτὸν ἐλπίδι μεγάλης προικὸς, καὶ διὰ τοῦτο καὶ ὁ ἀνὴρ ἐπηγγείλατο ψιλῶς καὶ ἐπηρωτήθη, λόγῳ μνήστρων δοθῆναι τῇ γυναικὶ ποσότητα φανερὰν, τυχὸν διακοσίων ῑι. καὶ συνέστη ὁ γάμος ἐπὶ τούτοις, εἶτα ἐτελεύτησεν ὁ ἀνὴρ ἐπὶ ἀδελφῷ κληρονόμῳ, ἡ γυνὴ τοίνυν ἐκίνει κατὰ τοῦ ἀδελφοῦ καὶ κληρονόμου τοῦ ἀνδρὸς, ἀπαιτοῦσα αὐτὸν τὰ ἐκ τῆς ἐπαγγελίας ἤγουν ἐπερωτήσεως. ἀντιγράφει οὖν ἡ διάταξις οὕτω πρὸς τὸν ἀδελφὸν, τὴν γὰρ ἐπαγγελίαν ἀπὸ τοῦ ποτὲ ἀδελφοῦ μνήστρων ἕνεκεν γενομένην, τὴν δὲ εἰς ἐπερώτησιν κατενεχθεῖσαν, ἐπιζητεῖ ἡ γυνὴ, διὰ τοῦτο οὐκ ὀφείλει παρασχεθῆναι αὐτῇ, ἐπειδὴ ἐν τῇ προικὶ τὸν ἄνδρα ἠπάτησεν. Ἐπειδὴ τῇ μὲν μνηστῇ δυνατὸν δωρεῖσθαι, οὐκέτι δὲ καὶ τῇ γαμετῇ, ἐζητεῖτο ἄρα ἐὰν γένηται δωρεὰ ἐν αὐτῇ τῇ ἡμέρᾳ τῶν γάμων, ὡς πρὸς μνηστὴν γενομένη ἔρρωται, ἢ ὡς πρὸς γαμετὴν ἀνυπόστατός ἐστιν. λέγει τοίνυν ἡ διάταξις, ὅτι ἐν τῇ τοιαύτῃ ἀδηλίᾳ, δεῖ ζητεῖν ποῦ τῆς γυναικὸς οὔσης, ἡ δωρεὰ γέγονεν· ἵνα εἰ μὲν ἐν τῷ οἴκῳ ἦν τῷ ἰδίῳ, δέξῃ πρὸς μνηστὴν ἡ δωρεὰ γεγονέναι, διὸ καὶ ἔρρωται· εἰ δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς, πρὸς γαμετήν. ἔκτοτε γὰρ γαμετὴ, καὶ οὐ μνηστὴ δοκεῖ εἶναι ἡ γυνή. Ἡ γενομένη παρὰ

τῆς

τοῦ πενθεροῦ, ἢ τῆς πενθερᾶς πρὸς τὴν νύμφην, ἢ τὸν γαμβρὸν δωρεά, οὐ δὲ ἀπὸ θείας ἀντιγραφῆς ἀναιρεῖται τοῦ γάμου δηλονότι λυομένου. οὐ δεῖ γὰρ τὸν βασιλέα εἰς βλάβην ἑτέρων κενὰς χάριτας διδόναι.

## ΠΕΡῚ ΦΙΛΉΜΑΤΟΣ ΜΝΗΣΤΉΡΩΝ.

Ἐὰν ἐφίλησεν ὁ μνηστὴρ τὴν μνηστὴν ἐν τῷ τῆς μνηστείας καιρῷ, καὶ μετὰ ταῦτα ἓν τῶν ἀμφοτέρων τελευτῆσαι συνέβη, τὸ ἥμισυ τῆς δωρεᾶς ἀνατρέπεται, καὶ τὸ ἥμισυ ἔχει ὁ ζῶν. φιλήματος δὲ μὴ γινομένου, εἴτε ὁ μνηστὴρ τελευτήσει, εἴτε ἡ μνηστή, πᾶσι τρόποις ἀναδίδοται ἡ δωρεά. ἐὰν δὲ ἡ μνηστὴ ἐδωρήσατο τῷ μνηστῆρι, καὶ συνέβη ἓν τούτων τελευτῆσαι, ἀναδίδοται πάντως ἡ δωρεά, εἴτε γέγονεν, εἴτε μὴ γέγονε φίλημα. Ἐὰν ὁ μνηστὴρ δωρήσηται τινὰ τῇ ἰδίᾳ μνηστῇ, καὶ ὁ πενθερὸς ἄν τι δωρήσηται αὐτῷ τινά, μὴ γενομένων δὲ τῶν γάμων, ὁ μνηστὴρ ἀφέληται ἅπερ ἐδωρήσατο· οὐ καλῶς ὁ πενθερὸς τὴν ἰδίαν δωρεὰν ἀνατρέπει, ἀλλὰ μᾶλλον ὀφείλει τὰ ἁρπαγέντα παρὰ τοῦ μνηστῆρος ἐπιζητεῖν.

## ΠΕΡῚ ΔΑΝΕΙΣΤΩ͂Ν.

Οἱ δανεισταὶ οἱ προγενέστεροι τοῦ ἀνδρός, εἰ μὴ ὑποθήκας ἔχουσιν, οὐ δύνανται τὰ τῇ μνηστῇ δωρηθέντα παρ' αὐτοῦ πράγματα ἀφαρπᾶν, εἰ μὴ ἀπὸ ἰδικῶς αὐτοῖς ταῦτα ὑπέκειτο.

Μὴ νομίσης ὅτι ἡ γυνὴ ἐπὶ ταῖς ἐνταῦθα φανταζομέναις δωρεαῖς, σιωπηρὰς ἔχει ὑποθήκας· διότι αὗται, ἐπὶ τῇ πρὸ γάμου δωρεᾷ, ἤτοι τῷ ὑποβόλῳ ἐδόθησαν.

## ΠΕΡῚ ΤΩ͂Ν ΠΡΟΞΕΝΟΎΝΤΩΝ ΓΆΜΟΥΣ.

Ἡ διάταξις βούλεται τὸν προξενοῦντα γάμον, μάλιστα μὲν μηδὲν λαμβάνειν· εἰ δὲ ὅλως ἀνέχεται λαβεῖν, εἰ μὲν μηδὲν συνεφώνησε περὶ τούτου, μηδὲν ὅλως λαμβάνειν, εἰ δὲ καὶ συνεφώνησε, μὴ ὑπὲρ τὴν εἰκοστὴν μοῖραν τῆς προικὸς καὶ τῆς προγαμιαίας δωρεᾶς ἐπιζητεῖν.

## ΠΕΡΙ ΟΡΟΥ ΚΑΙ ΔΙΑΘΕΣΕΩΣ ΓΑΜΟΥ. Τίτλ, δ.

Γάμος ἐστὶν, ἀνδρὸς καὶ γυναικὸς συνάφεια, καὶ συγκλήρωσις πάσης ζωῆς, θείου τε καὶ ἀνθρωπίνου δικαίου κοινωνία.

Ἐννόμους δὲ γάμους μεταξὺ ἀλλήλων συνιστῶσι Ῥωμαῖοι, ἵνα τὰ περὶ τῶν γάμων τοῖς νόμοις διηγορευμένα φυλάξωσιν· δεῖ δὲ τοὺς μὲν ἄρρενας, ἐφήβους εἶναι· τὰς δὲ θηλείας, ἀνδρὸς δεκτικάς. τουτέστι τοὺς μὲν, ὑπερβαίνειν τὸν τεσσαρεσκαιδέκατον χρόνον, τὰς δὲ μείζονας εἶναι τῶν δώδεκα ἐνιαυτῶν. ταῦτα δὲ λέγομεν εἴτε αὐτεξούσιοι, εἴτε ὑπεξούσιοι εἰσὶν οἱ πρὸς γάμον συναπτόμενοι. οὐ γίνεται γάμος, εἰ μὴ συναινέσωσιν οἱ συναπτόμενοι καὶ οἱ ἔχοντες αὐτοὺς ὑπεξουσίους· ὁ δὲ χωρὶς συναινέσεως τῶν γονέων γενόμενος γάμος, ἀνίσχυρός ἐστιν. Ἡ ἥττων τῶν ιβ ἐτῶν γαμεθεῖσα, τότε γίνεται νόμιμος γαμετὴ, ὅτε παρὰ τῷ ἀνδρὶ πληρώσῃ τὰ ιβ ἔτη.

Ἀπὼν ὁ ἀνὴρ δύναται διὰ μέσου, ἢ δι' ἐπιστολῆς γαμεῖν, τῆς γυναικὸς εἰς τὸν οἶκον αὐτοῦ ἀνιούσης. εἰ δὲ ἡ γυνὴ ἀπολιμπάνεται, οὐ δύναται τοῦτο γενέσθαι· δεῖ γὰρ εἰς τὸν οἶκον τοῦ ἀνδρὸς ἀνελθεῖν τὴν γυναῖκα. καὶ ἐὰν ἀποθάνῃ πρινὴ ἐπανέλθῃ, πενθεῖται παρὰ τῆς γυναικὸς μέχρις ἐνιαυτοῦ, καὶ συμβαίνει παρθένον ἔχειν προῖκα, καὶ περὶ προικὸς ἀγωγήν· ἴσως γὰρ δι' ἐπιστολῆς ἡ προὶξ συνέστη, ἔτι καὶ τὴν πρὸ γάμου δωρεὰν, ἤτοι τὸ ὑπόβολον· τοῦτο γὰρ καὶ περὶ προικὸς ἀγωγήν. ἕτερόν ἐστιν ἔνθα τοὐναντίον ἡ γυνὴ δι' ἐπιστολῆς, ἢ δι' ἀγγέλου τὸν ἄνδρα προτρέπεται· τούτῳ γὰρ τῷ τρόπῳ, ἤγουν δι' ἐπιστολῆς τῆς γυναικὸς συστῆναι γάμον ἀδύνατον· πρὸς γὰρ τὸ γάμον κατὰ τοῦτον συστῆναι τὸν τρόπον, δεῖ τὴν γυναῖκα κατελθεῖν εἰς τὸν τοῦ ἀνδρὸς οἶκον, οὐ μὴν εἰς τὸν τῆς γυναικὸς οἶκον τὸν ἄνδρα. ἅμα γὰρ εἰ ἀνέλθοι εἰς τὸν οἶκον τοῦ ἀνδρὸς, πεισθεῖσα τοῖς γράμμασιν ὡς εἶπον ἢ τῷ ἀγγέλῳ, συνίσταται γάμος καὶ μήπω τῆς

φησὶ καὶ δημευέσθω, καὶ μὴ δὲ παῖδας ἔστωσαν οἱ τικτόμενοι, κἂν συγχώρησιν ποιεῖσθαι περὶ αὐτήν. Ἡ αὐτεξουσία τελείαν ἄγουσα ἡλικίαν, καὶ ἄκοντος τοῦ πατρὸς, νομίμως συνάπτεται ἀνδρί. Ἐὰν ὀρφανὴ πληρώσῃ τὸν εἰκοστὸν πέμπτον ἐνιαυτὸν, καὶ ἕτερον ἕνα χρόνον, καὶ δώσῃ τοὺς λόγους ὁ ἐπίτροπος οὕτω δύναται ταύτην γαμεῖν. Τὸν γάμον, οὐ τὸ συγκαθευδῆσαι ἀλλήλοις τὸν ἄνδρα καὶ τὴν γυναῖκα, συνίστησιν· ἀλλ' ἡ γαμικὴ συναίνεσις. ΣΧΟΛ. Τὴν σύστασιν τοῦ γάμου οὐ τὸ συγκοιμηθῆναι τὸν ἄνδρα τῇ γυναικὶ ποιεῖ, ἀλλ' ἐὰν συμφωνήσωσι πρὸς ἀλλήλους περὶ γάμον οἱ μέλλοντες συνευνάζεσθαι, καὶ ψιλὴν εἰ ποιήσονται τὴν συναίνεσιν ὁ γάμος συνίσταται, ἀλλὰ ταῦτα μὲν κατὰ τὸ παλαιὸν τὸ παρὸν διδάσκει κέλευμα, σήμερον δὲ οὐ ψιλῇ συναινέσει ὁ γάμος συνίσταται· ἀλλ' εἰ μὴ καὶ ἱερολογίαις προβῇ, οὔτε γάμος συνίσταται, οὔτε κωλύονται οἱ συναλλάσσοντες ἀπ' ἀλλήλων χωρίζεσθαι, καὶ τοῦτο διετυπώσατο διὰ νεαρᾶς ὁ ἐν βασιλεῦσιν ἀοίδιμος καῖσαρ Λέων ὁ φιλόσοφος, καὶ ὁ τρισμακάριστος βασιλεὺς καῖσαρ Ἀλέξιος ὁ Κομνηνός· καὶ τῆς ἱερολογίας πληρωθείσης, κἂν μὴ ὁ γάμος προβῇ καὶ σύμμιξις τῶν συμφωνησάντων, γάμος εἶναι δοκεῖ, καὶ τὸ συνάλλαγμα ἄλυτον. εἰς τί δὲ τὸ πρὸν κέλευμα συμβαλεῖταί σοι, ἄκουσον. ἐάν τις τελευτῶν εἴπῃ, δότω ὁ κληρονόμος μου τῇ ἀνεψιᾷ μου τῇ δεῖνι Γ Γι ὅτε γάμον ποιήσῃ, φθάσῃ δὲ ἡ τοιαύτη γυνὴ περὶ γάμου συμφωνίαν ποιήσασθαι πρός τινα, κἂν μὴ συγκοιμηθῇ τῷ ταύτης ἀνδρί, λήψεται τὰ Γ Γι. τὰ λόγῳ λεγάτου καταλειφθέντα αὐτῇ. οὐ γὰρ τὸ συγκαθευδῆσαι, ἀλλ' ἡ τῶν συναλλαττόντων συναίνεσις καὶ ἀρέσκεια τὸν γάμον ἀποτελεῖ. Ὅτε περὶ τοῦ γάμου τοῦ ἀνήβου καὶ ὀρφανῆς κόρης ἀμφιβάλλουσι μήτηρ καὶ συγγενεῖς καὶ ἐπίτροποι, ὀφείλει ὁ ἄρχων τὰ περὶ τούτου διακρίνειν. Ὁ πρὸς ἐλευθέραν μὴ ποιησάμενος πό-

ρον ἐν τῷ σώματι ἔχων συνήθειαν, οὐ παλακὴν, ἀλλὰ γαμετὴν αὐτὴν ἔχειν δοκεῖ. οὐ δύνανται οἱ παῖδες διαλύειν τοὺς ὑπὲρ αὐτῶν γάμους, εἰς βλάβην καὶ ζημίαν τῶν ὑπὲρ αὐτῶν τὰς προῖκας, καὶ τὰς προγαμιαίας δωρεὰς ἐπιδεδωκότων.

καὶ κατὰ τὰ παρ' ἡμῶν ἀρτίως εὐσεβῶς νομοθετηθέντα, ὁ ἐν ἀφροσύνῃ διάγων, μὴ ἀναγκαζέσθω πρὸς γάμον ἐλθεῖν παρὰ τοῦ ἰδίου πατρὸς, κἂν ὑπεξούσιος εἴη. υἱὸς ὑπεξούσιος ἀσώτως πολιτευόμενος, μὴ παραιτείσθω γάμους.

καὶ τοῖς πρὸ ἡμῶν νομοθέταις γέγραπται νόμος, ὡς ἡ ὑπερβᾶσα τὸν πέμπτον καὶ εἰκοστὸν χρόνον τῆς ἡλικίας, δύναται ἐπιρρίπτειν ἑαυτὴν ᾧ τινι βούλεται· μηδαμῶς ἐκ ταύτης τῆς αἰτίας δυναμένου τοῦ πατρὸς γράφειν ταύτην ἀπόκληρον. διὰ τοῦτο θεσπίζομεν, ἵνα εἰ καὶ ὁ πατὴρ αὐτῆς περὶ τὸν γάμον αὐτῆς ἐρραθύμησε, μὴ ἐξεῖναι αὐτῇ ᾧ τινι βούλεται ἑαυτὴν ἐπιρρίπτειν, ἀλλὰ μηνυέτω ἐν μὲν τῇ κωνσταντινουπόλει τῷ ἐπάρχῳ ἢ τῷ κοιαίστωρι· ἐν δὲ ταῖς ἐπαρχίαις τῷ κατὰ τόπον ἄρχοντι, καὶ αὐτοὶ ἀναγκαζέτωσαν τοὺς αὐτῆς γονεῖς ἐκγαμίζειν καὶ προικίζειν κατὰ τὴν τῆς οὐσίας αὐτῶν δύναμιν.

### ΠΕΡῚ ΜΥΣΤΙΚΟΥ͂ ΓΆΜΟΥ.

μηδεὶς μυστικῶς στεφανούσθω, ἀλλὰ παρόντων πλειόνων, ὁ γὰρ τοῦτο κατατολμήσας ἐργάσασθαι, σωφρονιζέσθω τιμωρούμενος, δηλονότι καὶ τοῦ ἱερέως, ὡς τοῖς ἀπρεπέσιν ἑαυτὸν ἐμβάλλοντος, τὰς ἀξίας εὐθύνας εἰσπραττομένου, κατὰ τὴν τῶν ἐκκλησιαστικῶν κανόνων διάταξιν.

### ΠΕΡῚ ἈΚΡΙΒΕΊΑΣ ΝΌΜΟΥ, ΠΕΡῚ ΚΛΗΡΙΚΩ͂Ν, τίτλ. ε.

τοῖς κληρικοῖς ἐπιτέτραπται νομίμως ἔχειν τὰς γυναῖκας. οἱ ψάλται καὶ ἀναγνῶσται, δύνανται νομίμως γαμεῖν· οἱ δὲ ὑποδιάκονοι, καὶ πρεσβύτεροι, καθάπαξ κεκώλυνται. ὅθεν εἰ παρὰ ταῦτα γάμῳ κοινωνήσωσιν, ἐκπίπτουσι τῆς

ἱερω-

ἱερωσύνης, καὶ τῆς ἀξίας αὐτῆς γυμνοῦται. Ἡ κατὰ γνώμην τοῦ πατρὸς γάμῳ συναλλάξασα, δύναται καὶ παρὰ γνώμην τοῦ πατρὸς, ἐπιμένειν τῷ γάμῳ· καὶ οὐ δοκεῖ προσκροῦσαι ὡς εὔλογον αἰτίαν παρέχουσα.

## ΠΕΡΙ ΑΙΧΜΑΛΩΤΟΥ.

Ὁ αἰχμάλωτον ἀγοράσας, καὶ ταύτῃ μιγεὶς ὡς γυναικὶ, ὡς προσλήψει δοκῶν αὐτῇ συγχωρεῖν τὸ τίμημα, εἰς τὴν φυσικὴν εὐγένειαν αὐτὴν ἀνατρέχειν συγχωρεῖ καὶ τοὺς ἐξ αὐτῆς τικτομένους παῖδας, νομίμους ἔχειν.

## ΠΕΡΙ ΒΑΘΜΩΝ ΣΥΓΓΕΝΕΙΑΣ ΚΑΙ γάμων κεκωλυμένων. τίτλ. ς.

Ἡ συγγένεια ἐστὶν, ὄνομα γενικὸν, διαιρεῖται δὲ εἰς τρία· εἰς ἀνιόντας, καὶ κατιόντας, καὶ τοὺς ἐκ πλαγίου· καὶ ἀνιόντες μέν εἰσιν, οἱ ἡμᾶς γεγεννηκότες. ὁποῖοι, πατὴρ, μήτηρ, πάππος, καὶ μάμμη, καὶ οἱ τούτων ἀνώτεροι· κατιόντες δὲ, οἱ ἐξ ἡμῶν γεννώμενοι, οἷον υἱὸς, θυγάτηρ, ἔγγονος, ἐγγόνη, καὶ οἱ ἔτι τούτων κατώτεροι. ἐκ πλαγίου δὲ, οἱ μήτε ἡμᾶς γεγεννηκότες, μήτε ἐξ ἡμῶν γεννώμενοι, τῆς δὲ αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες· οἷον ἀδελφὸς, ἀδελφὴ, θεῖος, θεία, ἀνεψιὸς, ἀνεψιὰ, ἐξάδελφος, ἐξαδέλφη, καὶ οἱ ἐκ τούτων καταγόμενοι. ἑκάστη δὲ τάξις συγγενείας, ποικίλους ἔχει καὶ διαφόρους βαθμοὺς, ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων, ἁπλουστέρα τίς καὶ εὐχερὴς ἡ κατάληψις τῶν βαθμῶν· ἕκαστον γὰρ τούτων τῶν προσώπων, βαθμὸν ἀποτελεῖ, καὶ ἁπλῶς ὅσαι γεννήσεις, τοσοῦτοι καὶ βαθμοί. δυσχερεστέρα δὲ καὶ οὐκ εὐκατάληπτος ἐστὶν ἡ τῶν ἐκ πλαγίου βαθμῶν εὕρεσις· δεῖ γὰρ ἡμᾶς οὐκ εὐθέως τρέχειν ἐπὶ τὸ ἐκ πλαγίου πρόσωπον, ἀλλὰ πρότερον ποιεῖσθαι τὴν ἀνάβασιν, ἐπὶ τοὺς ἀνιόντας μέχρις οὗ ἐπιστῶμεν τῷ αἰτίῳ ἐκείνῳ τῆς γεννήσεως τοῦ ἐκ πλαγίου, εἶτα τοῦτον εὑρόντας κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον τοῦ ἐκ πλαγίου· καὶ οὕτω τι

ἥκοντας, ἀριθμεῖν τὰς γεννήσεις τὰς συναγομένας. τοῦτο μὲν ἐπὶ τῆς ἀνόδου· τοῦτο δὲ ἐπὶ τῆς καθόδου, ἑκάστην γὰρ γέννησιν, ἐν ἰδιάζοντι τάξιν βαθμῷ, ποιεῖ τὸν ἀριθμόν, καὶ ἐπὶ μὲν τῶν κατιόντων, οἷον ἐρεῖς τουτοδί· ὁ υἱός μου, πόσου μου ἐστὶ βαθμοῦ; ἐγὼ ἔτεκον, ἰδοὺ μία γέννησις, ἕνα βαθμὸν ἀπετέλεσεν, οὐκοῦν πρώτου μου ἐστὶ βαθμοῦ. ὁ ἔκγονος πόσου; ἐγὼ ἐγέννησα τὸν υἱόν, καὶ ὁ υἱὸς τὸν ἔκγονον, ἰδοὺ δύο γεννήσεις, δύο βαθμοὺς ἀπετέλεσαν, οὐκοῦν ὁ ἔκγονος, δευτέρου ἐστὶ βαθμοῦ, τὸ αὐτὸ καὶ ἐπὶ προεκγόνου ἐφεξῆς, καὶ ἀπογγόνου. ὁμοίως δὲ ἐπὶ τῶν ἀνιόντων. ὁ πατὴρ πόσου ἐστὶ βαθμοῦ; ἐμὲ ἐγέννησεν ὁ πατήρ, ἰδοὺ μία γέννησις, ἕνα βαθμὸν ἀπετέλεσεν, ὥστε τοῦ πρώτου μου ἐστὶ βαθμοῦ. ὁ πάππος πόσου; ἐμὲ ἐγέννησεν ὁ πατήρ, τὸν πατέρα ὁ πάππος, ἰδοὺ δύο γεννήσεις, δύο βαθμοὺς ἀπετέλεσαν, ἔστιν οὖν ὁ πάππος δευτέρου βαθμοῦ. τὸ αὐτὸ δὲ ἐπὶ μητρὸς καὶ μάμμης, καὶ πάντων τῶν ἀνιόντων ἀρρένων τε καὶ θηλειῶν. ἐπὶ δὲ τοῦ ἐκ πλαγίου ὡς εἴρηται, δεῖ ἀνιέναι ἐπὶ τὸ τῆς συγγενείας αἴτιον πρόσωπον, τὰς γεννήσεις ἀριθμοῦντα, καὶ πάλιν κατιέναι ψηφίζοντα τὰς γεννήσεις, μέχρι τοῦ ἔλθωσιν εἰς τὸ πρόσωπον περὶ οὗ ἡ ζήτησις. εἰ γάρ τις σε ἐρωτήσει, ὁ ἀδελφός σου πόσου ἐστὶ βαθμοῦ; λέγε δευτέρου· ἀνέρχου πρὸς τὸν πατέρα, ἰδοὺ μία γέννησις, ἀλλὰ τοῦ πατρὸς πρὸς σὲ ἕνα βαθμὸν ἀπετέλεσεν. εἶτα ἐπειδὴ εὗρες τὸ αἴτιον τῆς γεννήσεως πρόσωπον, κάτελθε πρὸς τὸν ἀδελφόν, προστιθεὶς ἐνταῦθα δευτέραν γέννησιν· ἰδοὺ δύο γεννήσεις, δύο βαθμοὺς ἀπετέλεσαν. οὐκοῦν καλῶς εἴρηται ὡς ὁ ἀδελφὸς δευτέρου βαθμοῦ ἐστί. πάλιν ἐάν τις σε ἐρωτήσῃ, ὁ θεῖός σου πόσου ἐστὶ βαθμοῦ; λέγε τρίτου· ἀνάγκη γάρ σε ἀνιέναι ἐπὶ τὸν σὸν πατέρα καὶ λέγειν, ἐμὲ ἐγέννησεν ὁ πατήρ, τὸν πατέρα ὁ πάππος, ἰδοὺ δύο γεννήσεις, ὁ αὐτὸς πάππος, τὸν ἐμὸν θεῖον, ἰδοὺ τρεῖς γεννήσεις τρεῖς βαθμοὺς ἀπετέλεσαν· ὥστε τρίτου μου ἐστὶ βαθμοῦ ὁ θεῖ-

ος. οὕτω καὶ ἐπὶ τῶν ἑξῆς τῷ αὐτῷ προσέχων κανόνι, δυνάσαι καταλαβεῖν τοὺς βαθμούς. καὶ πάλιν ἀριθμοῦνται οἱ βαθμοὶ οὕτως. ὁ υἱὸς, ἢ ἡ θυγάτηρ πρὸς τὸν πατέρα, ἢ τὴν μητέρα, πρώτου ἐστὶ βαθμοῦ· ὁ γὰρ ἀνὴρ καὶ ἡ γυνὴ, βαθμοὺς οὐκ εἰσάγουσιν, ἀλλ' ὡς ἕν εἰσι πρόσωπον. ὁ ἔγγονος, ἢ ἡ ἐγγόνη, πρὸς τὸν πάππον ἢ τὴν μάμμην, δευτέρου· ὁ δισέγγονος ἢ ἡ δισεγγόνη, πρὸς τὸν πρόπαππον, ἢ τὴν προμάμμην, τρίτου καὶ καθεξῆς οὕτως. οἱ αὐτάδελφοι ὅσοι καὶ ἐὰν ὦσι, δευτέρου βαθμοῦ εἰσὶ πρὸς ἀλλήλους· οἱ πρωτεξάδελφοι, τετάρτου· οἱ δισεξάδελφοι, ἕκτου· οἱ τρισεξάδελφοι, ὀγδόου· οὓς καὶ συναπτέον εἰς γάμον ἀκωλύτως. τὸ δὲ θεῖος ὄνομα, τριχῶς λέγεται, ἢ γὰρ θεῖος ἁπλῶς, ὡς ὁ τοῦ πατρὸς, ἢ τῆς μητρὸς ἀδελφὸς, ὃς καὶ τρίτου βαθμοῦ ἐστὶ πρὸς τὸν ἀνεψιὸν, ἢ τὴν ἀνεψιὰν αὐτοῦ. ἢ μέγας θεῖος, ὡς ὁ τοῦ πάππου ἢ τῆς μάμμης ἀδελφὸς, ὃς καὶ τετάρτου βαθμοῦ ἐστὶ πρὸς τὸν ἐξανεψιὸν, ἢ τὴν ἐξανεψιὰν αὐτοῦ. οὕτω γὰρ οἱ τῶν ἀνεψιῶν παῖδες καλοῦνται. ἢ μικρὸς θεῖος, ὡς ὁ τοῦ πατρὸς ἢ τῆς μητρὸς πρωτεξάδελφος, ὃς καὶ πέμπτου βαθμοῦ ἐστὶ πρὸς τὸν μικρὸν ἀνεψιὸν, ἢ τὴν μικρὰν ἀνεψιὰν αὐτοῦ. οὕτω γὰρ οἱ τῶν ἐξαδέλφων παῖδες καλοῦνται. τὰ αὐτὰ δὲ καὶ περὶ τῆς θείας λέγομεν.

## ΠΕΡΙ ἈΓΧΙΣΤΕΙΑΣ.

Τοὺς δὲ ἐξ ἀγχιστείας γαμικῶς συναπτέον, εἰ μήτε τοῦ ἑκτοῦ βαθμοῦ ἐλλείπωσι, μήτε τὰ τῆς συγγενείας ὀνόματα συγχέωσι. τοὺς γὰρ ταῦτα συγχέοντας, καὶ ἐπὶ τοῦ ἑβδόμου κωλυτέον βαθμοῦ. συγχέουσι δὲ, ἐπὶ μὲν τοῦ ἑκτοῦ βαθμοῦ, ὡς ὅταν δύο πρωτεξάδελφοι δύο ἀδελφὰς λάβωσιν, ἢ τοὐναντίον δύο ἀδελφοὶ, δύο πρωτεξαδέλφας, γίνονται γὰρ ἀντὶ ἀδελφῶν ἢ πρωτεξαδέλφων, σύγγαμβροι. ἢ ὅταν θεῖος καὶ ἀνεψιὸς, ἀνεψιὰν καὶ θείαν λάβωσιν, ἤγουν ὁ μὲν θεῖος τὴν ἀνεψιάν· ὁ δὲ ἀνεψιὸς τὴν θείαν· γίνονται γὰρ ἐντεῦθεν, ὁ μὲν θεῖος

ἀνεψι-

ἀνεψιὸ, ὁ δὲ ἀνεψιὸν θείου, ὅπερ ἐστὶ σύγχυσις. εἰ δὲ ὁ μὲν θεῖος τὴν θείαν, ὁ δὲ ἀνεψιὸς τὴν ἀνεψιὰν λάβωσιν, οὐδεμία σύγχυσις γίνεται. καὶ διὰ τοῦτο πρὸς γάμον ἀκώλυτον, θεῖοι γὰρ οὕτω καὶ ἀνεψιοὶ, πρὸς ἀλλήλους σώζουσι τόπον· καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ἐπὶ δὲ τοῦ ἑβδόμου βαθμοῦ συγχύσιν· ὡς ὅταν ὁ πάππος καὶ δισέγγονος, δύο προεξαδέλφας λάβωσιν, ἢ πατὴρ καὶ υἱὸς, δύο δισεξαδέλφας, σύγγαμβροι γὰρ λογισθήσονται. πάππος δὲ καὶ ἔγγονος, θείαν μεγάλην καὶ ἀνεψιὰν λαβεῖν οὐ κωλύονται· σύγχυσις γὰρ ἐντεῦθεν οὐ γίνεται. ἐπεὶ καὶ τὴν μεγάλην θείαν καὶ τὸν μέγαν θεῖον, πάππον ἢ μάμμην προσαγορεύουσι, τοσοῦτο δέ ἐστι τὸ ἀσύγχυτον ἐπὶ τῆς συγγενείας μάλιστα ταύτης ἰσχυρὸν, ὡς καὶ οἱ παλαιοὶ, τοῦτο μόνον ἐζήτουν ἐπὶ ταύτης· βαθμὸν δὲ οὐδαμῶς.

## ΠΕΡῚ ΤΩ͂Ν ἐκ τριγενείας συναπτομένων.

Τῆς δὲ ἐκ τριγενείας, εἰς γάμον συνάπτειν ἀνάγκη, τῆς ἀπὸ τοῦ τετάρτου βαθμοῦ καὶ ἐπέκεινα. εἰ καὶ ὁ νόμος δύο μόνα ῥητῶς ἀπαγορεύει. τὸ μὴ λαβεῖν τινὰ τὴν ποτὲ γυναῖκα τοῦ προγόνου αὐτοῦ, ἢ τὴν μητρυιὰν, τὸν ἄνδρα τῆς ποτὲ προγονῆς αὐτῆς, τἆλλα παρασιωπήσας· λήψεταί τις ἄρα τὴν γυναικαδέλφην τοῦ γυναικαδέλφου αὐτοῦ. τετάρτου γάρ εἰσι πρὸς ἀλλήλους βαθμοῦ, ἐν τρισὶ γένεσι θεωρούμενοι.

## ΠΕΡῚ ΤΩ͂Ν ἘΚ ΤΟΥ͂ ἉΓΊΟΥ ΒΑΠΤΊΣΜΑΤΟΣ.

Ἐπὶ δὲ τῆς ἐκ τοῦ ἁγίου βαπτίσματος, καὶ τῆς ἐξ υἱοθεσίας συγγενείας, τὸν αὐτὸν ζητητέον βαθμὸν, ὃν καὶ ἐπὶ τῆς ἐξ αἵματος· ἀλλὰ τὸ λέγειν τὸν πεντηκοστὸν τρίτον κανόνα τῆς ἐν Τρούλλῳ ἁγίας συνόδου, μείζονα εἶναι τὴν πνευματικὴν οἰκειότητα, τῆς τῶν σωμάτων συναφείας. εἰ καὶ ὁ νόμος μέχρι τριῶν μόνον, ἢ καὶ τεσσάρων βαθμῶν, ταύτην κεκώλυκεν· ἤγουν τὸ μὴ λαβεῖν τινὰ, ἢ τὸν υἱὸν αὐτοῦ, τὴν μητέρα ἢ τὴν ἀδελφὴν τοῦ ὑπ' αὐτοῦ ἀναδεχθέντος ἢ υἱοθετηθέντος. φησὶ γάρ. ὁ

ἀπὸ

ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος, οὐ δύναται αὐτῆς ὕστερον πρὸς γάμον ἀναγαγέσθαι· ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην· οὐ δὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα, ἀλλ' οὐ δὲ ὁ υἱὸς αὐτοῦ. ἐπειδὴ οὐδὲν ἄλλο δύναται συναγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν πρὸς τὸν τοιοῦτον δεσμόν. δι' οὗ θεοῦ μεσάζοντος, αἱ ψυχαὶ αὐτῶν συνάπτονται. Ἰστέον δὲ, ὡς ἄλλως ἐπὶ τούτων, ἢ ἐπὶ τῶν ἐξ αἵματος, οἱ βαθμοὶ καταριθμοῦνται· διό ὁ μὲν ἀναδεξάμενος τινὰ, ἢ υἱοθετήσας, πρὸς μὲν αὐτὸν ὃν ἀνεδέξατο, ἢ υἱοθέτησε, πρώτου βαθμοῦ ἐστι· πρὸς δὲ τὸν πατέρα, ἢ τὴν μητέρα αὐτοῦ, δευτέρου· πρὸς δὲ τὸν αὐτάδελφον αὐτοῦ, τρίτου. οἱ δὲ υἱοὶ αὐτοῦ, πρὸς μὲν τὸν ἀναδεξάμενον, ἢ υἱοθετήσαντα, δευτέρου βαθμοῦ εἰσι· διὰ τὸ ὡς ἀδελφοὺς αὐτοὺς ἔχειν, πρὸς δὲ τὸν αὐτάδελφον αὐτοῦ, τετάρτου.

## ΠΕΡῚ ἈΔΕΛΦΟΠΟΙΊΑΣ.

Ἡ δὲ ἀδελφοποιΐα, ὡς μὴ γενομένη λογίζεται, καὶ ἔστι πρὸς γάμον ἀκώλυτον. ὅτι ἡ θέσις, μιμεῖται τὴν φύσιν, οὐδεὶς δὲ γεννᾷ ἑαυτοῦ ἀδελφούς.

## ΠΕΡῚ ΚΕΚΩΛΥΜΈΝΩΝ ΓΆΜΩΝ.

Τοὺς κεκωλυμένους γάμους, ὁρίζομεν οὕτως· ἐπὶ μὲν γὰρ τῶν ἀνιόντων εἰς ἄπειρον ὁ γάμος κεκώλυται, κἂν μὴ ἐξ ἐννόμων ὦσι γάμων. οὐ δύναται γάρ τις λαμβάνειν τὴν ἰδίαν μάμμην, οὐ δὲ τὴν ἐγγόνην, εἴτε φυσικαί εἰσιν, εἴτε θετικαί· εἰ καὶ τὰ μάλιστα ἐλύθη ἡ θέσις τῷ τρόπῳ τῆς αὐτεξουσιότητος· αἰσχυνέσθω γὰρ τῇ ἐγγόνῃ πάλαι, ἡ τοῦ πάππου προσηγορία.

Καὶ μεταξὺ δὲ τῶν ἐκ πλαγίου προσώπων, ἔστι τις κώλυσις, τὴν τοῦ ἀδελφοῦ μου, ἢ τῆς ἀδελφῆς μου θυγατέρα, οὐ λαμβάνω πρὸς γάμον· ἀλλ' οὐ δὲ τὴν τούτων ἐγγόνην, κἂν τετάρτου ἐστὶ βαθμοῦ, δύναμαι λαμβάνειν εἰς γάμον. ὁμοίως τὴν θυγατέρα τῆς θείας, ἢ τοῦ θείου, τουτέστι τὴν ἐξαδέλφην μου· ἀλλ' οὐ δὲ ὁ υἱός μου τὴν ἐγγόνην αὐτῶν, οἵτινες λέγονται διεξάδελ

φοι, ἀλλ᾽ οὐδὲ τὴν τοῦ πατρὸς, ἢ τῆς μητρός μου θείαν, εἰ καὶ εἰσὶ θεταί· ἐπειδὴ μητέρων τάξιν ἐπέχουσι. καὶ ὧδε συμβαίνει εἶναι θετὴν θείαν· δι᾽ ὁ πάππος μου ὁ πρὸς πατρὸς, ἔχων υἱὸν τὸν ἐμὸν πατέρα, ἔλαβε κόρην τινὰ εἰς θέσιν, καὶ ὁ μὲν ἐμὸς πατὴρ, ἐκάλει αὐτὴν ἀδελφὴν θετὴν, ἐγὼ δὲ θείαν ὡσαύτως. οὐ δὲ τὴν μεγάλην μου θείαν δύναμαι λαβεῖν, τουτέστι τὴν τοῦ πάππου μου ἀδελφὴν, εἰ καὶ θετή ἐστιν, ἐπειδὴ μάμμης τάξιν ἐπέχει.

Εἰσὶ δὲ καὶ ἕτεροι οὐ διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιστείαν οὐ προβαίνοντες· ἀγχιστεία δέ ἐστιν, οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένη, συγγενείας ἐκτός· διὸ οὐ δύναμαι λαβεῖν τὴν ἐμὴν πρόγονον, ἢ νύμφην· καὶ πρόγονος μέν ἐστιν, ἡ ἐξ ἄλλου θυγάτηρ, καὶ ἐκγόνη καὶ προεκγόνη τῆς γαμετῆς μου. νύμφη δὲ, ἡ τοῦ υἱοῦ καὶ ἐκγόνου καὶ προεκγόνου γαμετή. οὐ δὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μοι γυναικὸς, τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός. οὐ δὲ τὴν πενθεράν μου, ἢ τὴν μητρυιάν μου, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν. οὐ δὲ τὴν τοῦ πατρός μου, ἢ ἀδελφοῦ μου μνηστὴν, κἂν γαμετὴ αὐτῶν οὐ γεγόνασιν· ἡ μὲν, γὰρ μητρᾶ· ἡ δὲ, νύμφης τάξιν ἐπέχει.

ΝΕΑΡΑΙ` ΤΩ͂Ν πατριαρχῶν, Σισινίου καὶ Ξιφιλίνου.

Οὐ δὲ τὴν ἀδελφὴν τῆς μνηστῆς μου ἀποθανούσης, λαβεῖν εἰς γυναῖκα δύναμαι, εἰ μόνον ἑπταέτης ἦν ἐκείνη καὶ ἐπέκεινα· ὁπότε καὶ κατὰ συναίνεσιν ἡ μέσον ἡμῶν προέβη μνηστεία. εἰ δὲ ἐλάττων οὖσα ἐτύγχανε τῶν ἑπτὰ ἐτῶν, ἐν τῇ τοιαύτῃ γὰρ ἡλικίᾳ, οὐ δὲ διὰ μόνης συναινέσεως μνηστεία ὅλως συνισαμένη ἐπιγινώσκεται, ἀμέμπτως καὶ ἀκατηγορήτως αὐτῇ συζευχθήσομαι. Ἀλλ᾽ οὐ δὲ τὴν τοῦ ἀδελφοῦ μου μνηστὴν, ἢ τὴν αὐταδέλφην ἐκείνης εἰς γυναῖκα λαβεῖν δύναμαι, καὶ ἁπλῶς εἰπεῖν ὅσα ἐπὶ τῶν γάμων, τοσαῦτα καὶ ἐπὶ τῆς μνηστείας, ὁ συνοδικὸς ἐδίδαξε τόμος τοῦ πατριάρχου Σισινίου καὶ Ξιφιλίνου.

λίνου. Ἡ δὲ νεαρὰ τοῦ βασιλέως καίσαρος Ἀλεξίου, ἐπὶ μὲν τῶν μνηστευομένων, κατὰ τὸν ιδ χρόνον ἐπὶ ἀνδρῶν, καὶ ἐπὶ τῶν γυναικῶν κατὰ τὸν ιβ μετὰ ἱερᾶς εὐλογίας, ἤγουν τῶν συνήθων εὐχῶν· αἳ τοῖς μνηστευομένοις διὰ τοῦ ἱερέως ἐκφωνοῦνται, κρατεῖν τὸν συνοδικὸν τόμον ἐθέσπισεν. ἐπὶ δὲ τῶν μνηστευομένων, κάτω τῶν τοιούτων ἐνιαυτῶν, ἢ ἱερᾶς εὐλογίας ἄνευ, οὐδαμῶς· ἀλλὰ τὸ τοῦ νόμου μόνον κρατεῖν, τὸ μὴ δύνασθαι τινὰ λαβεῖν τὴν τοῦ ἀδελφοῦ αὐτοῦ μνηστήν. Ὁ θετὸς υἱὸς καὶ αὐτεξούσιος γενόμενος, οὐ δύναται τὴν γενομένην τοῦ θετοῦ πατρὸς γαμετὴν λαμβάνειν πρὸς γάμον, ὥσπερ οὐδὲ τὴν αὐτοῦ τοῦ υἱοῦ γαμετήν, ὁ αὐτεξούσιον αὐτὸν ποιήσας θετὸς πατήρ, εἰ καὶ ἡ θέσις ἐλύθη, καὶ μὴ ἅπτεται τοῦ γένους αὐτῶν· ἡ μὲν, γὰρ μητρυιᾶς· ἡ δὲ, νύμφης τάξιν ἐπέχει. Καὶ ὁ φυσικὸς πατήρ, οὐ λαμβάνει τὴν πρόγονον αὐτοῦ θυγατέρα· τὸ φύσει γὰρ δίκαιον καὶ εὐπρεπὲς, ἐν τοῖς γάμοις σκοπεῖται. τὰ αὐτὰ δὲ περὶ δουλικῆς ἀγχιστείας φυλάττεσθαι χρή. Οὐ μόνον ἡ τοῦ πατρός μου, ἀλλὰ καὶ τοῦ πάππου ἢ προπάππου γαμετὴ μητρυιὰ λέγεται, καὶ κωλύομαι λαβεῖν αὐτάς, κἂν πολλὰς ἔχῃ ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω.

Πενθερά ἐστιν ἡ μήτηρ καὶ ἡ μάμμη τῆς γαμετῆς μου, καὶ οὐδεμίαν αὐτῶν λαμβάνω, οὐδὲ τὴν μητέρα τῆς ποτέ μου μνηστῆς· γέγονε γὰρ πενθερά, ὅτε τὴν ποτὲ γυναῖκα τοῦ προγόνου μου. Οὔτε ἡ μητρυιὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγόνης αὐτῆς. Τὴν προεκγόνην τῆς ἀδελφῆς μου, γαμεῖν οὐ δύναμαι· γονέως γὰρ ἔχω πρὸς αὐτὴν τάξιν, ὅτι τὴν θυγατέρα τῆς προγόνης μου λαμβάνω. Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητοῦμεν.

ΝΕΑΡΑ. Κεκώλυκεν ἡ ἐκκλησία, τὸν αὐτὸν καὶ ἕνα, δευτέρας ἐξαδέλφας λαμβάνειν, οὐ γὰρ ἕβδομος ἐξ ἀγχιστείας ὡς οἴονταί τινες συνάγεται βαθμός, ἀλλ' ἕκτος· διὰ δὲ ἑ-

νὸς βαθμοῦ λογίζεσθαι τὸν ἄνδρα μετὰ τῆς γυναικός· τοῦτο γὰρ ζητηθὲν ἐπὶ τοῦ πατριάρχου Νικολάου, ἐκωλύθη παρὰ τῆς ἐκκλησίας. προέβη δὲ καὶ διάταγμα τοῦ βασιλέως καίσαρος Μανουήλ, μὴ γίνεσθαί ποτε τοῦτο διοριζόμενον. ΝΕΑΡΑ. τὸ τοῦ πατριάρχου Στυπῆ ψήφισμα, ὃ τὸ τοῦ πατριάρχου Ἀρσενίου, δύο ἀδελφοὺς νύμφην λαβεῖν καὶ ἀνδραδέλφην, ἀκώλυτον εἶναι κρίνουσιν. ΝΕΑΡΑ. καὶ τὸ τοῦ πατριάρχου Μιχαὴλ, τὴν θυγατέρα τοῦ Ἰωάννου τυχὸν, καὶ τὴν ἀνεψιὰν τῆς γυναικὸς αὐτοῦ, δυσὶν ἀδελφοῖς ἐπιτρέπει συζευχθῆναι, ἣν ἐξ ἑτέρας ἔσχεν ὁ Ἰωάννης γυναικὸς δηλονότι.

Ἐν τοῖς γάμοις, οὐ μόνον τὴν ἀκρίβειαν τῶν νόμων σκοπεῖσθαι χρεὼν, ἀλλ' εἰ καὶ σεμνόν ἐστι τὸ πραττόμενον, φησὶ γὰρ τὸ ρθ κεφάλαιον τοῦ γ τίτλου τοῦ δευτέρου βιβλίου τῶν βασιλικῶν, οὐ πᾶν ὅπερ ἔξεστιν, ἤδη καὶ εὐπρεπές ἐστιν. τὴν ἐκ πορνείας ἀδελφὴν, οὐδεὶς λαμβάνει, οὔτε ὁ θεῖος τὴν τῶν θείων υἱοῦ μητέρα, ἢ τὴν ἀδελφὴν αὐτῆς, ἢ τὴν ἀπὸ υἱοῦ ἐκγόνην.

Οὐκ εὐπρεπῶς ἡ γυνὴ τοῦ ἰδίου πάτρωνος, γαμεῖται ἀπελευθέρῳ αὐτοῦ.

## ΠΕΡΙ ἘΠΙΤΡΟΠΩΝ.

Καὶ ἀποδῷ τοὺς λόγους ὁ ἐπίτροπος ἢ κουράτωρ, τὴν ἐπιτροπευθεῖσαν ὑπ' αὐτῶν οὐ δύναται λαβεῖν, ἕως οὗ πλήσηται εἰκοσιπέντε ἐτῶν, καὶ ὁ τῆς ἀποκαταστάσεως τετραετὴς χρόνος παραδράμῃ, κἂν τὰ μάλιστα πρὸς γάμον ἑτέρῳ αὕτη συναφθεῖσα παῖδας ἔχει, οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου, οὔτε ὁ συνυπεξούσιος αὐτοῦ ἀδελφὸς, δύναται γαμεῖν τὴν ὀρφανὴν, οὐδὲ ὁ υἱὸς ἢ ὁ ἔκγονος αὐτοῦ. Δύναται ὁ κουράτωρ συνάψαι τὴν ἰδίαν θυγατέρα τῷ κουρατορευομένῳ ὑπ' αὐτοῦ· τὸν δὲ υἱὸν αὐτοῦ, τῇ κουρατορευομένῃ οὐ δύναται, χωρὶς βασιλικῆς κελεύσεως, ἐπεὶ ἀτιμοῦται. Καὶ ὁ κουράτωρ τῆς θυγατρὸς, τῇ τῆς οὐσίας ὑπόκειται κωλύσει· χρεωστεῖ γὰρ ἀποδοῦναι τοὺς λόγους,

καὶ ἀδιάφορον, εἴτε πολύ τις διώκησε χρόνον, εἴτε ὀλίγον.

Ὁ θετὸς υἱὸς, οὐ δύναται τὴν γαμετὴν τοῦ πατρὸς γαμεῖν· εἰ καὶ μὴ ἅπτεται τοῦ γένους αὐτοῦ.

## ΠΕΡΙ ΜΟΙΧΕΙΑΣ.

Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς, οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι. Ἰστέον ὅτι ἡ κατηγορηθεῖσα γυνὴ, εἰ μὲν εἰς μοιχείαν καταδικασθῇ, ἐμβάλλεσθαι ἐν μοναστηρίῳ· εἰ δὲ ἐκ τῶν ἄλλων αἰτιῶν καταδικασθῇ, χωρὶς ταύτης τῆς αἰτίας, οὐκ ἀποκλείεται· ἀλλὰ λύεται μὲν ὁ γάμος, ἔσωθεν δὲ τῶν πέντε ἐνιαυτῶν, οὐ δύναται ἡ γυνὴ πρὸς δεύτερον γάμον ἐλθεῖν. Ὁ γήμας τὴν ἐπὶ μοιχείᾳ καταδικασθεῖσαν, ὑπόκειται τῷ περὶ μοιχείας ἐγκλήματι· οὐ μὴν ὁ παλλακευόμενος αὐτήν. Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγωμαι αὐτὴν, εἰ καὶ μὴ αὐτὴ κατεδικάσθη, ὅτε ὁ γάμος ἔῤῥωται· ἀλλ' εἰ καὶ κληρονόμον αὐτὴν γράψω, ἢ αὐτὴ ἐμὲ, δημεύεται ἡ κληρονομία. Αἱ τῶν πενθουμένων καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταὶ, κωλύονται ἐπὶ τῷ πενθίμῳ καιρῷ γαμεῖσθαι. Ἡ ἐν τῷ πένθει τὸν ἄνδρα κινήσασα, ἔτι κωλύεται γάμῳ προσελθεῖν. Ἡ δὲ τεκοῦσα, ἐν τῷ πενθίμῳ παραχρῆμα δύναται γαμεῖν· τὸ μὲν ἓν, περὶ ἀνδρὸς ἀξίου πενθεῖσθαι· τὸ δὲ ἕτερον περὶ τοῦ μὴ ἀξίου πενθεῖσθαι.

ΣΧΟΛ. Ἰστέον δὲ ὅτι κατὰ δύο αἰτίας ὁ πένθιμος ἐτυπώθη χρόνος, ἀλλὰ διὰ μὴ σύγχυσιν γίνεσθαι τῆς γονῆς, καὶ διὰ τὴν ὀφειλομένην αἰδῶ καὶ τιμὴν τῷ ἀνδρί. αἱ οὖν γυναῖκες τῶν μὴ ἀξίων πενθεῖσθαι, διὰ τὸ εἰς δημόσια τυχὸν περιπεσεῖν ἐγκλήματα, μετὰ τὸν τόκον, οὐ κωλύονται καὶ ἐν τῷ πενθίμῳ γαμεῖσθαι. αἱ δὲ τῶν ἀξίων πενθεῖσθαι γαμεταὶ, καὶ μετὰ τὸν τόκον γαμεῖσθαι ἐν τῷ πένθει κωλύονται, διὰ τὴν ὀφειλομένην αἰδῶ τιμὴν τῷ ἀνδρί· εἰ μὴ κατὰ κέλευσιν βασιλέως τοῦτο ποιήσει. Ἐπὶ τῶν γυναικῶν τῶν ἀτίμων ἀνδρῶν,

ἡ τεκοῦσα ἐν τῷ πένθει, κωλύεται γαμεῖν· τὸ μὲν γὰρ πένθος, ἐπὶ τῶν γυναικῶν τῶν ἐντίμων αἰδέσιμον λέγεται· ὁ δὲ πένθιμος ἐπὶ τῶν ἀτίμων. ἡ μὲν οὖν γυνὴ τοῦ αἰδεσίμου τοῦ ἀτίμου ἐφῆς ἐστι· ὁ πένθιμος χρόνος λέγεται μετὰ τὸ τεκεῖν, οὐ κωλύεται γαμεῖσθαι· οὐ γὰρ διὰ τὴν τιμὴν τοῦ τετελευτηκότος πρὸ τοῦ γεννῆσαι, ἐκωλύετο αὕτη γαμεῖσθαι, ἀλλὰ διὰ τὴν τῆς γονῆς σύγχυσιν. ἡ δὲ τοῦ ἀτίμου γυνὴ ἐφ' οἷς τὸ πένθος λέγεται, κἂν τέκῃ, ἀλλ' οὖν τὸν χρόνον ὀφείλει φυλάξαι· ἐπεὶ οὐ διὰ μόνην τὴν σύγχυσιν τῆς γονῆς κωλύεται, ἀλλὰ καὶ διὰ τὴν τιμὴν τοῦ τετελευτηκότος. Εἰ πρὸ τοῦ πενθίμου χρόνου τέκοι γυνὴ πρὸς τῷ πέρατι τοῦ ἔτους, ὥστε εἶναι ἀναμφισβήτητον, τὸ μὴ τὴν γονὴν ἐκ τοῦ προτέρου καθεστάναι συνοικεσίου, παντοίως αὐτὴν στερεῖσθαι διατείνομεν τῆς προγαμιαίας δωρεᾶς καὶ κατὰ δεσποτείαν, καὶ κατὰ χρῆσιν ἀποκειμένην. Ὁ παρθένον, ἢ χήραν ἁρπάσας, εἰ καὶ μνηστήν, οὐ δύναται ταύτην γαμεῖν, οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς, καὶ συγχωροῦντος τὸ ἔγκλημα· τιμωρεῖται δὲ καὶ μετὰ τῶν συνδραμόντων αὐτῷ. Εἰ δ' ἡ ἁρπαγεῖσα κόρη εἰς γάμον τάχα συναφθῆναι θελήσει, μετὰ θάνατον τούτου, κἂν παῖδας ἐξ αὐτοῦ ἔχῃ, κἂν ἐκεῖνος τελευτῶν διατάξηται, οὐ διαδέχεται τοῦτον· ἐὰν δὲ μὴ συναφθῇ τούτῳ, λαμβάνει τὴν οὐσίαν αὐτοῦ· δῆλον· οὐ δὲ ἀπὸ τῆς πατρικῆς περιουσίας αὐτῆς κερδαίνει τι, ἀλλὰ τὰ μὲν τοῦ πατρὸς πράγματα, πρὸς τοὺς ἄλλους κληρονόμους καταλιμπάνεται· τὰ δὲ τοῦ ἅρπαγος, εἰς τὸ δημόσιον εἰσκομίζεται. Εὑρήσεις δὲ τὰ περὶ τούτων πλατύτερον, ἐν τῷ περὶ ποινῶν βιβλίῳ, εἰς τὸν περὶ ἁρπαζόντων τίτλον.

## ΠΕΡΙ ΓΑΜΟΥ ἈΘΕΜΙΤΟΥ.

Ἀθέμιτος γάμος ἐστὶν, ὁ μεταξὺ ἀνιόντων καὶ κατιόντων, ἐπὶ δὲ τῶν κεκωλυμένων, ὁ ἐκ πλαγίου καὶ ἐξ ἀγχιστείας.

## ΠΟΙΝΗ ἈΘΕΜΙΤΟΓΑΜΙΑΣ.

Ὁ ἀθέ-

Ὁ ἀθέμιτον γάμον πρήσας ἀφαιρεῖται τὴν ἀξίαν, καὶ δημεύεται καὶ ἐξορίζεται· εἰ δὲ εὐτελὴς ἐστί, καὶ τὸ σῶμα μαστίζεται. Ἐπὶ τῶν ἀθεμίτων γάμων, καὶ τὰ τῆς αἰδοῦς πράγματα, καὶ τὰ διδόμενα τούτῳ εἰς προῖκα, ἀφαιροῦνται παρὰ τοῦ δημοσίου, καὶ εἰ μὲν ἔχει παῖδας ἐκ προτέρων ἐννόμων γάμων δίδονται· εἰ δὲ μή, δημόσια γίνονται. Οἱ ἀπὸ κεκωλυμένων γάμων τικτόμενοι παῖδες, οὐδὲ τῆς τῶν νόθων ἀξιοῦνται προσηγορίας· οὐδὲ διαδέχονται κατά τι τὸν ἴδιον πατέρα. Κωλύονται καὶ οὗτοι ῥητῶς· ὁ κατηγορηθεὶς μοιχός, εἰ καὶ μὴ φανερῶς ἀπηλέγχθη, οὐ δύναται λαβεῖν ὅμως εἰς γυναῖκα, δι' ἣν κατηγορήθη· ἵνα μὴ τὴν προλαβοῦσαν βεβαιώσῃ κατηγορίαν. Οὐδὲ ὁ ἀπελεύθερος τὴν γυναῖκα τοῦ πάτρωνος αὐτοῦ· ἵνα μὴ καὶ αὐτὸς ὑποψίαν παράσχῃ, ὡς ἐμοίχευσε ταύτην. Οὐδὲ ὁ ἐπίτροπος τὴν ὀρφανήν, πρὸ τοῦ ἐπιλυθῆναι τὴν ἐπιτροπήν. Οὐδὲ ὁ δημόσιος παιγνιώτης, ἢ ὁ υἱὸς αὐτοῦ, γυναῖκα ἢ θυγατέρα συγκλητικοῦ. Δεῖ δὲ καὶ τὸ εὐπρεπὲς ἐν τούτοις ζητεῖν. Ταῦτα μὲν οὖν ἐκ τῶν νόμων συνῆκται, καὶ κατ' ἐπιτομὴν εἴρηται καὶ οὕτως εἰσὶν εὑρισκόμενα. ✱ ΝΕΑΡΑ. Ὁ δὲ ζ΄ βαθμὸς ἐπὶ τῶν ἐξ αἵματος, παρὰ μὲν τοῦ νόμου κεκώλυται· παρὰ δὲ τοῦ πατριάρχου καίσαρος Ἀλεξίου καὶ τῆς τότε συνόδου κεκώλυται μέν, πρὸ τοῦ προβῆναι καὶ τελεσθῆναι· μετὰ δὲ τὸ προβῆναι, οὐ διαχωρίζονται μὲν οἱ συναπτόμενοι· καθυποβάλλονται δὲ ἐπιτιμίῳ, κατὰ τὴν συνοδικὴν ταύτην οἰκονομίαν. Ἐκωλύθη δὲ ὕστερον παντελῶς ὁ τοιοῦτος ζ΄ βαθμός, διὰ ὑπομνήματος συνοδικοῦ, τοῦ ἁγιωτάτου πατριάρχου καίσαρος Λουκᾶ ἐπικυρωθέντος διὰ προστάγματος τοῦ βασιλέως καίσαρος Μανουὴλ τοῦ Κομνηνοῦ. ✱ Ἰστέον δὲ ὅτι ἡ μνηστεία ἐλάττων ἐστὶ τοῦ γάμου, καὶ διὰ τοῦτο ἐπὶ τῶν γαμικῶν συναλλαγμάτων, οὐ πολυπραγμονεῖται, ὡς ὁ τέλειος γάμος· ἀλλὰ καὶ ἐν ἐλάττονι βαθμῷ, συνάλλαγμα γαμικὸν γίνεται, μνηστείας

στείας μόνον ἡγησαμένης ἐν ἀγχιστείᾳ.

ΚΑῚ ΤΑΥ͂ΤΑ ΠΕΡῚ ΓΆΜΟΥ ΚΕΚΩΛΥΜΈΝΩΝ

Τὶ διαφέρει ἴνκεστος, δαμνάτος, καὶ νεφάριος.

Ἴνκεστος μέν ἐστιν, ὁ ἐξ αἵματος τὴν σύστασιν ἔχων· οἷον, εἰς ἀνεψιάν, θείαν, ἐξαδέλφην. Δαμνάτος, ὁ κεκωλυμένος· οἷον ἐπίτροπος πρὸς ἐπιτροπευομένην, καὶ ἀπελεύθερος, πρὸς πατρώνισσαν. Νεφάριος δὲ ὁ παράνομος· οἷον πρὸς μοναχὴν καὶ ἀσκήτριαν, ἢ καὶ τὴν ἐξ ἁρπαγῆς.

ΠΕΡῚ ΔΕΥΤΕΡΟΓΑΜΟΎΝΤΩΝ. τίτλ. ζ.

Πᾶσα γυνὴ ὀφείλει ἐνιαυτὸν πενθεῖν τὸν ἄνδρα αὐτῆς, καὶ μὴ γαμηθῆναι πρὸ συμπληρώσεως τοῦ ἐνιαυτοῦ· εἰ δὲ καὶ αὐτὴ ἡ γυνὴ τὰς αἰτίας τῆς λύσεως παράσχοι δίχα δύο θεμάτων, οὐ δύναται ἄλλῳ γαμηθῆναι, πρὸ συμπληρώσεως πενταετίας. Τὰ δύο δὲ θέματα ταῦτά ἐστιν, ὅτε ἐπὶ μοιχείᾳ κατηγορηθῇ, καὶ ὅτε ἀλόγως ἀποστάσιον πέμψει τῷ ἀνδρί· τότε γὰρ εἰς μοναστήριον βάλλεται. Ἡ δὲ τῆς ἀλόγου πομπῆς τοῦ ἀποστασίου, κοινή ἐστι, καὶ ἐπὶ ἀνδρὸς νοουμένη. Εἰ μὲν εὐλόγως ὁ ἀνὴρ τῆς γυναικὸς χωρισθείη διαζυγίῳ, καὶ εἰς πενταετίας ὅλην πρὸς δεύτερον ἐλθεῖν γάμον κεκώλυται ἡ γυνή. Εἰ δὲ μή γε οὐκ ἔστιν ἀνεύθυνος, καὶ οὐδὲ νόμιμος ὁ γάμος κληθήσεται. Εἰ δὲ ἡ γυνὴ τοῦ ἀνδρὸς ἀλόγως χωρισθείη, πρὶν ἐνιαυτὸν ἐξήκειν, εἰς δεύτερον ἐλθεῖν γάμον οὐκ ἐπιτέτραπται, ἀλλὰ τὴν τῆς γονῆς σύγχυσιν· τῷ δὲ ἀνδρί, καὶ παραχρῆμα γαμεῖν ἔξεστι, ἀλλὰ τὸ μηδεμίαν ἐντεῦθεν περὶ τὴν γονὴν γίνεσθαι σύγχυσιν.

ΠΕΡῚ ἈΝΑΓΩΓΗ͂Σ ΠΑΊΔΩΝ.

Μήτηρ ἐθέλουσα καὶ προτεινομένη, ἀναγέτω τοὺς ἰδίους παῖδας, μὴ δευτερογαμοῦσα μέντοι γε τοῦτο νόει, ἐὰν πλουτῇ, ἐλύθη ὁ γάμος· εἰ γὰρ ῥεπουδίῳ ἐλύθη ὁ γάμος, τότε παρὰ τῷ μὴ δεδωκότι τὴν αἰτίαν τῆς λύσεως οἱ παῖδες μένουσι, κατὰ τὴν ριζ΄ νεαράν. Εἰ ὁ ἀνὴρ πόρρω ἂν πλουτήσει, καὶ σφαλ-

μετὰ ὁ πένθιμος χρόνος, καὶ εἰς τὴν ἐσχάτην ἡμέραν τοῦ ἐνιαυτοῦ μάθῃ τὸν πλοῦτον τοῦ ἀνδρὸς ἡ γυνὴ δύναται κατ' αὐτὴν τὴν ἡμέραν καὶ ἀποτίθεσθαι τὰ πένθιμα καὶ γαμεῖν. Ὁ ἀνὴρ, οὐ πενθεῖ τὴν γαμετὴν, οὔτε ἡ μνηστὴ τὸν μνηστῆρα. Κατὰ κέλευσιν βασιλέως δύναται ἡ γυνὴ ἐν τῷ πενθίμῳ χρόνῳ γαμεῖν. Καὶ ἡ μὴ συναφθεῖσα ἀνδρὶ, ἀλλ' ἔτι παρθένος οὖσα, πενθεῖν χρεωστεῖ τὸν ἄνδρα· τοῦτο δὲ νόησον, ὡς ἐν γάμῳ εἶναι τὴν γυναῖκα, καὶ οὐχὶ ἐν μνηστείᾳ. Ἡ ἐπιτροπεύσασα τῶν παίδων γυνὴ ὡς ἀνήβων, εἰ πρὸς δεύτερον ἔλθοι γάμον, μὴ πρότερον ἐπίτροπόν τε αἰτήσασα καὶ τοὺς λογισμοὺς παρασχομένη, καὶ καταβαλοῦσα πᾶν ὅσον ἔμπροσθεν ὀφείλει, τήν τε οὐσίαν αὐτῆς καὶ τὴν τοῦ γήμαντος ὑποτίθησι τοῖς παισὶ, καὶ ἀνήβου τοῦ παιδὸς τελευτήσαντος, οὐ διαδέχεται· εἰ καὶ ὁ πατὴρ εἴποι τοῦτο, καὶ πρὸς τούτοις ταῖς ποιναῖς ὑπόκειται ταῖς αὐταῖς, αἷς καὶ ἡ πρὸ τοῦ πενθίμου χρόνου δευτερογαμήσασα. Ἡ ἐλάττων τῶν κε´ ἐνιαυτῶν αὐτεξουσία μέλλουσα δευτερογαμεῖν, γνώμῃ τοῦ πατρὸς γαμείσθω· εἰ δὲ ἐτελεύτησεν ὁ πατὴρ, γνώμῃ τῶν συγγενῶν. ἡ δὲ τελεία οὐδ' ἐπὶ τῷ δευτέρῳ γάμῳ δεῖται τῆς τοῦ πατρὸς συναινέσεως· εἰ δὲ ἐναντιοῦνται καὶ τοῖς συγγενέσιν, ὁ ἄρχων κρινέτω τὴν βελτίονα γνώμην, ἵνα ἴσοι ὦσι γένει καὶ τρόποις οἱ δύο μνηστῆρες, ὃν οἱ συγγενεῖς βούλονται, καὶ ὃν ἡ γυνὴ ἐπιλέγεται, προτιμᾶται ἡ τῆς γυναικὸς κρίσις.

## ΠΕΡΙ ΠΡΟΓΑΜΙΑΙΑΣ ΔΩΡΕΑΣ.

Τῆς μητρὸς ἅπαξ εἰς δευτέρους γάμους ἐλθούσης, κέρδος εὐθὺς ἁπάντων τῶν παίδων τὴν δεσποτείαν τῆς προγαμιαίας δωρεᾶς γίνεσθαι, καὶ οὐδεμίαν ἄδειαν εἶναι τῇ μητρὶ, τοὺς μὲν τῶν παίδων ἐπιλέγεσθαι, τοὺς δὲ ἀτιμάζειν. διότι πάντας ὁμοῦ τοῖς δευτέροις ὕβρισε γάμοις, ὥς τε καὶ ἐπὶ τοῦ παρόντος, ἡ δεσποτεία τῆς προγαμιαίας δωρεᾶς ἔλκῃ πρὸς τὴν παίδων

ρον ἐκ τοῦ σώματος ἔχων συνήθειαν, οὐ παλλακὴν, ἀλλὰ γαμετὴν αὐτὴν ἔχειν δοκεῖ.. οὐ δύνανται οἱ παῖδες διαλύειν τοὺς ὑπὲρ αὐτῶν γάμους, εἰς βλάβην καὶ ζημίαν τῶν ὑπὲρ αὐτῶν τὰς προῖκας, καὶ τὰς προγαμιαίας δωρεὰς ἐπιδεδωκότων.

καὶ κατὰ τὰ παρ᾽ ἡμῶν ἀρτίως εὐσεβῶς νομοθετηθέντα, ὁ ἐν ὑπεξουσιότητι διάγων, μὴ ἀναγκαζέσθω πρὸς γάμον ἐλθεῖν παρὰ τοῦ ἰδίου πατρὸς, κἂν ὑπεξούσιος ἐστίν. υἱὸς ὑπεξούσιος ἀσώτως πολιτευόμενος, μὴ παραιτείσθω γάμους.

καὶ τοῖς πρὸ ἡμῶν νομοθέταις γέγραπται νόμος, ὡς ἡ ὑπερβᾶσα τὸν πέμπτον καὶ εἰκοστὸν χρόνον τῆς ἡλικίας, δύναται ἐπιρρίπτειν ἑαυτὴν ᾧ τινι βούλεται· μηδαμῶς ἐκ ταύτης τῆς αἰτίας δυναμένου τοῦ πατρὸς γράφειν ταύτην ἀποκλήρους. διατοῦτο θεσπίζομεν, ἵνα εἰ καὶ ὁ πατὴρ αὐτῆς περὶ τὸν γάμον αὐτῆς ἐρραθύμησε, μὴ ἐξεῖναι αὐτῇ ᾧ τινι βούλεται ἑαυτὴν ἐπιρρίπτειν, ἀλλὰ μηνυέτω ἐν μὲν τῇ κωνσταντινουπόλει τῷ ἐπάρχῳ ἢ τῷ κοιαίστωρι· ἐν δὲ ταῖς ἐπαρχίαις τῷ κατὰ τόπον ἄρχοντι, καὶ αὐτοὶ ἀναγκαζέτωσαν τοὺς αὐτῆς γονεῖς ἐκγαμίζειν καὶ προικίζειν κατὰ τὴν τῆς περιουσίας αὐτῶν δύναμιν.

## ΠΕΡΙ ΜΥΣΤΙΚΟΥ ΓΑΜΟΥ.

μηδεὶς μυστικῶς στεφανούσθω, ἀλλὰ παρόντων πλειόνων, ὁ γὰρ τοῦτο κατατολμήσας ἐργάσασθαι, σωφρονιζέσθω τιμωρούμενος, δηλονότι καὶ τοῦ ἱερέως, ὡς τοῖς ἀπρεπέσιν ἑαυτὸν ἐμβάλλοντος, τὰς ἀξίας εὐθύνας εἰσπραττομένου, κατὰ τὴν τῶν ἐκκλησιαστικῶν κανόνων διάταξιν.

## ΠΕΡΙ ἈΚΡΙΒΕΊΑΣ ΝΟΜΟΥ, ΠΕΡΙ ΚΛΗΡΙΚΩΝ, τίτλ. ε.

τοῖς κληρικοῖς ἐπιτέτραπται νομίμοις ἔχειν τὰς γυναῖκας. οἱ ψάλται καὶ ἀναγνῶσται, δύνανται νομίμως γαμεῖν· οἱ δὲ ὑποδιάκονοι, καὶ πρεσβύτεροι, καθάπαξ κεκώλυνται. ὅθεν εἰ παρὰ ταῦτα γάμῳ κοινωνήσωσιν, ἐκπίπτουσι τῆς

ἱερω-

ἱερωσύνης, καὶ τῆς ἀξίας αὐτῆς γυμνοῦται. Ἡ κατὰ γνώμην τοῦ πατρὸς γάμῳ συναλλάξασα, δύναται καὶ παρὰ γνώμην τοῦ πατρὸς, ἐπιμένειν τῷ γάμῳ· καὶ οὐ δοκεῖ προσκρούσαι ὡς εὔλογον αἰτίαν παρέχουσα.

## ΠΕΡΙ ΑΙΧΜΑΛΩΤΟΥ.

Ὁ αἰχμάλωτον ἀγοράσας, καὶ ταύτῃ μιγεὶς ὡς γυναικὶ, ὡς προσλήψει δοκῶν αὐτῇ συγχωρεῖν τὸ τίμημα, εἰς τὴν φυσικὴν εὐγένειαν αὐτὴν ἀνατρέχειν συγχωρεῖ· καὶ τοὺς ἐξ αὐτῆς τικτομένους παῖδας, νομίμους ἔχειν.

## ΠΕΡΙ ΒΑΘΜΩΝ ΣΥΓΓΕΝΕΙΑΣ ΚΑΙ γάμων κεκωλυμένων. Τίτλ. ϛ΄.

Ἡ συγγένεια ἐστὶν, ὄνομα γενικὸν, διαιρεῖται δὲ εἰς τρία· εἰς ἀνιόντας, καὶ κατιόντας, καὶ τοὺς ἐκ πλαγίου· καὶ ἀνιόντες μέν εἰσιν, οἱ ἡμᾶς γεγεννηκότες. ὁποῖοι, πατὴρ, μητὴρ, πάππος, καὶ μάμμη, καὶ οἱ τούτων ἀνώτεροι· κατιόντες δὲ, οἱ ἐξ ἡμῶν γεννώμενοι, ἤγουν υἱὸς, θυγάτηρ, ἔγγονος, ἐγγόνη, καὶ οἱ ἔτι τούτων κατώτεροι. ἐκ πλαγίου δὲ, οἱ μήτε ἡμᾶς γεγεννηκότες, μήτε ἐξ ἡμῶν γεννώμενοι, τῆς δὲ αὐτῆς γονῆς καὶ ῥίζης ἡμῖν κεκοινωνηκότες· οἷον ἀδελφὸς, ἀδελφὴ, θεῖος, θεία, ἀνεψιὸς, ἀνεψιὰ, ἐξάδελφος, ἐξαδέλφη, καὶ οἱ ἐκ τούτων καταγόμενοι. ἑκάστη δὲ τάξις συγγενείας, ποικίλους ἔχει καὶ διαφόρους βαθμούς, ἀλλ' ἐπὶ μὲν τῶν ἀνιόντων καὶ κατιόντων, ἁπλουστέρα τίς ἐστι καὶ εὐχερὴς ἡ κατάληψις τῶν βαθμῶν· ἕκαστον γὰρ τούτων τῶν προσώπων, βαθμὸν ἀποτελεῖ, καὶ ἁπλῶς ὅσαι γεννήσεις, τοσοῦτοι καὶ βαθμοί. δυσχερεστέρα δὲ καὶ οὐκ εὐκατάληπτός ἐστιν ἡ τῶν ἐκ πλαγίου βαθμῶν εὕρεσις· δεῖ γὰρ ἡμᾶς οὐκ εὐθέως ζητεῖν ἐπὶ τὸ ἐκ πλαγίου πρόσωπον, ἀλλὰ πρότερον ποιεῖσθαι τὴν ἀνάβασιν, ἐπὶ τοὺς ἀνιόντας μέχρις οὗ ἐπιστῶμεν τῷ αἰτίῳ ἐκείνῳ τῆς γεννήσεως τοῦ ἐκ πλαγίου, εἶτα ἐντεῦθεν εὐρόντας κατιέναι ἐπὶ τὸ ζητούμενον πρόσωπον τοῦ ἐκ πλαγίου· καὶ οὕτω τι-

ος. οὕτω καὶ ἐπὶ τῆς ἑξῆς τοῦ αὐτοῦ προσέχων κανόνι, δυνάσαι καταλαβεῖν τοὺς βαθμούς. καὶ πάλιν ἀριθμοῦνται οἱ βαθμοὶ οὕτως. ὁ υἱὸς, ἢ ἡ θυγάτηρ πρὸς τὸν πατέρα, ἢ τὴν μητέρα, πρώτου ἐστὶ βαθμοῦ· ὁ γὰρ ἀνὴρ καὶ ἡ γυνὴ, βαθμὸν οὐκ εἰσάγουσιν, ἀλλ' ὡς ἕν εἰσι πρόσωπον. ὁ ἔγγονος, ἢ ἡ ἐγγόνη, πρὸς τὸν πάππον ἢ τὴν μάμμην, δευτέρου· ὁ δισέγγονος ἢ ἡ δισεγγόνη, πρὸς τὸν πρόπαππον, ἢ τὴν προμάμμην, τρίτου καὶ καθεξῆς οὕτως. οἱ αὐτάδελφοι ὅσοι καὶ ἐὰν ὦσι, δευτέρου βαθμοῦ εἰσὶ πρὸς ἀλλήλους· οἱ πρωτεξάδελφοι, τετάρτου· οἱ δισεξάδελφοι, ἕκτου· οἱ τρισεξάδελφοι, ὀγδόου· οὓς καὶ συναπτέον εἰς γάμον ἀκωλύτως. τὸ δὲ θεῖος ὄνομα, τριχῶς λέγεται, ἢ γὰρ θεῖος ἁπλῶς, ὡς ὁ τοῦ πατρὸς, ἢ τῆς μητρὸς ἀδελφὸς, ὃς καὶ τρίτου βαθμοῦ ἐστι πρὸς τὸν ἀνεψιὸν, ἢ τὴν ἀνεψιὰν αὐτοῦ. ἢ μέγας θεῖος, ὡς ὁ τοῦ πάππου ἢ τῆς μάμμης ἀδελφὸς, ὃς καὶ τετάρτου βαθμοῦ ἐστι πρὸς τὸν ἐξανεψιὸν, ἢ τὴν ἐξανεψιὰν αὐτοῦ. οὕτω γὰρ οἱ τῶν ἀνεψιῶν παῖδες καλοῦνται. ἢ μικρὸς θεῖος, ὡς ὁ τοῦ πατρὸς ἢ τῆς μητρὸς πρωτεξάδελφος, ὃς καὶ πέμπτου βαθμοῦ ἐστι πρὸς τὸν μικρὸν ἀνεψιὸν, ἢ τὴν μικρὰν ἀνεψιὰν αὐτοῦ. οὕτω γὰρ οἱ τῶν ἐξαδέλφων παῖδες καλοῦνται. τὰ αὐτὰ δὲ καὶ περὶ τῆς θείας λέγομεν.

## ΠΕΡΙ ΑΓΧΙΣΤΕΙΑΣ.

Τοὺς δὲ ἐξ ἀγχιστείας γαμικῶς συναπτέον, εἰ μήτε τοῦ ἕκτου βαθμοῦ ἐλλείπωσι, μήτε τὰ τῆς συγγενείας ὀνόματα συγχέωσι. τοὺς γὰρ ταῦτα συγχέοντας, καὶ ἐπὶ τοῦ ἑβδόμου κωλυτέον βαθμοῦ. συγχέουσι δὲ, ἐπὶ μὲν τοῦ ἕκτου βαθμοῦ, ὡς ὅταν δύο πρωτεξάδελφοι δύο ἀδελφὰς λάβωσιν, ἢ τοὐναντίον δύο ἀδελφοὶ, δύο πρωτεξαδέλφας, γίνονται γὰρ ἀντὶ ἀδελφῶν ἢ πρωτεξαδέλφων, σύγγαμβροι. ἢ ὅταν θεῖος καὶ ἀνεψιὸς, ἀνεψιὰν καὶ θείαν λάβωσιν, ἤγουν ὁ μὲν θεῖος τὴν ἀνεψιὰν ὁ δὲ ἀνεψιὸς τὴν θείαν· γίνονται γὰρ ἐντεῦθεν, ὁ μὲν θεῖος

ἀνεψι-

ἀνεψιὰ, ὁ δὲ ἀνεψιὸς θεῖος, ὅπερ ἐστὶ σύγχυσις. εἰ δὲ ὁ μὲν θεῖος τὴν θείαν, ὁ δὲ ἀνεψιὸς τὴν ἀνεψιὰν λάβωσιν, οὐδεμία σύγχυσις γίνεται. καὶ διὰ τοῦτο πρὸς γάμον ἀκώλυτον, θεῖοι γὰρ οὕτω καὶ ἀνεψιοὶ, πρὸς ἀλλήλους σώζουσι τόπον· καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ἐπὶ δὲ τοῦ ἑβδόμου βαθμοῦ συγχέουσιν· ὡς ὅταν ὁ πάππος καὶ διέγγονος, δύο προεξαδέλφας λάβωσιν, ἢ πατὴρ καὶ υἱὸς, δύο διεξαδέλφας, σύγγαμβροι γὰρ λογισθήσονται. πάππος δὲ καὶ ἔγγονος, θείαν μεγάλην καὶ ἀνεψιὰν λαβεῖν οὐ κωλύονται· σύγχυσις γὰρ ἐντεῦθεν οὐ γίνεται. ἐπεὶ καὶ τὴν μεγάλην θείαν καὶ τὸν μέγαν θεῖον, πάππον ἢ μάμμην προσαγορεύουσι, τοῦτο δέ ἐστι τὸ ἀσύγχυτον ἐπὶ τῆς συγγενείας μάλιστα ταύτης ἰσχυρὸν, ὡς καὶ οἱ παλαιοὶ, τοῦτο μόνον ἐζήτουν ἐπὶ ταύτης· βαθμὸν δὲ οὐδαμῶς.

### ΠΕΡΙ ΤΩΝ ἐκ τεκνογονείας συναπτομένων.

Τοὺς δὲ ἐκ τεκνογονείας, εἰς γάμον συνάπτειν ἀνάγκη, τοὺς ἀπὸ τοῦ τετάρτου βαθμοῦ καὶ ἐπέκεινα. εἰ καὶ ὁ νόμος δύο μόνα ῥητῶς ἀπαγορεύει. τὸ μὴ λαβεῖν τινὰ τὴν ποτὲ γυναῖκα τοῦ προγόνου αὐτοῦ, ἢ τὴν μητρυιὰν, τὸν ἄνδρα τῆς ποτὲ προγονῆς αὐτῆς, τἄλλα παρασιωπήσας· λήψεταί τις ἄρα τὴν γυναικαδέλφην τοῦ γυναικαδέλφου αὐτοῦ. τετάρτου γάρ εἰσι πρὸς ἀλλήλους βαθμοῦ, ἐν τρισὶ γένεσι θεωρούμενοι.

### ΠΕΡΙ ΤΩΝ ἘΚ ΤΟΥ ἉΓΙΟΥ ΒΑΠΤΙΣΜΑΤΟΣ.

Ἐπὶ δὲ τῆς ἐκ τοῦ ἁγίου βαπτίσματος, καὶ τῆς ἐξ υἱοθεσίας συγγενείας, τὸν αὐτὸν ζητητέον βαθμὸν, ὃν καὶ ἐπὶ τῆς ἐξ αἵματος. διὰ τὸ λέγειν τὸν πεντηκοστὸν τρίτον κανόνα τῆς ἐν τρούλλῳ ἁγίας συνόδου, μείζονα εἶναι τὴν πνευματικὴν οἰκειότητα, τῆς τῶν σωμάτων συναφείας. εἰ καὶ ὁ νόμος μέχρι τρίτου μόνον, ἢ καὶ τεσσάρων βαθμῶν, ταύτην κεκώλυκεν· ἤγουν τὸ μὴ λαβεῖν τινὰ, ἢ τὸν υἱὸν αὐτοῦ, τὴν μητέρα ἢ τὴν ἀδελφὴν τοῦ ὑπ' αὐτοῦ ἀναδεχθέντος ἢ υἱοθετηθέντος. φησὶ γάρ. ὁ

ἀπὸ

ἀπὸ τοῦ ἁγίου βαπτίσματος τινὰ δεξάμενος, οὐ δύναται αὐτὴν ὕστερον πρὸς γάμον ἀγαγέσθαι· ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην· οὐ δὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα, ἀλλ᾽ οὐ δὲ ὁ υἱὸς αὐτοῦ. ἐπειδὴ οὐδὲν ἄλλο δύναται συναγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν παρὰ τὸν τοιοῦτον δεσμόν. δι᾽ οὗ θεοῦ μεσάζοντος, αἱ ψυχαὶ αὐτῶν συνάπτονται. ἰστέον δὲ, ὡς ἄλλως ἐπὶ τούτων, ἢ ἐπὶ τῶν ἐξ αἵματος, οἱ βαθμοὶ καταριθμοῦνται· δι᾽ ὁ μὲν ἀναδεξάμενος τινὰ, ἢ υἱοθετήσας, πρὸς μὲν αὐτὸν ὃν ἀνεδέξατο, ἢ υἱοθέτησε, πρώτου βαθμοῦ ἐστι· πρὸς δὲ τὸν πατέρα, ἢ τὴν μητέρα αὐτοῦ, δευτέρου· πρὸς δὲ τοὺς αὐταδέλφους αὐτοῦ, τρίτου. οἱ δὲ υἱοὶ αὐτοῦ, πρὸς μὲν τὸν ἀναδεξάμενον, ἢ υἱοθετήσαντα, δευτέρου βαθμοῦ εἰσι· ἀλλὰ τὸ ὡς ἀδελφοὺς αὐτοῦ μὲν ἔχειν, πρὸς δὲ τοὺς αὐταδέλφους αὐτοῦ, τετάρτου.

ΠΕΡῚ ἈΔΕΛΦΟΠΟΙΐΑΣ.

Ἡ δὲ ἀδελφοποιΐα, ὡς μὴ γεγονυῖα λογίζεται, καὶ ἔστι πρὸς γάμον ἀκώλυτον. ἡ γὰρ θέσις, μιμεῖται τὴν φύσιν, οὐδεὶς δὲ γαμεῖ ἑαυτοῦ ἀδελφούς.

ΠΕΡῚ ΚΕΚΩΛΥΜΈΝΩΝ ΓΑΜΩΝ.

Τοὺς κεκωλυμένους γάμους, ὁρίζομεν οὕτως· ἐπὶ μὲν γὰρ τῶν ἀνιόντων εἰς ἄπειρον ὁ γάμος κεκώλυται, κἂν μὴ ἐξ ἐννόμων ὦσι γάμων. οὐ δύναται γάρ τις λαμβάνειν τὴν ἰδίαν μάμμην, οὐ δὲ τὴν ἔκγονον, εἴτε φυσικοὶ εἰσιν, εἴτε θετοί. εἰ καὶ τὰ μάλιστα ἐλύθη ἡ θέσις τῷ τρόπῳ τῆς αὐτεξουσιότητος· αἰσχυνέσθω γὰρ τῇ ἐκγόνῃ πάλαι, ἡ τοῦ πάππου προσηγορία.

Καὶ μεταξὺ δὲ τῶν ἐκ πλαγίου προσώπων, ἔστι τις κώλυσις, τὴν τοῦ ἀδελφοῦ μου, ἢ τῆς ἀδελφῆς μου θυγατέρα, οὐ λαμβάνω πρὸς γάμον· ἀλλ᾽ οὐ δὲ τὴν τούτων ἔκγονον, κἂν τετάρτου ἐστὶ βαθμοῦ, δύναμαι λαμβάνειν εἰς γάμον. ὁμοίως τὴν θυγατέρα τῆς θείας, ἢ τοῦ θείου, τουτέστι τὴν ἐξαδέλφην μου· ἀλλ᾽ οὐ δὲ ὁ υἱός μου τὴν ἔκγονον αὐτῶν, οἳ πῶς λέγονται διεξαδελ-

φοι, ἀλλ᾽ οὐδὲ τὴν τοῦ πατρὸς, ἢ τῆς μητρός μου θείαν, εἰ καὶ εἰσὶ θεταί· ἐπειδὴ μητέρων τάξιν ἐπέχουσι. καὶ πῶς συμβαίνει εἶναι θετὴν θείαν· δι᾽ ὁ πάππος μου ὁ πρὸ πατρὸς, ἔχων υἱὸν τὸν ἐμὸν πατέρα, ἔλαβε κόρην τινὰ εἰς θέσιν, καὶ ὁ μὲν ἐμὸς πατὴρ, ἐκάλει αὐτὴν ἀδελφὴν θετὴν, ἐγὼ δὲ θείαν ὡσαύτως οὐ δὲ τὴν μεγάλην μου θείαν δύναμαι λαβεῖν, τουτέστι τὴν τοῦ πάππου μου ἀδελφὴν, εἰ καὶ θετή ἐστιν, ἐπειδὴ μάμμης τάξιν ἐπέχει

Εἰσὶ δὲ καὶ ἕτεροι οὐ διὰ θεσμὸν συγγενείας, διὰ δὲ ἀγχιστείαν οὐ προβαίνοντες· ἀγχιστεία δέ ἐστιν, οἰκειότης προσώπων ἐκ γάμων ἡμῶν συνημμένη, συγγενείας ἐκτός· διὸ οὐ δύναμαι λαβεῖν τὴν ἐμὴν προγόνην, ἢ νύμφην· καὶ προγόνη μέν ἐστιν, ἡ ἐξ ἄλλου θυγάτηρ, καὶ ἐκγόνη καὶ προεκγόνη τῆς γαμετῆς μου. νύμφη δὲ, ἡ τοῦ υἱοῦ καὶ ἐκγόνου καὶ προεκγόνου γαμετή. οὐδὲ τὴν θυγατέρα τῆς ἀποζευχθείσης μοι γυναικὸς, τὴν μετὰ τὴν ἀπόζευξιν τεχθεῖσαν ἐξ ἑτέρου ἀνδρός. οὐδὲ τὴν πενθεράν μου, ἢ τὴν μητρυιάν μου, ἐπειδὴ μητέρων τάξιν ἐπέχουσιν. οὐδὲ τὴν τοῦ πατρός μου, ἢ ἀδελφοῦ μου μνηστὴν, κἂν γαμετὴ αὐτῶν οὐ γεγόνασιν· ἡ μὲν, γὰρ μητρυιᾶς, ἡ δὲ, νύμφης τάξιν ἐπέχει.

ΝΕΑΡΑῚ ΤΩ͂Ν πατριαρχῶν, Σισινίου καὶ Ξιφιλίνου.

Οὐδὲ τὴν ἀδελφὴν τῆς μνηστῆς μου ἀποθανούσης, λαβεῖν εἰς γυναῖκα δύναμαι, εἰ μόνον ἑπταέτης ἦν ἐκείνη καὶ ἐπέκεινα· ὁπότε καὶ κατὰ συναίνεσιν ἡ μέσον ἡμῶν προέβη μνηστεία. εἰ δὲ ἐλάττων οὖσα ἐτύγχανε τῶν ἑπτὰ ἐτῶν, ἐν τῇ τοιαύτῃ γὰρ ἡλικίᾳ, οὐ δὲ διὰ μόνης συναινέσεως μνηστεία ὅλως συνισταμένη εὐθὺ γινώσκεται, ἀμέμπτως καὶ ἀκατηγορήτως αὐτῇ συζευχθήσομαι. Ἀλλ᾽ οὐδὲ τὴν τοῦ ἀδελφοῦ μου μνηστὴν, ἢ τὴν αὐταδέλφην ἐκείνης εἰς γυναῖκα λαβεῖν δύναμαι, καὶ ἁπλῶς εἰπεῖν ὅσα ἐπὶ τῶν γάμων, τοσαῦτα καὶ ἐπὶ τῆς μνηστείας, ὁ συνοδικὸς ἐνδιατάσσει τόμος τοῦ πατριάρχου Σισινίου καὶ Ξιφιλίνου.

λίνου. Ἡ δὲ νεαρὰ τοῦ βασιλέως καίσαρος Ἀλεξίου, ἐπὶ μὲν τῶν μνηστευομένων, κατὰ τὸν ιδ΄ χρόνον ἐπὶ ἀνδρῶν, καὶ ἐπὶ τῶν γυναικῶν κατὰ τὸν ιβ΄ μετὰ ἱερᾶς εὐλογίας, ἤγουν τῶν συνήθων εὐχῶν· αἳ τοῖς μνηστευομένοις διὰ τοῦ ἱερέως ἐκφωνοῦνται, κρατεῖν τὸν συνοδικὸν τοῦτον τόμον ἐθέσπισεν. ἐπὶ δὲ τῶν μνηστευομένων, κάτω τῶν τοιούτων ἐνιαυτῶν, καὶ ἱερᾶς εὐλογίας ἄνευ, οὐδαμῶς· ἀλλὰ τὸ τοῦ νόμου μόνον κρατεῖν, τὸ μὴ δύνασθαι τινὰ λαβεῖν τὴν τοῦ ἀδελφοῦ αὐτοῦ μνηστήν. Ὁ θετὸς υἱὸς καὶ αὐτεξούσιος γενόμενος, οὐ δύναται τὴν γενομένην τοῦ θετοῦ πατρὸς γαμετὴν λαμβάνειν πρὸς γάμον, ὥσπερ οὐδὲ τὴν αὐτοῦ τοῦ υἱοῦ γαμετήν, ὁ αὐτεξούσιον αὐτὸν ποιήσας θετὸς πατήρ, εἰ καὶ ἡ θέσις ἐλύθη, καὶ μὴ ἅπτηται τοῦ γένους αὐτῶν· ἡ μὲν, γὰρ μητρυιᾶς· ἡ δέ, νύμφης τάξιν ἐπέχει. Καὶ ὁ φυσικὸς πατήρ, οὐ λαμβάνει τὴν προγονὴν αὐτοῦ θυγατέρα· τὸ φύσει γὰρ δίκαιον καὶ εὐπρεπές, ἐν τοῖς γάμοις σκοπεῖται. τὰ αὐτὰ καὶ περὶ δουλικῆς ἀγχιστείας φυλάττεσθαι χρή. Οὐ μόνον ἡ τοῦ πατρός μου, ἀλλὰ καὶ τοῦ πάππου ἢ προπάππου γαμετὴ μητρυιὰ λέγεται, ἣν κωλύομαι λαβεῖν αὐτάς, κἂν πολλὰς ἔχῃ ὁ πατήρ μου, οὐδεμίαν αὐτῶν λαμβάνω.

Πενθερά ἐστιν, ἡ μήτηρ καὶ ἡ μάμμη τῆς γαμετῆς μου, καὶ οὐδεμίαν αὐτῶν λαμβάνω, οὐ δὲ τὴν μητέρα τῆς ποτέ μου μνηστῆς· γέγονε γὰρ πενθερά, ὅτε τὴν ποτὲ γυναῖκα τοῦ προγόνου μου. Οὔτε ἡ μητρυιὰ λαμβάνει τὸν γενόμενον ἄνδρα τῆς προγονῆς αὐτῆς. Τὴν προεκγόνην τῆς ἀδελφῆς μου, γαμεῖν οὐ δύναμαι· γονέως γὰρ ἔχω πρὸς αὐτὴν τάξιν, ὅτε τὴν θυγατέρα τῆς προγονῆς μου λαμβάνω. Ἐν τοῖς γάμοις οὐ μόνον τὸ ἐπιτετραμμένον, ἀλλὰ καὶ τὸ εὐπρεπὲς ζητητέον.

ΝΕΑΡΑ΄. Κεκώλυκεν ἡ ἐκκλησία, τὸν αὐτὸν καὶ ἕνα, δευτέρας ἐξαδέλφας λαμβάνειν, οὐ γὰρ ἕβδομος ἐξ ἀγχιστείας ὡς οἴονταί τινες συνάγεται βαθμός, ἀλλ' ἕκτος· διὰ τὸ ἕ-

νὸς βαθμοῦ λογίζεσθαι τὴν αὐτὴν μετὰ τῆς γυναικός· τοῦτο γὰρ ζητηθὲν ἐπὶ τοῦ πατριάρχου Νικολάου, ἐκωλύθη παρὰ τῆς ἐκκλησίας. προέβη δὲ καὶ διάπισμα τοῦ βασιλέως καίσαρος Μανουὴλ, μὴ γίνεσθαί ποτε τοῦτο διοριζόμενον. ΝΕΑΡΑ'.

τὸ τοῦ πατριάρχου Στυπῆ ψήφισμα, ὡς τὸ τοῦ πατριάρχου Ἀρσενίου, δύο ἀδελφοὺς νύμφην λαβεῖν καὶ αὐταδέλφην, ἀκώλυτον εἶναι κρίνουσιν. ΝΕΑΡΑ'. καὶ τὸ τοῦ πατριάρχου Μιχαὴλ, τὴν θυγατέρα τοῦ Ἰωάννου τυχὸν, καὶ τὴν ἀνεψιὰν τῆς γυναικὸς αὐτοῦ, δυσὶν ἀδελφοῖς ἐπιτρέπει συζευχθῆναι, ἣν ἐξ ἑτέρας ἔχει ὁ Ἰωάννης γυναικὸς δηλονότι.

Ἐν τοῖς γάμοις, οὐ μόνον τὴν ἀκρίβειαν τοῦ νόμου σκοπεῖσθαι χρεὼν, ἀλλ' εἰ καὶ σεμνόν ἐστι τὸ πραττόμενον, φησὶ τὸ ρθ' κεφάλαιον τοῦ γ' τίτλου τοῦ δευτέρου βιβλίου τῶν βασιλικῶν, οὐ πᾶν ὅπερ ἔξεστιν, ἤδη καὶ εὐπρεπές ἐστιν. τὴν ἐκ πορνείας ἀδελφὴν, οὐδεὶς λαμβάνει, οὔτε ὁ θετὸς τὴν τοῦ θετοῦ υἱοῦ μητέρα, ἢ τὴν ἀδελφὴν αὐτοῦ, ἢ τὴν ἀπὸ υἱοῦ ἐκγόνην.

Οὐκ εὐπρεπῶς ἡ γυνὴ τοῦ ἰδίου πάτρωνος, γαμεῖται ἀπελευθέρῳ αὐτοῦ.

## ΠΕΡῚ ἘΠΙΤΡΟΠΩΝ.

Κἂν ἀποδῷ τοὺς λόγους ὁ ἐπίτροπος ἢ κουράτωρ, τὴν ἐπιτροπευθεῖσαν ὑπ' αὐτοῦ οὐ δύναται λαβεῖν, ἕως οὗ γένηται εἰκοσιπέντε ἐτῶν, καὶ ὁ τῆς ἀποκαταστάσεως τετραετὴς χρόνος παραδράμῃ, κἂν τὰ μάλιστα πρὸς γάμον ἑτέρῳ αὐτὴ συναφθεῖσα παῖδας ἔχει. οὔτε ὁ πατὴρ τοῦ ἐπιτρόπου, οὔτε ὁ συνυπεξούσιος αὐτοῦ ἀδελφὸς, δύναται γαμεῖν τὴν ὀρφανὴν, οὐδὲ ὁ υἱὸς ἢ ὁ ἔκγονος αὐτοῦ. Δύναται ὁ κουράτωρ συνάψαι τὴν ἰδίαν θυγατέρα τῷ κουρατορευομένῳ ὑπ' αὐτοῦ· τὸν δὲ υἱὸν αὐτοῦ, τῇ κουρατορευομένῃ οὐ δύναται, χωρὶς βασιλικῆς κελεύσεως, ἐπεὶ ἀτιμοῦται. καὶ ὁ κουράτωρ τῆς θυγατρὸς, τῇ τῆς οὐσίας ὑπόκειται κωλύσει· χρεωστεῖ γὰρ ἀποδοῦναι τοὺς λόγους,

καὶ

καὶ ἀδιάφορον, ἔτι πολύν τις διώκησε χρόνον, ἔτι ὀλίγους.

Ὁ θετὸς υἱὸς, οὐ δύναται τὴν γαμετὴν τοῦ πατρὸς γαμεῖν· εἰ καὶ μὴ ἅπτεται τοῦ γένους αὐτοῦ.

ΠΕΡΙ ΜΟΙΧΕΙΑΣ.

Ὁ ἐπὶ μοιχείᾳ γυναικὸς κατηγορηθεὶς, οὐ δύναται ταύτην γαμετὴν ἀγαγέσθαι. Ἴστεον δὲ ὅτι ἡ κατηγορηθεῖσα γυνὴ, εἰ μὲν εἰς μοιχείαν καταδικασθῇ, ἐμβάλλεσθαι ἐν μοναστηρίῳ· εἰ δὲ ἐκ τῶν ἄλλων αἰτιῶν καταδικασθῇ, χωρὶς ταύτης τῆς αἰτίας, οὐκ ἀποκλείεται· ἀλλὰ λύεται μὲν ὁ γάμος, ἔσωθεν δὲ τῶν πέντε ἐνιαυτῶν, οὐ δύναται ἡ γυνὴ πρὸς δεύτερον γάμον ἐλθεῖν. Ὁ γήμας τὴν ἐπὶ μοιχείᾳ καταδικασθεῖσαν, ὑπόκειται τῷ περὶ μοιχείας ἐγκλήματι· οὐ μὴν ὁ παλλακευόμενος αὐτήν. Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγωμαι αὐτήν, εἰ δὲ μὴ αὐτὴ κατεδικάσθη, οὔτε ὁ γάμος ἔῤῥωται· ἀλλ᾽ εἰ καὶ κληρονόμον αὐτὴν γράψω, ἢ αὐτὴ ἐμέ, δημεύεται ἡ κληρονομία. Αἱ τῶν πενθουμένων καὶ αἱ τῶν μὴ πενθουμένων ἀνδρῶν γαμεταὶ, κωλύονται ἐπὶ τῷ πενθίμῳ καιρῷ γαμεῖσθαι. Ἡ ἐν τῷ πενθεῖν τὸν ἄνδρα κυνήσασα, ἔτι κωλύεται γάμῳ προσελθεῖν. Ἡ δὲ τεκοῦσα, ἐν τῷ πενθίμῳ παραχρῆμα δύναται γαμεῖν· τὸ μὲν ἐν, περὶ ἀνδρὸς ἀξίου πενθεῖσθαι· τὸ δὲ ἕτερον περὶ τοῦ μὴ ἀξίου πενθεῖσθαι.

ΣΧΟΛ. Ἴστεον δὲ ὅτι κατὰ δύο αἰτίας ὁ πένθιμος ἐτυπώθη χρόνος, διὰ τὸ μὴ σύγχυσιν γίνεσθαι τῆς γονῆς, καὶ διὰ τὴν ὀφειλομένην αἰδῶ καὶ τιμὴν τῷ ἀνδρί. αἱ οὖν γυναῖκες τῶν μὴ ἀξίων πενθεῖσθαι, διὰ τὸ εἰς δημόσια τυχὸν περιπεσεῖν ἐγκλήματα, μετὰ τὸν τόκον, οὐ κωλύονται καὶ ἐν τῷ πενθίμῳ γαμεῖσθαι. αἱ δὲ τῶν ἀξίων πενθεῖσθαι γαμεταὶ, καὶ μετὰ τὸν τόκον γαμεῖσθαι ἐν τῷ πένθει κωλύονται, διὰ τὴν ὀφειλομένην αἰδῶ τιμὴν τῷ ἀνδρί· εἰ μὴ κατὰ κέλευσιν βασιλέως τοῦτο ποιήσει. Ἐπὶ τῶν γυναικῶν τῶν ἀτίμων ἀνδρῶν,

ἡ τεκοῦσα ἐν τῷ πένθει, κωλύεται γαμεῖν· τὸ μὲν γὰρ πένθος, ἐπὶ τῶν γυναικῶν τῶν ἐντίμων ἀνδρῶν λέγεται· ὁ δὲ πένθιμος ἐπὶ τῶν ἀτίμων. ἡ μὲν οὖν γυνὴ τοῦ ἀνδρὸς τοῦ ἀτίμου ἐφ᾽ ἧς ἐστὶν ὁ πένθιμος χρόνος λέγεται μετὰ τὸ τεκεῖν, οὐ κωλύεται γαμεῖσθαι· οὐ γὰρ διὰ τὴν τιμὴν τοῦ τεθνηκότος πρὸ τοῦ γεννῆσαι, ἐκωλύετο αὕτη γαμεῖσθαι, ἀλλὰ διὰ τὴν τῆς γονῆς σύγχυσιν. ἡ δὲ τοῦ ἐντίμου γυνὴ ἐφ᾽ οἷς τὸ πένθος λέγεται, κἂν τέκῃ, ἀλλ᾽ οὖν τὸν χρόνον ὀφείλει φυλάξαι· ἐπεὶ οὐ διὰ μόνην τὴν σύγχυσιν τῆς γονῆς κωλύεται, ἀλλὰ καὶ διὰ τὴν τιμὴν τοῦ τεθνηκότος. Εἰ πρὸ τοῦ πενθίμου χρόνου τέκοι γυνὴ πρὸς τῷ πέρατι τοῦ ἔτους, ὥστε εἶναι ἀναμφισβήτητον, τὸ μὴ τὴν γονὴν ἐκ τοῦ προτέρου καθεστάναι συνοικεσίου, παντοίως αὐτὴν στερεῖσθαι διαγορεύομεν τῆς προγαμιαίας δωρεᾶς· καὶ κατὰ δεσποτείαν, καὶ κατὰ χρῆσιν ἀποκειμένην. Ὁ παρθένον, ἢ χήραν ἁρπάσας, εἰ καὶ μνηστήν, οὐ δύναται ταύτην γαμεῖν, οὐ δὲ συναινοῦντος τοῦ ταύτης πατρὸς, καὶ συγχωροῦντος τὸ ἔγκλημα· τιμωρεῖται δὲ καὶ μετὰ τῶν συνδραμόντων αὐτῷ. εἰ δὲ ἡ ἁρπαγεῖσα κόρη εἰς γάμομ τάχα συναφθῆναι θελήσει, μετὰ θάνατομ τούτου, κἂμ παῖδας ἐξ αὐτοῦ ἔχῃ, κἂμ ἐκεῖνος τελευτῶν διατάξηται, οὐ διαδέχεται τοῦτομ· ἐὰν δὲ μὴ συναφθῇ τούτῳ, λαμβάνει τὴν οὐσίαν αὐτοῦ· ἀλλ᾽ οὐ δὲ ἀπὸ τῆς πατρικῆς ἐξουσίας αὐτῆς κερδαίνει τι, ἀλλὰ τὰ μὲν τοῦ πατρὸς πράγματα, πρὸς τοὺς ἄλλους κληρονόμους καταλιμπάνεται· τὰ δὲ τοῦ ἅρπαγος, εἰς τὸ δημόσιομ εἰσκομίζεται. εὑρήσεις δὲ τὰ περὶ τούτωμ πλατύτερομ, ἐν τῷ περὶ ποινῶμ βιβλίῳ, εἰς τὸμ περὶ ἁρπαζόντωμ τίτλομ.

## ΡΕΡΙ ΓΑΜΟΥ ἈΘΕΜΙΤΟΥ.

Ἀθέμιτος γάμος ἐστὶμ, ὁ μεταξὺ ἀνιόντωμ καὶ κατιόντωμ, ἐπὶ δὲ τῶν κεκωλυμένωμ, ὁ ἐκ πλαγίου καὶ ἐξ ἀγχιστείας.

## ΠΟΙΝΗ ἈΘΕΜΙΤΟΓΑΜΙΑΣ.

Ὁ ἀθέ-

Ὁ ἀθέμιτον γάμον ποιήσας ἀφαιρεῖται τὴν ἀξίαν, καὶ δημεύεται καὶ ἐξορίζεται· εἰ δὲ εὐτελής ἐστι, καὶ τὸ σῶμα μαστίζεται. Ἐπὶ τῶν ἀθεμίτων γάμων, καὶ τὰ τῆς αἰδοῦς πράγματα, καὶ τὰ διδόμενα τούτῳ εἰς προῖκα, ἀφαιροῦνται παρὰ τοῦ δημοσίου, καὶ εἰ μὲν ἔχει παῖδας ἐκ προτέρων ἐννόμων γάμων, δίδονται· εἰ δὲ μή, δημόσια γίνονται. Οἱ ἀπὸ κεκωλυμένων γάμων τικτόμενοι παῖδες, οὐ δὲ τῆς τῶν νόθων ἀξιοῦνται προσηγορίας· οὐ δὲ διαδέχονται κατά τι τὸν ἴδιον πατέρα. Κωλύονται καὶ οὗτοι ῥητῶς· ὁ κατηγορηθεὶς μοιχός, εἰ καὶ μὴ φανερῶς ἀπηλέγχθη, οὐ δύναται λαβεῖν ὅμως εἰς γυναῖκα, δι᾽ ἣν κατηγορήθη· ἵνα μὴ τὴν προλαβοῦσαν βεβαιώσῃ κατηγορίαν. Οὐ δὲ ὁ ἀπελεύθερος τὴν γυναῖκα τοῦ πάτρωνος αὐτοῦ· ἵνα μὴ καὶ αὐτὸς ὑποψίαν παράσχῃ, ὡς ἐμοίχευσε ταύτην. Οὐ δὲ ὁ ἐπίτροπος τὴν ὀρφανήν, πρὸ τοῦ ἐπιλυθῆναι τὴν ἐπιτροπήν. Οὐ δὲ ὁ δημόσιος παιγνιώτης, ἢ ὁ υἱὸς αὐτοῦ, γυναῖκα ἢ θυγατέρα συγκλητικοῦ. Δεῖ δὲ καὶ τὸ εὐπρεπὲς ἐν τούτοις ζητεῖν. Ταῦτα μὲν οὖν ἐκ τῶν νόμων συνῆκται, καὶ κατ᾽ ἐπιτομὴν εἴρηται καὶ οὕτως εἰσὶν ἐνεργούμενα.

✱ ΝΕΑΡΑ. Ὁ δὲ ζ΄ βαθμὸς ἐπὶ τῶν ἐξ αἵματος, παρὰ μὲν τοῦ νόμου κεκώλυται· παρὰ δὲ τοῦ πατριάρχου καίσαρος Ἀλεξίου καὶ τῆς τότε συνόδου κεκώλυται μέν, πρὸ τοῦ προβῆναι καὶ τελεσθῆναι· μετὰ δὲ τὸ προβῆναι, οὐ διαχωρίζονται μὲν οἱ συναπτόμενοι· καθυποβάλλονται δὲ ἐπιτιμίῳ, κατὰ τὴν συνοδικὴν ταύτην οἰκονομίαν. Ἐκωλύθη δὲ ὕστερον παντελῶς ὁ τοιοῦτος ζ΄ βαθμός, δι᾽ ὑπομνήματος συνοδικοῦ, τοῦ ἁγιωτάτου πατριάρχου καίσαρος Λουκᾶ ἐπικυρωθέντος διὰ προστάγματος τοῦ βασιλέως καίσαρος Μανουὴλ τοῦ Κομνηνοῦ.

✱ Ἰστέον δὲ ὅτι ἡ μνηστεία ἔλαττόν ἐστι τοῦ γάμου, καὶ διὰ τοῦτο ἐπὶ τῶν γαμικῶν συναλλαγμάτων, οὐ πολυπραγμονεῖται, ὡς ὁ τέλειος γάμος· ἀλλὰ καὶ ἐν ἐλάττονι βαθμῷ, συνάλλαγμα γαμικὸν γίνεται, μνη-

στείας

στείας μόνον ἡγνισμένης ἐν ἀγχιστείᾳ.

ΚΑΙ ΤΑΥΤΑ ΠΕΡΙ ΓΑΜΟΥ ΚΕΚΩΛΥΜΕΝΩΝ

Τί διαφέρει ἴνκεστος, δαμνάτος, καὶ νεφάριος.

Ἴνκεστος μὲν ἐστιν, ὁ ἐξ αἵματος τὴν σύστασιν ἔχων· οἷον, εἰς ἀνεψιάν, θείαν, ἐξαδέλφην. Δαμνάτος, ὁ κεκωλυμένος· οἷον ὁ ἐπίτροπος πρὸς τὴν ἐπιτροπευομένην, καὶ ἀπελεύθερος, πρὸς πατρώνισσαν. Νεφάριος δὲ ὁ παράνομος· οἷον πρὸς μοναχὴν καὶ ἀσκήτριαν, ἢ καὶ τὴν ἐξ ἁρπαγῆς.

ΠΕΡΙ ΔΕΥΤΕΡΟΓΑΜΟΥΝΤΩΝ. τίτλ. ζ.

Πᾶσα γυνὴ ὀφείλει ἐνιαυτὸν πενθεῖν τὸν ἄνδρα αὐτῆς, καὶ μὴ γαμηθῆναι πρὸ συμπληρώσεως τοῦ ἐνιαυτοῦ· ἐπεὶ καὶ αὐτὴ ἡ γυνὴ τὰς αἰτίας τῆς λύσεως παρέχοι δίχα δύο θεμάτων, οὐ δύναται ἄλλῳ γαμηθῆναι, πρὸ συμπληρώσεως πενταετίας. Τὰ δύο δὲ θέματα ταῦτα ἐστιν, ὅτε ἐπὶ μοιχείᾳ κατηγορηθῇ, καὶ ὅτε ἀλόγως ἀποστάσιον πέμψει τῷ ἀνδρί· τότε γὰρ εἰς μοναστήριον βάλλεται. Ἡ δὲ τοῦ ἀλόγου πομπῆς τοῦ ἀποστασίου, κοινή ἐστι, καὶ ἐπὶ ἀνδρὸς νοουμένη. Εἰ μὲν εὐλόγως ὁ ἀνὴρ τῆς γυναικὸς χωρισθείη διαζυγίῳ, καὶ εἰς πενταετίας ὅλην πρὸς δεύτερον ἐλθεῖν γάμον κεκώλυται ἡ γυνή. Εἰ δὲ μή γε, οὐκ ἔστιν ἀνεύθυνος, καὶ οὐδὲ νόμιμος ὁ γάμος κληθήσεται. Εἰ δὲ ἡ γυνὴ τοῦ ἀνδρὸς ἀλόγως χωρισθείη, πρὶν ἐνιαυτὸν ἐξήκειν, εἰς δεύτερον ἐλθεῖν γάμον οὐκ ἐπιτέτραπται, διὰ τὴν τῆς γονῆς σύγχυσιν· τῷ δὲ ἀνδρί, καὶ παραχρῆμα γαμεῖν ἔξεστι, διὰ τὸ μηδεμίαν ἐντεῦθεν περὶ τὴν γονὴν γίνεσθαι σύγχυσιν.

ΠΕΡΙ ἈΝΑΓΩΓΗΣ ΠΑΙΔΩΝ.

Μήτηρ ἐθέλουσα καὶ προτεινομένη, ἀναγέτω τοὺς ἰδίους παῖδας, μὴ δευτερογαμοῦσα μέν τοι γε τοῦτο νόει, ἐὰν τελευτῇ, ἐλύθη ὁ γάμος· εἰ γὰρ ῥεπουδίῳ ἐλύθη ὁ γάμος, τότε παρὰ τῷ μὴ δεδωκότι τὴν αἰτίαν τῆς λύσεως οἱ παῖδες μένουσι, κατὰ τὴν ριζ΄ νεαράν. Εἰ ὁ ἀνὴρ πόῤῥω ὢν τελευτήσει, καὶ σφαλ-

μετὰ τὸν πένθιμον χρόνον, καὶ εἰς τὴν ἐσχάτην ἡμέραν τοῦ ἐνιαυτοῦ μάθῃ τὴν τελευτὴν τοῦ ἀνδρὸς ἡ γυνὴ δύναται κατ᾽ αὐτὴν τὴν ἡμέραν καὶ ἀπαλείφεσθαι τὰ πένθιμα, καὶ γαμεῖν. Ὁ ἀνὴρ, οὐ πενθεῖ τὴν γαμετὴν, οὔτε ἡ μνηστὴ τὸν μνηστῆρα. Κατὰ κέλευσιν βασιλέως δύναται ἡ γυνὴ ἐν τῷ πενθίμῳ χρόνῳ γαμεῖν. Καὶ ἡ μὴ συναφθεῖσα ἀνδρὶ, ἀλλ᾽ ἔτι παρθένος οὖσα, πενθεῖν χρεωστεῖ τὸν ἄνδρα· τοῦτο δὲ νόησον, ὡς ἐν γάμῳ εἶναι τὴν γυναῖκα, καὶ οὐχὶ ἐν μνηστείᾳ. Ἡ ἐπιτροπεύσασα τῶν παίδων γυνὴ ὡς ἀνήβων, εἰ πρὸς δεύτερον ἔλθοι γάμον, μὴ πρότερον ἐπίτροπόν τε αἰτήσασα καὶ τοὺς λογισμοὺς παρασχομένη, καὶ καταβαλοῦσα πᾶν ὅσον ἔμπροσθεν ὀφείλει, τήν τε οὐσίαν αὐτῆς καὶ τὴν τοῦ γήμαντος ὑποτίθησι τοῖς παισί, καὶ ἀνήβου τοῦ παιδὸς τελευτήσαντος, οὐ διαδέχεται· εἰ καὶ ὁ πατὴρ εἴποι τοῦτο, καὶ πρὸς τούτοις ταῖς ποιναῖς ὑπόκειται ταῖς αὐταῖς, αἷς καὶ ἡ πρὸ τοῦ πενθίμου χρόνου δευτερογαμήσασα. Ἡ ἐλάττων τῶν κε' ἐνιαυτῶν αὐτεξουσία μέλλουσα δευτερογαμεῖν, γνώμῃ τοῦ πατρὸς γαμείσθω· εἰ δὲ ἐτελεύτησεν ὁ πατὴρ, γνώμῃ τῶν συγγενῶν. ἡ δὲ τελεία οὐδ᾽ ἐπὶ τῷ δευτέρῳ γάμῳ δεῖται τῆς τοῦ πατρὸς συναινέσεως· εἰ δὲ ἐναντιοῦνται καὶ τοῖς συγγενέσιν, ὁ ἄρχων κρινέτω τὴν βελτίονα γνώμην, ἵνα ἴσοι ὦσι γένει καὶ τρόποις οἱ δύο μνηστῆρες, ὃν οἱ συγγενεῖς βούλονται, καὶ ὃν ἡ γυνὴ ἐπιλέγεται, προτιμᾶται ἡ τῆς γυναικὸς κρίσις.

## ΠΕΡΙ ΠΡΟΓΑΜΙΑΙΑΣ ΔΩΡΕΑΣ.

Τῆς μητρὸς ἅπαξ εἰς δευτέρους γάμους ἐλθούσης, κέρδος εὐθὺς ἁπάντων τῶν παίδων τὴν δεσποτείαν τῆς προγαμιαίας δωρεᾶς γίνεσθαι, καὶ οὐδεμίαν ἄδειαν εἶναι τῇ μητρί, τοὺς μὲν τῶν παίδων ἐπιλέγεσθαι, τοὺς δὲ ἀτιμάζειν. διότι πάντας ὁμοῦ τοῖς δευτέροις ὑβρίσασα γάμοις, ὥς τε καὶ ἐπὶ τοῦ παρόντος, ἡ δεσποτεία τῆς προγαμιαίας δωρεᾶς ἕλκει πρὸς τὴν παίδων

παραγενήσεται· τῆς χρήσεως παρὰ τῇ μητρὶ μέχρις τότε φυλαττομένης. καὶ εἰ μὲν ἡ μήτηρ προαπέλθοι τῇ παιδὶ τῆς ὅλης προγαμιαίας δωρεᾶς ἁρμοζούσης. εἰ δὲ ἡ παῖς, μένειν μὲν παρὰ τῇ μητρὶ τὸ ἐκ τῆς ἀπαιδίας συμφώνου κέρδος· τὸ δὲ λοιπὸν τῆς παιδὸς εἶναι, καὶ τελευτῶσαν, τοῦτο παραπέμπειν εἰς τοὺς αὐτῆς κληρονόμους, οἵτινες ἐκ τοῦ νόμου καλοῦνται. εἰ δὲ οὐ παιδὶ τυχόν, ἀλλ' ἄλλῳ τινὶ τῶν ἔξωθεν ἡ μήτηρ, ἔτι δευτέρων ἄπειρος οὖσα γάμων, μοῖραν τινὰ τῆς προγαμιαίας δωρεᾶς, ἢ τινὰ πράγματα ἐξ αὐτῆς, ἢ πᾶσαν δωρήσηται, ἢ κατ' ἄλλον τυχὸν ἐκποιήσηται τρόπον· εἶτα εἰς ἀνδρὸς φοιτήσει δευτέρου γάμον, πρόδηλον ὡς τῷ ἤδη γενομένῳ δευτέρῳ γάμῳ, τὸ τῆς ἐκποιήσεως ἀνατραπήσεται, καὶ οὐδὲ αὐτὸ πᾶσι τρόποις, ἀλλ' ἐν μετεώρῳ καὶ τὰ τῆς ἐκποιήσεως καὶ τὰ τῆς ἀνατροπῆς μένει. εἰ μὲν γὰρ μείναιεν περιόντες παῖδες, ἀνατραπήσεται καθάπαξ τὸ γενόμενον. τοῦ νόμου τὴν δεσποτείαν τῆς προγαμιαίας δωρεᾶς εἰς τοὺς παῖδας ἄγοντος, καὶ οὐδὲν ἐπιτρεπομένου τῆς γυναικός, ἔτι πράξειεν ἤδη βλάβην τῶν παίδων· εἰ δὲ προτελευτήσουσιν ἅπαντες τῆς μητρός, μένειν τὸ συνάλλαγμα βέβαιον, οὐκ εἰς ὁλόκληρον, ἀλλὰ κατὰ τὸ ἐξ ἀπαιδίας σύμφωνον· καὶ κατά τινα μὲν μοῖραν ἔσται τὸ συνάλλαγμα βέβαιον. κατά τινα δέ, ἄκυρον ἀναφανθήσεται. τουτέστι κατὰ μὲν τὸ μένον παρὰ τῇ μητρὶ προφάσει τοῦ ἐξ ἀπαιδίας συμφώνου κρατήσει· κατὰ δὲ τὸ παραπεμπόμενον εἰς τοὺς τῆς παιδὸς διαδόχους, ἄκυρον ἔσται. ὡς εἴγε ἡ μήτηρ μόνη τῷ παιδὶ διάδοχος εὑρεθείη, τὸ πᾶν αὖθις κύριον ἔσται. Τὰ γαμικὰ κέρδη, καὶ μὴ κληρονομοῦντες τοὺς γονεῖς οἱ παῖδες ἐχέτωσαν. ὁ γὰρ νόμος τῆς τῶν ἰδιωτῶν γνώμης ἰσχυρότερός ἐστιν, ὅθεν τὸ ἐκ νόμου διδόμενον τινὶ κέρδος, ἰδιώτης παντάπασιν ἀφαιρεῖσθαι οὐ δύναται.

Τὸ ἐξ ἀπαιδίας μέρος τοιοῦτόν ἐστιν, οἷον τῶν γαμικῶν κερδῶν εἰρημένον. συνεφωνήθη ἄπαιδος τελευτῶντος τοῦ ἀνδρὸς, κερδᾶναι

τὴν

τὴν γυναῖκα τὸ ἥμισυ τῆς προγάμου δωρεᾶς· εὑρέθη δὲ τὰ γαμικὰ κέρδη, α ͵ ῑι ποσότης, εἰσὶ παῖδες πέντε, ἑκάστῳ τούτων ἁρμόζει ῑι σ· ἔστιν οὖν τῆς ἐξ ἀπαιδίας ἐφ' ἑκάστῳ αὐτῶν, ῑι ϙ· τὸ γὰρ ἥμισυ τῶν σ, ϙ, ὑπεθέμεθα δὲ συμφωνηθῆναι κερδαίνειν τὴν μητέρα ἐξ ἀπαιδίας τὸ ἥμισυ. ταυτὸν ἐστὶ κἂν τρίτον ἢ δ, ἢ ἄλλο τι συμφωνηθῇ. ὁμοίως δὲ ταῦτα νόει, καὶ περὶ ἀνδρὶ ἐπὶ τῆς γυναικείας προικὸς συμφωνεῖσθαι καὶ γίνεσθαι. τὴν προῖκα μὴ εἰσενεγκαμένην, μὴ δύνασθαι τὰ τοῦ ἀνδρὸς οἰκειοῦσθαι, ἀλλὰ τῆς προγαμιαίας δωρεᾶς, καὶ ὁ μὴ τὴν διὰ γάμον ἐπιδοὺς δωρεὰν ἀνήρ, οὐ λαμβάνει τι ἐκ τῆς οὐσίας τῆς γυναικὸς, εἰ μὴ ἡ συνοικοῦσα αὐτῷ περὶ δωρήσασθαί τι, ἢ καταλεῖψαι βουληθείη. θεσπίζομεν τὰ ἄλλα πράγματα μετὰ τὴν προγάμου δωρεὰν, εἰς τοὺς παῖδας ἀφικνούμενα· εἰ μὲν ὁ παῖς ἄρρεν, ἢ θῆλυ τυχὸν διαδοίη, κατὰ τὸν νόμον χωρεῖν ἐπὶ τοὺς γεγραμμένους κληρονόμους, ἐνταῦθα τῆς μητρὸς οὐ κωλυομένης γράφεσθαι παρὰ τοῦ παιδὸς κληρονόμου, ἀλλὰ καὶ τῶν κατὰ τῆς διαθήκης αὐτῇ δεδομένων δικαίων· εἴγε ὁ παῖς παραλείψειεν, ἢ καὶ ἀλόγως ἀποκλήρον ποιήσεται, φυλαττομένων εἰ ἀδιάθετος τελευτήσειεν, τῆς ἐκείνου μοίρας· εἰ μὲν ἔχει παῖδας ἰδίους, ἐπὶ τούτους τοὺς παῖδας ἀφικνουμένης· εἰ δὲ οὐκ ἔχει παῖδας ἰδίους, ἔχει δὲ τῶν ἀδελφῶν ἡ κλῆσις, καὶ τῆς μητρὸς ἅμα τοῖς ἀδελφοῖς ἐπὶ τὸν κλῆρον ἐρχομένης, καὶ τοῦτον ἰσομερῶς ἐχούσης, εἴτε δευτέροις ὡμίλησε γάμοις, εἴτε καὶ μή. τῆς δὲ προγαμιαίας δωρεᾶς, εἰς δεύτερον ἐλθούσης συνοικέσιον, μὴ δὲ καθόσον κληρονομεῖ τοῦ παιδὸς ἀπολαυέτω· ἀλλὰ τοῦτο μὲν τῶν παίδων ἔστω κέρδος, μόνον αὐτοῖς παρὰ τοῦ νόμου δεδομένον καὶ μὴ δοκοῦν εἶναι μέρος τοῦ κλήρου τοῦ παιδὸς, ἀλλ' ἐκ τῆς προγαμιαίας δωρεᾶς οὐκ ἀποβάλλον τὴν φύσιν. ὥσπερ ἡ μήτηρ ἔχει τὴν χρῆσιν τῆς προγαμιαίας δωρεᾶς, καὶ εἰς παιδὸς μοῖραν κατὰ δεσποτείαν, εἴγε μὴ

δευτερογαμήσοι μετὰ τὴν τελευτὴν τοῦ ἀνδρός, οὕτω καὶ ὁ πατὴρ τελευτησάσης τῆς γυναικὸς ἐκ τῆς προγαμιαίου δωρεᾶς ἕξει λοιπόν, εἰ λάβοι τὸ ἀπὸ τελευτῆς κέρδος. οὐ μόνον δὲ εἰ πατὴρ εἴη τις τῶν παίδων, ἢ μήτηρ ταῦτα κρατήσει, ἀλλὰ καὶ εἰ πάππος εἴη ἢ μάμμη διὰ τῶν παίδων αὐτῶν τοῖς παισὶ τεθνεώτων. καὶ ἀποθανούσης τῆς μάμμης, ἢ τοῦ πάππου, τὸ καταλειφθὲν μέρος λαβὸν τὰ ἀπὸ τελευτῆς κέρδη. τὴν μὲν χρῆσιν αὐτῶν νεμηθήσεται· τὴν δὲ δεσποτείαν, τοῖς ἐγγόνοις αὐτοῦ φυλάξει· ὡς εἰ καὶ παῖδας εἶχε ποιεῖν ἔμελλε. παρακρατήσει δὲ καὶ δεσποτείαν μέρους ἑνὸς παιδός, εἰ μὴ δευτερογαμήσει· εἰ δὲ μὴ ὑπεῖσι παῖδες, ἢ ἔγγονοι, ἀπαιτῶν δεσπόσει τῶν ἀπὸ τελευτῆς κερδῶν.

## ΠΕΡΙ ΚΛΗΡΟΝΟΜΙΑΣ.

Ἡ δευτερογαμήσασα μήτηρ, παιδὸς αὐτῆς ἀδιαθέτου καὶ ἄπαιδος τελευτήσαντος, εἰ τὰ μὲν ἀνῆκεν αὐτῷ ἀπὸ τῆς προγαμιαίας δωρεᾶς, ἢ ἐκ τῆς πατρῴας οὐσίας αὐτῷ περιῆλθε, τούτων τὴν χρῆσιν αὐτὴ μόνη ἐξ ἀδιαθέτου κληρονομεῖ· τὴν δεσποτείαν τοῖς ἀδελφοῖς, ἢ ταῖς ἀδελφαῖς ἐκείνου φυλάττουσα· τὰ δὲ ἑτέρωθεν αὐτῷ περιελθόντα, καὶ τὴν δεσποτείαν τούτων κληρονομεῖ· ἐκ διαθήκης δέ, εἴ τι παρὰ αὐτῇ παρὰ τοῦ παιδὸς καταλειφθείη, καὶ κατὰ δεσποτείαν ἔχει. Ὅτι ἡ μήτηρ τὰ μὲν τροφεῖα ἅτινα τοῖς παισὶ παράσχοι, οὐ δύναται ἀπαιτεῖν· εἴ τι δὲ εἰς τὰ πράγματα αὐτῶν χρησίμως ἀνάλωσεν, ἕνεκα διὰ τῆς περὶ διοικήσεως ἀρχῆς, δύναται ἀπαιτεῖν.

Ἡ διάταξις κελεύει, ἵνα οἱ πατέρες τὴν χρῆσιν τῶν μητρῴων πραγμάτων, εἰ καὶ εἰς δευτέρους μετέβησαν γάμους, ἀναμφιβόλως ἔχειν ὀφείλουσι, καὶ οὐδεμίαν τοῖς παισίν, ἢ τοῖς εἰτιδήποτε ἐκ προσώπου αὐτῶν κατὰ τῶν πατρῴων ἀναίσχυντον φωνήν, ἢ αἰτίασιν τινὰ δύνασθαι ἁρμόζειν. ΣΧΟΛ.

Ἰστέον ὅτι ὑπεξουσίων ὄντων τῶν παίδων τοῦτο καὶ γίνεται, ἐπεί-

τοι γε ἐὰν ὦσιν αὐτεξούσιοι, μίαν μόνην μοῖραν ἐκ τῶν μητρικῶν πραγμάτων τῶν οἰκείων τέκνων, ὁ πατὴρ κατὰ χρῆσιν λαμβάνει ἕως οὗ ζῇ· τὴν δεσποτείαν μετὰ τὸν αὐτοῦ θάνατον πρὸς τοὺς υἱοὺς παραπέμπων, καθάπερ ἐν τῷ τῶν κληρονόμων κεῖται πλατύτερον, ἐν τῷ λέγοντι, εἶχέ τις γυναῖκα καὶ παῖδας καὶ ἑξῆς. Εἰ δέ τινες τοῖς ἔμπροσθεν οὐκ ἀρκεσθέντες γάμοις, καὶ πρὸς δευτέρους ἔλθοιεν, εἰ μὲν ἄπαιδες μένοιεν ἐκ τῶν προτέρων γάμων, οὐδεμία πολυπραγμοσύνη περὶ τὰ δευτέρα, ἀλλ' αὐτοὶ μὲν ἀπελεύσονται παντοίως πάσης παρατηρήσεως ἐλεύθεροι· γυναιξὶ δὲ μόνον ἐπικείσεται δέος, τὸ μὴ πρὸ τοῦ ἐνιαυσιαίου χρόνου, πρὸς δεύτερον συνελθεῖν συνοικέσιον, ἢ γινώσκειν ὡς εἴ τι τοιοῦτον πράξαιεν, καὶ ἀώροις συναλλάξαιεν γάμοις, ὑφέξουσι ποινάς· ἥττας μὲν, εἴπερ ἄπαιδες ἐκ τῶν προτέρων ὦσι συνοικεσίων· μείζους δὲ εἰ καὶ παῖδες· εἰ μὲν γὰρ οὐχ ὕπεστι γονή, ἡ τῆς ἀτιμίας εὐθὺς ἀκολουθήσει, καὶ ἔσται παντοίως ἡ γυνὴ διὰ τὴν τῶν γάμων σπουδὴν, ἠτιμωμένη, καὶ οὐ λήψεταί τι τῶν παρὰ τοῦ προτέρου καταλελειμμένων αὐτῇ συνοικεσίου, οὔτε ἀπολαύσει τῆς προγαμιαίας δωρεᾶς, οὔτε τῷ συνοικοῦντι κατὰ δεύτερον γάμον, περαιτέρω τῆς τρίτης τῆς οἰκείας περιουσίας ἐπιδώσει μοίρας· οὐ μὴν οὐδὲ τῆς ἔξωθεν αἰσθήσεται φιλοτιμίας, οὐδὲ λήψεταί τι παντελῶς παρ' οὐδενὸς τῶν ἔξωθεν, οὐ κλῆρον οὐδὲ λεγάτον, οὐ τὴν μετὰ θάνατον δωρεάν, ἀλλὰ ταῦτα ἐλεύσεται· εἰ μὴ εἶεν παρὰ τοῖς κληρονόμοις τοῦ τελευτήσαντος, ἢ συγκληρονόμοις αὐτοῖς· εἴγε ἠδύνατο κληρονομεῖν ὅλως, οἷα ταύτης οὐδὲν τοιοῦτον ὄφελος ἐχούσης, ἀλλ' εἰ γεγραμμένοι καὶ ἕτεροι τύχοιεν κληρονόμοι ἔτι ἐξ ἀδιαθέτου καλοῖντο, πρὸς ἐκείνους ἐλεύσεται τὰ τῇ τοιαύτῃ γυναικὶ καταλελειμμένα. οὐ γὰρ τὸ δημόσιον αὐτὰ οἰκειώσεται, μήποτε δέξωμεν τὰ τοιαῦτα σωφρονίζοντες, τῆς τοῦ δημοσίου προνοεῖν ὠφελείας· ἀλλ' οὕτω μὲν τὰ παρὰ τῶν ἔξωθεν αὐτῇ καταλε-

λειμμένα, πρὸς ἑτέρους χωρήσει. τὰ δέ γε παρὰ τοῦ πρώτου συνοικήσαντος, ἀφίξεται παρ' αὐτοῦ ἀφαιρούμενα πρὸς τὰ δέκα πρόσωπα τῆς τοῦ καταλιπόντος αὐτὰ συγγενείας, τουτέστιν ἀνιόντας καὶ κατιόντας καὶ τοὺς ἐκ πλαγίου μέχρι τοῦ βαθμοῦ τῶν βαθμῶν ἤδη τῆς οἰκείας φυλαττομένων τάξεως, ὧν οὐχ ὑφεστώτων ἤδη τὸ ταμιεῖον ἐλεύσεται· ἀλλ' οὐδὲ πρότερον κληρονομίαν ἐξ ἀδιαθέτου τῶν οἰκείων αὐτῆς ὑπελεύσεται συγγενῶν, ἀλλὰ μέχρι τρίτου βαθμοῦ θεωρουμένου πανταχόθεν, στήσεται μόνον τὰ τῆς διαδοχῆς αὐτῆς. οἱ πρότεροι δὲ ὄντες, ἑτέρους ἕξουσι κληρονόμους· εἰ δὲ παῖδας ἔχει, ἔξεστι μὲν αὐτῇ βασιλέως ὑπὲρ τῆς ἀτιμίας δεῖσθαι, οὐ μὴν ὄφελός τι τῶν ἀναγραφομένων ἔχει, πλὴν εἰ μὴ βούλεται τὴν ἐκ τῆς βασιλείας ἔχειν ὠφέλειαν, καὶ τῶν δεινῶν ἀπαλλαγῆναι ποινῶν. τοῖς ἐκ τοῦ προτέρου γάμου παισὶ τὴν ἡμίσειαν τῆς οἰκείας περιουσίας διωρισμένην μοῖραν καθαρὰν αἱρέσεως πάσης χωρίς, ἢ οὐ τὴν χρῆσιν παρακατέχουσα, ἀλλὰ πάσης τῆς οὐσίας τῆς ὅτε πρὸς τοὺς δευτέρους ἐφοίτα γάμους, κατὰ τὴν ἡμίσειαν, καθάπερ ἔφημεν ἐξισαμένην μοῖραν, τοῖς ἔμπροσθεν γινομένοις παισί, ἣν διαιρήσονται τοίνυν οἱ παῖδες ἅπαντες ἐξ ἴσης· καὶ παῖδας μὲν ἔχοντες, εἰς τοὺς ἑαυτῶν παραπέμψουσι παῖδας· εἰ δὲ οὐκ ἔχοιεν, τὰ τοῦ τελευτήσαντος, ἢ τῶν τελευτησάντων μέρη, λήψονται πάντως ἀναλόγως οἱ τούτων ἀδελφοί. εἰ δὲ τούτου πάντες προαπέλθοιεν, ἐχέτω παραψυχὴν τῆς ἑαυτῆς δυσκλείας ἡ μήτηρ τὸ ταῦτα πάλιν ἀναλαβεῖν, καὶ ταῦτα φαμὲν, εἴπερ ἀδιάθετοι τελευτήσοιεν οἱ παῖδες· οὐ γὰρ ἤδη τοῖς ἅπαξ γενομένοις ὑπ' αὐτῆς, εἴρξομεν αὐτοὺς διαθήκας γράφειν, ἢ πωλοῦντας, ὃν βούλονται ταῦτα διαθεῖναι τρόπον. εἰ δὲ καὶ ἀναμένει τὸν χρόνον ἡ γυνή, καὶ αὐτὴ διαφύγοι τὰς εἰρημένας ποινάς. ἤδη δεύτερον δὲ ἀφίκοιτο συνοικέσιον, τῶν προτέρων ἀμελήσασα γάμων· εἰ μὲν οὐκ ἔχει παῖδας, εἰρήσθω γάρ, καὶ ἅπαν αὖθις ἀ-

κίνδυ-

κίνδυνον τὸ ἐπιτυχεῖν· εἰ δὲ ὑπείη γυνὴ καὶ παῖδας ὁ νόμος ἐπιτυχεῖν ἁμαρτόντας ἴδοι, τηνικαῦτα πάσης φιλοτιμίας παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης, κατὰ τὸ τῆς δεσποτείας ἀφαιρεῖται μέρος, μόνην αὐτὴν καταλιπὼν τὴν χρῆσίν τε καὶ ἐπικαρπίαν, καὶ ταῦτα νενομοθετείσθω, καὶ ἐπὶ τῆς προγαμιαίας δωρεᾶς, καὶ ἐπὶ πάσης δωρεᾶς, καὶ ἐπὶ πάσης ἑτέρας φιλοτιμίας παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν ἐλθούσης, εἴτε ἐν ζωῇ παρὰ τοῦ ἀνδρὸς εἰς αὐτὴν γενομένης, ἢ καὶ ἐκ διαθήκης, ἢ καὶ τῆς μετὰ θάνατον δωρεᾶς, εἴτε ἐν στάσεως εἴη μέρος, εἴτε πρεσβεῖον, καὶ οἱ παῖδες αὐτοὶ λήψονται κατὰ δεσποτείαν, κατὰ τὸν καιρὸν εὐθύς, καθ' ὃν ἡ μήτηρ συνῴκησεν ἄλλῳ. καὶ ταῦτα κοινὰ γυναικὸς καὶ ἀνδρὸς ἐπιτίμια κείσθω· τοῦ μὲν, ἐπὶ τῇ προικί· τῆς δὲ, ἐπὶ τῆς προγαμιαίας δωρεᾶς. ὅτι περ οὐδὲ ἐκποίησιν οὐδεμίαν ἐφίησι τοῖς γονεῦσιν ἐπὶ τοῖς τοιούτοις, οὐδὲ ὑποθήκην ἀλλὰ κἂν ἔτι πράξαιεν οἱ γονεῖς, εὐθέως τὴν ἑαυτῶν ὑποτιθέασιν αὐτοῖς περιουσίαν, οὐχ ὡς κωλύειν ἐπ' αὐτοῖς τι πράττειν ὧν βούλονται· αἰσχύνεται γὰρ ὁ νόμος, σωφρονιστὰς τοὺς παῖδας τοῖς γεννήσασιν ἐπιστῆσαι, ἀλλ' ἐκείνους μὲν ἐρυθριᾷ, διαπειλεῖ δὲ τοῖς λαμβάνουσιν, ὡς οὐδὲν αὐτοῖς τὸ ληφθὲν ὀνήσει· ἴστωσαν γὰρ ἐκ τοῦ δὲ ἡμῶν τοῦ νόμου, ὡς κἂν εἴ τινα παρὰ τῶν τοιούτων γονέων ἀγορασίαν ποιήσωνται, κἂν εἰ λάβοιεν δωρεάν, κἂν εἴ τι τῶν ἁπάντων πράξαιεν, ἐν ἴσῳ τοῖς μήτε γεγραμμένοις, μήτε πεπραγμένοις, ἔσται τὸ γενόμενον, ἐκδικηθήσεται γὰρ παρά τῶν παίδων καὶ τῶν κληρονόμων αὐτῶν καὶ τῶν διαδόχων. ἐκδικήσουσι γὰρ αὐτὰ πάντως οἱ παῖδες, κληρονόμοι τε αὐτῶν καὶ διάδοχοι παρὰ κληρονόμων ἐκείνων καὶ διαδόχων, οὐκ ἄλλως ἀποκλειόμενοι, εἰ μὴ τριακονταετὴς παρέλθοι χρόνος, καὶ ἡ κατοχὴ κυρίους τοὺς λαβόντας καταστήσει· ἀρχομένου τοῖς παισὶ τοῦ χρόνου τρέχειν, ἐξ οὗ περ αὐτεξούσιοι φανεῖεν ὄντες, ἢ γενόμενοι, πλὴν εἰ μή τις ἄνηβος ἡλικία

προσ-

προσβοηθήσειεν ἔτι· ἐλεύσεται δὲ τὰ τοιαῦτα τῶν κερδῶν, εἰς τοὺς παῖδας ἅπαντας τοὺς ἐκ τοῦ προτέρου γάμου. οὐ γὰρ ἐφίεμεν τοῖς γονεῦσιν, τὴν οὐκ ὀρθῶς ἐπεισηγμένην ἐπιλογὴν εἰς αὐτοὺς ἐνδείκνυσθαι, οὐδὲ τῷ μὲν τῶν παίδων διδόναι, τὸν δὲ ἀτιμάζειν, ἅπαντες γὰρ ὁμοίως τοῖς δευτέροις ἠτιμάσθησαν γάμοις. Ὅτι εἰ χρῆσιν μόνην πραγμάτων, ἢ ὁ ἀνὴρ τῇ γυναικί, ἢ ἡ γυνὴ τῷ ἀνδρὶ κατὰ τελευταίαν δοίη βούλησιν μένειν ταῦτα παρ' αὐτῷ καὶ δευτερογαμοῦντι βουλόμεθα, μέχρι περίεστιν· εἰ μὴ ῥητῶς ὁ τὴν δωρεὰν πεποιημένος, ἢ ὁ ταύτην καταλιπὼν, εἴτε ἀνὴρ, εἴτε γυνὴ φήσειε, βούλεσθαι πρὸς δευτέρους ἀφικνουμένου γάμους, τοῦ τὴν χρῆσιν λαβόντος, λύεσθαι αὐτὴν, καὶ πρὸς τὴν οἰκείαν ἀναστρέφειν δεσποτείαν.

## ΠΕΡΙ ΜΟΙΧΕΥΟΜΕΝΗΣ.

Ὅτι καὶ ἡ ἐντὸς τοῦ πενθίμου πλημμελήσασα μοιχείαν, καὶ γενομένη ἔγγυος, στερεῖται καὶ αὐτὴ τοῦ ὑποβόλου, ἀφικνουμένου τούτου, εἰς τοὺς κατὰ γένος τῷ ἀνδρὶ ταύτης προσήκοντας. Ὅτι ὁ νόμος τὰς δευτερογαμούσας κωλύων πάσης ἀπολαύειν φιλοτιμίας τοῦ ἀνδρὸς, τὰς μοιχευούσας οὐκ ἐκώλυσεν. Ὅτι ἡ δευτερογαμήσασα γυνὴ, τῆς μὲν τοῦ ὑποβόλου δεσποτείας ἐκπίπτει παίδων ὄντων αὐτῇ, τοῦ θεωρέτρου δὲ οὐδαμῶς. Εἰ πρὸ τοῦ πενθίμου χρόνου τέκοι γυνὴ, πρὸς τῷ πέρατι τοῦ ἔτους, ὥστε τῷ ἀναμφισβήτητον τὸ μὴ τὴν γονὴν ἐκ τοῦ προτέρου καθεστάναι συνοικεσίου, παντοίως αὐτὴν στερεῖσθαι θεσπίζομεν τῆς προγαμιαίας δωρεᾶς, καὶ κατὰ δεσποτείαν καὶ κατὰ χρῆσιν ὑποκειμένην.

## ΠΕΡΙ ΤΡΙΤΟΥ ΓΑΜΟΥ.

Περὶ τρίτου γάμου τόμος συνοδικὸς ἐκαλλιγραφήθη, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ πορφυρογεννήτου, καὶ πενθεροῦ αὐτοῦ Ῥωμανοῦ, κατησφαλισμένος καὶ τῇ συνήθει τοῦ βασιλέως ὑπογραφῇ, πῇ μὲν εἶναι συγχωρητέον αὐτόν, πῇ δὲ

ἀσυγ-

ἀσυγχώρητον· τοὺς μὲν γὰρ πληρώσαντας τὸ τεσσαρακοστὸν ἔτος, διγαμήσαντας ἄπαιδας ὄντας, συναλλάττειν καὶ τρίτον γάμον, διὰ τὴν θεραπείαν τῆς ἀπαιδίας· τοὺς δὲ τριακονταετεῖς ὄντας, κἂν παῖδας ἔχωσι, τρίτον καὶ αὐτοὺς συναλλάττειν γάμον, διὰ τὴν τῆς ἡλικίας ἀσθένειαν. πλὴν καὶ τούτους κἀκείνους, μετὰ ἐκκλησιαστικῶν ἐπιτιμίων· τοῖς δὲ τὸν μ΄ χρόνον ὑπεραναβᾶσιν, οὐδ' οὐδενὸς τρόπου τὸν τρίτον γάμον εἶναι συγχωρητέον. Ἤδη μὲν οὖν τοῖς ἀρχαίοις γέγραπται νόμος, καὶ παρὰ τοῦ εὐσεβεστάτου Ἰουστινιανοῦ κεκύρωται, δι' οὗ καὶ μέχρι τοῦ γάμου παρεκτείνεται τὰ συνοικέσια· ἴσως καταστοχαζομένου ὡς τοῖς πολλοῖς εἰκὸς τοῦτο συμβαίνειν, τὸ ταχέως τὸ συνοικοῦν πρόσωπον αὐτοῖς ἀποβάλλεσθαι, ἢ καὶ νέοις ἔτι τοῦτο παθεῖν, καὶ οὐδὲν ἀνθίστασθαι πρὸς τὰς τῆς φύσεως ὁρμάς, ὥστε τούτους συμβαίνειν τὸν σώφρονα γάμον μὲν ἀποστρέφεσθαι, φοιτᾶν δὲ εἴς τινας μίξεις ἀπηγορευμένας. ἐχρῆν δὲ καὶ ἡμᾶς ὡς τῆς αὐτῆς φύσεώς τε καὶ ἀσθενείας κεκοινωνηκότας ἐν τούτῳ τοῖς παλαιοῖς ἐμμεῖναι νόμοις· ἀλλ' ὁρῶμεν θείους νόμους ἡμᾶς εἴργοντας. διὰ τοῦτο ἡ ἡμετέρα γαληνότης ταῖς ἀνειμέναις τῶν ἀνθρώπων ἐπιθυμίαις ἐπιθεῖναι χαλινὸν βουλομένη, τοσοῦτον ἀπαγορεύει τὸ περὶ τέταρτον συνοικέσιον ἀφικέσθαι τινά, ὥστε καὶ τοὺς εἰς τρίτον ἐλθόντας, τοῖς ἐκκλησιαστικοῖς παραπέμπειν κανόσιν. ὥστε οὖν τὰ αὐτὰ δίκαια προβαίνειν καὶ ἐπὶ τοῦ γ΄ συνοικεσίου, ὅσα καὶ ἐπὶ τοῦ β΄. ἔστω τοίνυν κατάδηλον, ὥς εἴ τις τολμήσειε πρὸς τέταρτον γάμον τὸν οὐ γάμον ἐλθεῖν, οὐ μόνον αὐτῷ οὐδὲν ὁ νομιζόμενος γάμος λογισθήσεται, ὅτι οἱ ἐξ αὐτοῦ τεχθέντες παῖδες, παῖδες γνήσιοι λογισθήσονται, ἀλλὰ καὶ ταῖς ποιναῖς τῶν μεμολυσμένων τοῖς τῆς πορνείας ῥυπάσμασι καθυποβληθήσεται, ἀπαλλήλων δηλονότι τῶν τοιούτων προσώπων διϊσταμένων.

ΠΕΡΙ ΓΑΛΛΑΚΗΣ.

Ἐπειδὴ δὲ παρὰ τοῖς παλαιοῖς ἀνεμέλην εὕρομεν τὴν κοινωνίαν τῆς παλλακῆς, περὶ τὸν βουλόμενον αὐτῇ κοινωνεῖν, οὐκ ἔδοξεν ἡμῖν ἀμνημόνευτον ἐᾶσαι ταύτην νομοθεσίαν· ἵνα μὴ καταχραίνηται ἡμῶν πολιτεία, γάμοις οὐκ εὐπρεπέσιν. ἔθεν κωλύομεν ἀπὸ τοῦ νῦν μηδενὶ ἐξὸν ὑπάρχειν παλλακὴν ἐν τῷ ἰδίῳ οἴκῳ κατέχειν, μικρὸν γὰρ ἢ οὐδὲν διαφέρειν τῆς πορνείας νομίζομεν· ἀλλ' εἰ βούλοιτο αὐτῇ κοινωνεῖν, γαμικὸν ποιείτω περὶ αὐτὴν συνάλλαγμα, κατὰ τὴν τοῦ νόμου ἀκρίβειαν. εἰ μέντοι ἀναξίαν αὐτοῦ ταύτην κρίνοιτο, γυναῖκα ἔννομον καλεῖσθαι, μηδεμίαν περὶ ταύτην ἐχέτω κατὰ συνουσίαν κοινωνίαν, ἀλλὰ ταύτην ἀποδιωκέτω, καὶ λήψεται ἣν αὐτὸς κρίνοι λυσιτελές· εἰ δὲ σωφρόνως βιοῦν αἱρεῖται, ἐκ τοῦ ἡμῖν τοῦτο. Ὁ ἐν τάξει γαμετῆς ἀγαγόμενος γυναῖκα μετὰ ὅρκου δόσεως, προικὸς μὴ παρακολουθησάσης, ἐὰν ἀλόγως αὐτὴν ἐξεώσῃ, διδότω αὐτῇ τὸ τέταρτον τῆς ἰδίας περιουσίας, ὅτι δὴ αἰτίαν ῥεπουδίου διδούς· ὃν τρόπον καὶ πλουτῶν, ἀναγκάζεται αὐτῇ καταλιμπάνειν. τὸ αὐτὸ δὲ περὶ τοῦ καὶ ἔχειν γνησίους παῖδας τοὺς ἐξ αὐτῆς τεχθέντας. τοῦτο νόει· ἐὰν τρεῖς μόνους παῖδας ἔχῃ ὁ ἀνήρ, εἴτε ἐξ αὐτῆς, εἴτε ἐξ ἄλλης γυναικός.

ΠΕΡΙ ΔΙΚΑΙΟΥ ΠΡΟΙΚΟΣ. τίτλ. η.

Ἡ διατετιμημένη προὶξ, τῷ ἀνδρὶ κινδυνεύεται, κἂν ἀποθάνῃ τὰ ζῶα, κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῇ δίδωσι. τῆς δὲ ἀδιατιμήτου, καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ, καὶ αὐτὴ λαμβάνει τὸν τόκον τοῦ δούλου· τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων, ὁ ἀνὴρ λαμβάνει· πρότερον μέντοι πληρῶν, τὰ πρωτότυπα, καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων, ἐκ τῶν ἐπιγινομένων. ἐὰν δὲ πρὸ τοῦ γάμου τελευτήσῃ τινὰ τῶν διατετιμημένων, ἡ γυνὴ ζημιοῦται. ΣΧΟΛ. Αὔξησιν ἐνταῦθα τῆς προικὸς καὶ μείωσιν, τὴν ἐκ φυσικοῦ λέγει, τουτέστιν ἵνα γίνηται προσθήκη

τόπων.

τόπων, ὡς ἐπὶ ποταμῶν ἢ νήσων· ἢ ἐὰν δένδρα αὐξηθῶσιν, ἢ καὶ ἄλλα τινὰ τυχηρὰ γένωνται. αἱ δὲ παρὰ τοῦ ἀνδρὸς γινόμεναι ἐπὶ τοῖς ἀδιατιμήτοις βελτιώσεις, παρ' αὐτοῦ ἀναλαμβάνονται. ἐὰν δὲ ὁ ἀνὴρ παραλάβῃ εἰς προῖκα οἶκον, ἢ προάστειον, εἰ μὲν κατὰ διατίμησιν αὐτὸ παρέλαβε, χρεωστεῖ τὴν τιμήν, κἄν τι ἐβελτίωσεν, αὐτὸς κερδαίνει· κἄν τι ἐμείωσεν, αὐτὸς κινδυνεύει, καὶ ὑπόκειται. ἐὰν δὲ παραλάβῃ κτῆμα ἀπὸ συμφώνου τυχὸν εἰς λίτρας τρεῖς· εἶτα μέλλων ἀντιπαραδιδόναι ἐνάγηται, τριῶν λιτρῶν ἀναγκάζεται δοῦναι κτῆμα, καὶ οὐ τὴν τιμήν. λέγει γὰρ οὐκ ἀποτιμησάμενος παρέλαβεν εἰς προῖκα τοῦτο, ἀλλ' ἀπὸ συμφώνου· εἰ μὲν ἐμείωσέ τι τοῦ κτήματος, ὑπόκειται εἰς τὴν ζημίαν· εἰ δὲ μὴ ἠλάττωσεν ἀλλ' ἐβελτίωσεν, δύναται τὰς βελτιώσεις λογίζεσθαι, ἢ λαμβάνειν, μὴ ποιῶν χεῖρον τὸ ὑποκείμενον. εἰ δὲ μὴ ἠλάττωσεν, ἀλλ' ἐπὶ τῆς ἀρχαίας ὄψεως ἐφύλαξεν, ἀποδίδωσιν αὐτό, καὶ οὐκ εἰς τὴν ποσότητα τῶν τριῶν λιτρῶν εὐθύνεται· εἰ γοῦν ἑκὼν ἔβλαψεν, ὑπόκειται εἰς τὴν μείωσιν.

ΠΕΡΙ ΤΩΝ εἰς προῖκα δοθέντων ζώων καὶ ἀπολεσθέντων.

Ἐὰν μὲν διατιμηθῶσι τὰ ζῶα, καὶ διαβιβασθῶσιν ἐν τῇ ποσότητι τῆς προικός, ἐνέχεσθαι λέγομεν τὸν ἄνδρα, εἰς τὴν τούτων ἀντιστροφὴν καὶ ἀπόδοσιν, ἢ τῶν ζώων αὐτῶν, ἢ τῆς τῶν ζώων τιμῆς. ἐὰν δὲ μὴ διατιμηθῶσιν, ἀλλὰ δοθῶσιν ἀτίμητα, τοῦτο μόνον χρεωστεῖ ὁ ἀνὴρ ἐπ' αὐτοῖς· ἵνα μὴ ἀμελήσῃ, μὴ δὲ ποιήσῃ τινὰ δολιότητα εἰς αὐτά, εἰ τι δὲ ἄλλο συμβῇ, ὁ ἀνὴρ οὐκ ἐνέχεται. Τῶν γάμων μὴ γινομένων, οὐ τὴν διατίμησιν τῶν δοθέντων διατετιμημένων, ἀλλὰ τὰ πράγματα ἡ γυνὴ ἀπολαμβάνει. Ὁ ἀνὴρ διατετιμημένην προῖκα λαβών, τὴν διατίμησιν πιστεύεται ἔχειν ἐν τῇ προικί, καὶ οὐχὶ τὰ πράγματα· ὅθεν διαλυομένου τοῦ γάμου, δύναται μὴ τὰ πράγματα αὐτά, ἀλλὰ τὴν διατίμησιν αὐτῶν ἀποδιδόναι. Καὶ συνε-

στῶτος τοῦ γάμου δυνατὸν συμφωνεῖν, τὴν διατετιμημένην προῖκα γενέσθαι ἀδιατίμητον, καὶ τῇ γυναικὶ κινδυνεύειν· εἰ δὲ βλάψει τοὺς ἀγροὺς, ὁ ἀνὴρ ἐνέχεται τῇ ἀγωγῇ τῇ περὶ προικός.

Δύναται τὰ συμβόλαια τῆς προικὸς καὶ συνεστώτων ἔτι τῶν γάμων, ἐναλλάσσεσθαι τοῦ πατρὸς τῆς κόρης τοῦτο κελεύσαντος ἐν διαθήκῃ, καὶ αὐξάνεσθαι καὶ ἐλαττοῦσθαι δύναται ἡ προὶξ συνεστώτων τῶν γάμων. Ὁ ἀνὴρ οὐχὶ ἡ κόρη ἀπαιτεῖ τὴν προῖκα, ἀλλὰ παντὸς ἐπαγγειλαμένου, τοῦ γάμου συνεστῶτος. Ὁ ἀνὴρ παραλαμβάνων τὴν προῖκα, ἐγγύας οὐκ ἀπαιτεῖται· ἐγγυητὴς γὰρ οὐ δίδοται ἐπὶ τῇ γυναικείᾳ προικί· εἰ μὴ πρὸ τοῦ γενέσθαι τὴν μνηστείαν, τοῦτο συνεφωνήθη.

ΣΧΟΛ. Τὸ παρὸν σχόλιον τοῦ ρ' μδ' κεφαλαίου τοῦ λέγον, τὰ προσώποις. Ὑπάρχοντα προνόμια, σβέννυνται αὐτοῖς τοῖς προσώποις· τὰ δὲ προσόντα τοῖς ἀγροῖς, περὶ πάντας μετέρχεται, ἐπειδὴ καὶ παρ' ἡμῶν ἐνταῦθα, ὑποδείγματος χάριν. Προνόμιον δέδωκεν ὁ νόμος τῷ ἀνδρὶ ἐὰν ἐνάγηται παρὰ τοῦ μέρους τῆς αὐτοῦ γυναικὸς, ἵνα ἀποδῷ τὴν προῖκα ἥνπερ ἐδέξατο, μέχρις εὐπορίας καταδικάζεσθαι· τί δὲ ἐστι τὸ μέχρις εὐπορίας καταδικάζεσθαι, μεμαθήκας πολλαχοῦ. Τοῦτο γοῦν τὸ προνόμιον μετὰ τὴν τελευτὴν τοῦ ἀνδρὸς, ἕτερος ἔχειν οὐ δύναται κληρονόμος αὐτοῦ· εἰ μὴ ἔστιν υἱὸς αὐτοῦ. ὅπου γὰρ ὁ κληρονόμος τοῦ τελευτήσαντος ἀνδρὸς οὐκ ἔστιν υἱὸς αὐτοῦ ἀλλ' ἐξωτικὸς, τότε οὐ μέχρις εὐπορίας καταδικασθήσεται, ἀλλ' εἰς ἅπαν τὸ ποσὸν τῆς προικός. Τοῦτο γὰρ τὸ προνόμιον, καὶ ἡ ἀπὸ νόμου αὐτὴ φιλοτιμία, μόνῳ τῷ ἀνδρὶ, καὶ τοῖς κληρονόμοις υἱοῖς αὐτοῦ χαρίζεσθαι εἴωθεν· οὐ μὴν ἐξωτικοῖς κληρονόμοις αὐτοῦ τοῦ ἀνδρός. Εἰσὶ δέ τινα προνόμια, ἅ τινα τοῖς πράγμασιν, οἷς ἂν ἐμπατῶσιν, ἀεὶ συνυπάρχονται καὶ συμμεταφέρονται. Ἐὰν γὰρ ὁ ἐμὸς ἀγρὸς ἀπὸ τοῦ φρέατος τοῦ γειτνιάζοντος αὐτῷ ὕδωρ ἀντλήσῃ, ἤγουν ἑτέρου ἀγροῦ ἐπὶ τελείαν ὀρῶντος, καὶ ἀ-

νεξικα-

νεξικακοῦντός μου, καὶ κτήσηται δίκαιον τοῦ ἀντλεῖν, οὐκέτι αὐτὸ ἀπόλλυσι· κἂν εἰς δεσποτείας μετέλθῃ πολλάς, πωλούμενος καὶ ἀγοραζόμενος, τὸ γὰρ ἅπαξ ἐμπεπηγὸς αὐτῷ δίκαιον, ἀεὶ ἔχει ἐν ἑαυτῷ, καὶ δίδωσι τοῖς κεκτημένοις αὐτόν. οὐ γάρ ἐστι προσωπικὸν ὡς τὸ τοῦ ἀνδρὸς, ἵνα τῇ τοῦ προσώπου τελευτῇ, καὶ αὐτὸ σβεσθῇ· ἀλλὰ γὰρ τὴν θάλψιν, καὶ τὴν αἰδῶ τοῦ ἀνδρὸς, ἐκεῖνο ἀπὸ τοῦ νόμου δεδώρηται· τὸ δὲ ἐπικτηθὲν δίκαιον τῷ ἀγρῷ τοῦ ἀντλησμοῦ, διηνεκῶς αὐτῷ τῷ ἀγρῷ συμπαρεκτείνεται καὶ συμμεταφέρεται. Ἐπὶ ὑποσχέσει προικὸς, καὶ ἀπὸ ψιλοῦ ῥήματος, ἢ συμφωνίας ἐνέχεταί τις. Ἀπὸ ψιλῆς ἐπαγγελίας, χρεωστεῖ ὁ πατὴρ προῖκα. Τὴν προῖκα ἡ ἀρίθμησις, οὐχ ἡ γραφὴ τοῦ προικώου συμφώνου ποιεῖ. Ἐάν τις ὑποδεξάμενος προῖκα τῶν πλειόνων ἔγραψεν ἐν τῷ προικώῳ συμβολαίῳ ὡς δοθέντων αὐτῷ· εἰ μὲν μὴ κατὰ βούλησιν τοῦ προικίζοντος, οὐδὲν αὐτῷ πρόκριμα ποιεῖ. ἐὰν δὲ βουλομένου αὐτοῦ ἔδοξε σύμφωνον γενέσθαι, καὶ περὶ τῶν ἄλλων πραγμάτων, ὡς καὶ ταῦτα αὐτῷ δοθῆναι λόγῳ προικὸς, καὶ ἐπειδὴ ἀπὸ ψιλῆς ἐπαγγελίας ἀπαίτησιν αἱ προῖκες ἔχουσιν, δύναται ταῦτα ἀπαιτεῖν.

ΘΑΥΜΑΣΤῸΝ ΔΟΚΕῖ ΤῸ ΠΑΡῸΝ ΝΌΜΙΜΟΝ,

Ὁ γαμβρὸς γράψας ἐν τῷ γαμηλίῳ συμφώνῳ, πλείονα τῶν δοθέντων εἰς προῖκα παρὰ τὴν θέλησιν τοῦ προικίζοντος, ἀπαιτεῖ καὶ ταῦτα. Καὶ ἀγράφως δυνατὸν ἐπιδοθῆναι προῖκα, καὶ ἐὰν ἐγγράφως ἐπιδοθῇ, καὶ ἀπόλλονται τὰ συμβόλαια, οὐδὲν ἧττον ἀπαιτεῖται ἡ προὶξ, ἐὰν ὅλως ἀποδείκνυται ὅτι παρεσχέθη. Ἡ παρὰ ἰδιωτικοῦ ὁμολογηθεῖσα προὶξ, τῇ γυναικὶ ἐγκινδυνεύεται· εἰ δὲ τόκον ἀναλάβοι ὁ ἀνὴρ, λοιπὸν αὐτῷ κινδυνεύει. Ἐὰν ἰδιωτικὴ ἐπαγγειλαμένος προῖκα ἀπορήσῃ, ὁ ἀνὴρ ὡς μὴ ἀπαιτήσας, ἐγκινδυνεύει· εἰ μὴ ἄρα κατὰ δωρεὰν ἐπηγγείλατο, τότε γὰρ τοῦ ἀν-

σφόδρα φειδόμεθα, μὴ καταχρημνίζειν τὸν περὶ καταβολῆς τοῦ δωρησάμενον· ἐπειδὴ καὶ οἱ δωρούμενοι, μέχρις ἀξίας καταδικάζονται. Ἐὰν ὁμολογήσῃ τις εἰς ἐνιαυτὸν διδόναι προῖκα, ὁ ἐνιαυτὸς οὐκ ἀπὸ τῆς ἡμέρας τῆς ἐπερωτήσεως, ἀλλὰ τῶν γάμων ἀριθμεῖται. Ἐὰν κουράτωρ ὁμολογήσῃ ρ̄ ῑι ὑπὲρ προικὸς τῆς κουρατωρευομένης, καὶ χρεῶν ἀναφανέντων εὑρεθῇ μὴ ἔχουσα τοσαῦτα ἡ οὐσία, οὐ βοηθεῖται. Γενικῶς θεσπίζομεν, ἵνα εἴ τις τῶν κε' ἐτῶν, εἴτε ἄῤῥην, εἴτε θήλεια προῖκα ἐπηγγείλατο, ἢ δέδωκεν ὑπὲρ οἵας δήποτε γυναικὸς, ἔνθα νόμιμος γάμος ἐστὶ, παντὶ τρόπῳ ἀναγκάζεται τὴν ἰδίαν ὁμολογίαν πληρῶσαι, εἰ καὶ δι' ἀνάγκην ἴσως τοῦτο πεποίηκεν. Ὁ κατὰ πλάνην νομίσας χρεωστεῖν γυναῖκα, καὶ διὰ τοῦτο προῖκα ὑπὲρ αὐτῆς ἐπερωτηθεὶς, προβαινόντων τῶν γάμων, ἀπαιτεῖται αὐτὴν ἰσχυρῶς. Οἱ τὴν ἧττον προῖκα ἐπαγγειλάμενοι, θάλπονται.

## ΠΕΡΙ ΤΟΚΟΥ.

Ὁ ἐπαγγειλάμενος προῖκα, μετὰ διετίαν τοῦ γάμου, δίδωσι τόκον ἀπὸ τρίτης ἑκατοστῆς. Ἐὰν γνώμῃ τῆς ὑπεξουσίας μου θυγατρὸς, ἐπιδῶ τὰ δωρηθέντα αὐτῇ παρ' ἐμοῦ, οὐκ ἐγὼ, ἀλλ' αὐτὴ δεδωκέναι δοκεῖ.

## ΠΕΡΙ ΠΡΟΤΙΜΗΣΕΩΣ ΠΡΟΙΚΟΣ.

Ἐὰν ἐν συνεστῶτι τῷ γάμῳ, δανείσηται ὁ ἀνὴρ παρά τινος ἐπὶ τῷ ἀγοράσαι οἰκήματα, καὶ γράψῃ τοῦτο ἐν τῇ ὠνῇ, καὶ ἐν τῇ ὁμολογίᾳ, ἐπιζητῇ δὲ μετὰ λύσιν τοῦ γάμου ἡ γυνὴ τὴν προῖκα, νικᾷ δανειστὴν, καὶ ἀναλαμβάνει τὰ οἰκήματα. εἰ γὰρ καὶ περιέχεται τῇ ὠνῇ, ὅτι ἐκ τῶν τοῦ δεῖνος νομισμάτων ἠγοράσθησαν τὰ κτήματα· ἀλλ' ὅ γε νόμος τοῦτο οὐ προσίεται, διὰ τὰς κακουργίας τῶν ἀνδρῶν, καὶ τὸ προνόμιον τῶν γυναικῶν. ἐὰν δὲ συνεστῶτος τοῦ γάμου, βουλόμενος ὁ ἀνὴρ ὠνήσασθαί τι, προσέλθῃ τινὶ περὶ δανείου· ὁ δὲ φοβούμενος τὴν προῖκα, τὰ μὴ

νόμοις

νομίσματα μὴ παράσχῃ τῷ ἀνδρὶ τῷ ἐπὶ τῇ πράσει γενομένης ἐπιδώσῃ μὲν τὰ νομίσματα ἐπὶ μαρτύρων, εἰς πρόσωπον δὲ τοῦ ἀνδρὸς ταύτην γενέσθαι τὴν πρᾶσιν παρασκευάσῃ, τότε κτᾶται ἡ προὶξ ἐπὶ τοῖς οἰκήμασιν. ΣΧΟΛ. τὰ ἐκ τῶν προικιμαίων πραγμάτων ἀγορασθέντα, προικιμαῖα εἰσίν. Οὐδὲ ἀγρὸς ὃν ὁ ἀνὴρ ἐκ τῶν δοταλίων ἀγοράσῃ χρημάτων, οὐ προσπορίζεται τῇ γαμετῇ· οὔτε γὰρ ἠδύνατο τὴν ἐξέμπτιον προσπορίσαι αὐτῇ, ἀλλὰ τὸ λειπαζόμενον ἀπὸ τοῦ προικὸς δίδωσιν αὐτῇ εἰ μὴ διελύσατο. καί τοι φησὶ, ὁ * ϛ ἑτέραι ἐπάνω διάταξιν, καθ᾽ ὃ ἀπόρου εὑρισκομένου τοῦ ἀνδρὸς, τὰ ἐκ τῶν προικιμαίων ἀγορασθέντα εἰς τὴν προῖκα κατὰ προτίμησιν τῶν ἄλλων δανειστῶν δίδονται· ὅπερ οὐ κατὰ λόγον, καὶ χωρὶς γὰρ ταύτης τῆς νομοθεσίας, ἡ γυνὴ σιωπηρὰν ὑποθήκην ἔχει κατὰ τῆς τοῦ ἀνδρὸς ὑποστάσεως. καί τοι φησὶ διάταξις μγ΄. ὅτι ἐὰν δοθῇ τὰ πόνδερε, νούμερο, μένσουρα, ἐν προικὶ, τῷ ἀνδρὶ κινδυνεύεται· ἐπὶ τούτῳ γὰρ δίδοται, ἐφ᾽ ᾧ παρὰ τοῦ ἀνδρὸς ὡς θέλει πραθῆναι, καὶ λυομένου τοῦ γάμου, τοῦ αὐτοῦ γένους, καὶ τῆς αὐτῆς ποιότητος ἀποδοθῆναι ἕτερα. εἰσὶ δὲ τὰ πόνδερε· ἄργυρος, τὰ νούμερο· ἀργύρια, τὰ μένσουρα· σῖτος, οἶνος, ἔλαιον. τοῦτο νόησον μὴ ὥς τε τὸν ἄνδρα εὔπορον μέν τοι ὄντα καὶ δυνάμενον ἅπερ ἔλαβε χρήματα τῇ γυναικὶ ἀποδοῦναι, μετὰ τὴν τοῦ γάμου διάλυσιν ἀναγκάζεσθαι τὰ ἀγορασθέντα πράγματα, διαλυομένου καθάπερ εἶπον τοῦ γάμου, ταύτῃ διδόναι. οἶδας γὰρ μαθὼν ἐξ ὧν ὁ Γάϊος ἐν τῷ μβ΄ τίτλῳ φησὶν, ὅτι πράγματα τοῖς πόνδερε, νούμερο, μένσουρα λόγῳ προικὸς λαβὼν ὁ ἀνὴρ, οὐκ αὐτὰ ἅπερ ἔλαβε χρεωστεῖ, ἀλλὰ καὶ ἕτερα τοῦ αὐτοῦ γένους, καὶ τῆς αὐτῆς ποιότητος, ἀλλὰ τὸ εἰρημένον ὅτι τὰ ἐκ τῶν προικιμαίων πραγμάτων ἀγορασθέντα προικιμαῖα εἶναι δοκεῖ, πρὸς τοῦτο ὁρᾷ· ἵνα διαλυομένου τοῦ γάμου καὶ ἀπόρου ὄντος τοῦ ἀνδρὸς καὶ μὴ εὐποροῦντος, τὴν ἐπιδοθεῖσαν αὐτῷ τῶν χρημάτων πο-

σότητα

σότητα τῇ γυναικὶ ἀποδοῦναι, δυνηθῇ τὴν ἰν ρεμ ἡ γυνὴ κατὰ τῶν ἀγορασθέντων πραγμάτων κινεῖν· ὡς καὶ αὐτῶν προικιμαίων εἶναι νομιζομένων. κατὰ γὰρ τῶν προικιμαίων πραγμάτων φαινομένων μέντοι, δύναται ἡ γυνὴ τοῦ ἀνδρὸς ἀπόρου τυγχάνοντος, κινεῖν τὴν διρέκταν ἰν ρεμ, διαλυθέντος ἢ καὶ ἔτι συνισταμένου τοῦ γάμου, καὶ προτιμᾶται παντὸς δανειστοῦ. βλέπε πῶς εἶπον τὴν διρέκταμ ἰν ρεμ· τὴν γὰρ ὑποθηκαρίαν ἰν ρεμ, οὐ μόνον κατὰ τῶν προικιμαίων πραγμάτων, ἀλλὰ καὶ κατὰ τῶν ἄλλων πραγμάτων τοῦ ἀνδρὸς δύναται κινεῖν ἡ γυνὴ, καὶ προτιμᾶται, καὶ ἐπὶ τούτοις παντὸς δανειστοῦ τοῦ ἀνδρὸς, ὡς καὶ τοῦτο ἀνεύρηται βιβλίῳ ὀγδόῳ τοῦ κώδικος. φησὶ δὲ καὶ οὐλπιανὸς· ὅτι ἐὰν ἡ γυνὴ συναφθῇ δούλῳ νομίσασα αὐτὸν ἐλεύθερον εἶναι, καὶ ἐπιδῷ αὐτῷ πράγματα λόγῳ προικὸς, καὶ αὐτοῦ τοῦ δεσπότου προτιμᾶται ἐπὶ τοῖς πράγμασι τοῖς ἐπιδοθεῖσι λόγῳ προικὸς, καὶ τοῖς ἐξ αὐτῶν ἀγορασθεῖσιν, ὡσανεὶ καὶ αὐτῶν προικιμαίων εἶναι δοκούντων, ὥσπερ κατὰ τοῦτον τὸν θεματισμὸν, προβαίνει παραδιδόναι τὸ νόμιμον. Ὅπου τὰ βάρη τοῦ γάμου, ἐκεῖ καὶ ἡ προὶξ ὀφείλει εἶναι· παραχρῆμα δὲ τὸ ἀποθανεῖν τὸν πατέρα τῷ υἱῷ ἕπονται, ὥσπερ καὶ οἱ παῖδες, καὶ ἡ γυνή. Ὁ ἀνὴρ τοὺς καρποὺς τῆς προικὸς λαμβάνει διὰ τὰ βάρη τοῦ γάμου, οἱ μέντοι πρὸ τοῦ γάμου ληφθέντες καρποὶ, τῆς προικὸς γίνονται· εἰ μὴ τὸ ἐναντίον συνεφωνήθη. Ἐὰν τοὺς καρποὺς τῶν προικιμαίων πραγμάτων ἔλαβεν ἡ γυνὴ, εἰ μὲν ἐδαπάνησεν αὐτοὺς, ἐκέρδησεν· εἰ δὲ πλουσιωτέρα γέγονεν ἐξ αὐτῶν, ἀποκαθίστησι τῷ ἀνδρί. Ὁ πατὴρ προῖκα ἢ πρὸ γάμου δωρεὰν ὑπὲρ τῶν ἑαυτοῦ παίδων ἐπερωτώμενος, δοκεῖ ἐκ τῆς ἰδίας ὑποστάσεως ταύτην ποιεῖσθαι. ὅθεν εἰ πράγματα ἔχει ὁ παῖς ἀπροσπόριστα, μένουσι σῶα, μὴ δυναμένου τοῦ πατρὸς μετὰ ταῦτα λέγειν, ὡς ἐκ τούτων τὴν πρὸ γάμου δωρεὰν ἐποιησάμην· ἐχρῆν

γὰρ

γὰρ ἐν τῷ καιρῷ τῆς ἐπερωτήσεως, ταῦτα προειπεῖν.

## ΚΑῚ Ἡ ΝΕΑΡᾺ ΤΟΥ͂ ΚΑΊΣΑΡΟΣ ΛΈΟΝΤΟΣ.

### περὶ τοῦ φυλάττεσθαι τὴν ἐπαγγελίαν τῆς προικὸς. ἢ ἐκ πατρῴας, ἢ μητρῴας περιουσίας φησίν.

Θεσπίζομεν κατὰ τὸν τοῦ γονέως λόγον οὕτω προβαίνειν καὶ τὴν τῶν λόγων ἐκπλήρωσιν· καὶ μόνον μὲν ἀπαιτεῖσθαι τὴν ὑπόσχεσιν, ἐπειδὰν μόνος ὑπόσχηται παρασχεῖν· σὺν τῷ παιδὶ δὲ, ἐπειδὰν σὺν ἐκείνῳ. εἴτε δι' ἴσου τῶν μερῶν λαμβανομένων, ὅτε μὴ καὶ αὐτὰ προσδιορισθῇ· εἴτε ἀνίσως ὅτε μὴ ἀπροσδιόριστα ᾖ. Ἡ γυνὴ οὐ μόνον ἃ εἶχεν ὁ ἀνὴρ πρὸ τοῦ γάμου ὑποκείμενα ἔχει, ἀλλὰ καὶ εἴ τι μετὰ σύστασιν τοῦ γάμου ἐκέρδανε· τυχὸν ἀπὸ κληρονομίας, ἢ λεγάτου, μὴ ἀναγκαζούσης αὐτῆς τὸν ἄνδρα μὴ βουλόμενον ὑπεισελθεῖν κληρονομίᾳ, ἢ ἄλλῳ τινὶ κέρδει. οὐ γὰρ δίδωσιν αὐτῇ ὁ νόμος ἄδειαν, ἐφ' οἷς οὐ βούλεται ὁ ἀνὴρ κερδαίνειν, ἐνοχλεῖν ποιεῖν τοῦτον.

Καὶ συνεστῶτος τοῦ γάμου κινεῖ περὶ τῆς προικὸς ἡ γυνὴ, ἀφ' οὗ ἄρξηται μὴ ἀρκεῖν πρὸς τὸ ποσὸν αὐτῆς ἡ οὐσία τοῦ ἀνδρός. τὸ ἀπὸ προικιμαίων τι ἀγοραζόμενον, οὐκ ἔστι τῆς δεσποτείας τῆς γυναικός· ἀλλ' ἐὰν μέρος μόνον τῆς προικὸς ἐπανέλαβεν ἡ γυνὴ μὴ ὡς ἤδη διαλύσει, δύναται περὶ τοῦ ὑπολοίπου μέρους τῆς προικὸς ἐναγαγεῖν· τὴν δὲ δεσποτείαν τούτων τῶν πραγμάτων, οὐκ ὀφείλει διεκδικῆσαι, ἀλλὰ μόνην τὴν τιμήν. Γυνὴ καὶ συνισταμένων ἔτι τῶν γάμων, ἐὰν ἄπορον ὁρᾷ τὸν ἄνδρα, δύναται ὑπὲρ προικὸς καὶ προγαμιαίας δωρεᾶς, καὶ ἐξωπροίκων, διακρατῆσαι τὴν αὐτοῦ οὐσίαν ὡς ἀπὸ ὑποθήκης· καὶ εἴτε ἐνάγεται, ἔχει παραγραφήν· εἴτε ἐνάγει, νικᾷ, καὶ οὐκ ἀντίκειται αὐτῇ τὸ μήπω διαλυθῆναι τὸν γάμον· ἀλλὰ τέως μὲν λαμβάνει τὰ πράγματα οὕτως, ὡς ἂν εἰ διελύθη ὁ γάμος, καὶ ἥρμοσεν αὐτῇ ἡ περὶ προικὸς ἀπαίτησις. λοιπὸν δὲ οἱ δανεισταὶ εἴ τινας νομίζουσιν ἔχειν ἀγωγάς,

ταύτας ὀφείλουσι κινῆσαι κατὰ τοῦ ἀνδρὸς, ἤτοι τῶν αὐτοῦ πραγμάτων, ἴσα ἐὰν ἤδη κτήσηται· ἡ γυνὴ δὲ οὐδὲν δύναται ἐκποιεῖν ἐν τῷ μεταξὺ ζῶντος τοῦ ἀνδρὸς, δι' οὐδὲν γὰρ ἕτερον λαμβάνει τὰ πράγματα ἡ γυνή· εἰ μὴ μόνον ἵνα καρπῶται, καὶ τρέφῃ ἑαυτὴν καὶ τὸν ἄνδρα, καὶ τοὺς κοινοὺς αὐτῶν παῖδας.

Ὅτι ἡ γυνὴ ἐν τούτῳ, ἀκίνητα μὲν οὐ δύναται ἐκποιεῖν· κινητὰ δὲ δι' ἀνάγκην καὶ δι' ἔνδειαν ἐκποιεῖ. ἐὰν μέντοι ἡ γυνὴ ἀκίνητον ἐκποιήσῃ, δύναται ὁ ἀνὴρ κινεῖν κατὰ τοῦ ἀγοραστοῦ, μετὰ δὲ τὴν ἀποβίωσιν αὐτοῦ, οὐκ ἀναστρέπεται ἡ πρᾶσις παρὰ τῆς γυναικός. Πᾶσα χρόνου παραγραφὴ ἀντικειμένη τῇ γυναικί, ἐξ ἐκείνου τοῦ καιροῦ ψηφιζέσθω αὐτῇ, ἐξ οὗ ἠδύνατο κινῆσαι· εἰ μὲν εὔπορος ἐστὶν ὁ ἀνὴρ, ἐκ τῆς τοῦ γάμου διαλύσεως· εἰ δὲ ἄπορος, ἐκ τοῦ καιροῦ τῆς ἀπορίας. Οὐκ ὀφείλει προσκυροῦσθαι τῇ γυναικί, ἡ τοῦ ἀνδρὸς οὐσία ἀντὶ τῆς προικὸς, ἐὰν ἤδη κληρονόμους ἐπλούτησεν· εἰ δὲ ἀκληρονόμητος ἐπλούτησε, τότε κατὰ τοὺς νόμους γινέσθω τὸ ἀζήμιον τῇ γυναικί, πρὸς τὸ ἐγχωροῦν. Καὶ ἐν ταῖς ὑποθήκαις προτιμᾶται προὶξ τῶν προγενεστέρων δανειστῶν, κἂν ἀναλωθῶσι τὰ πράγματα τῆς γυναικός, καὶ παῖδας μὴ ποιήσῃ, ἐξῃρημένης προτέρας προικός. ἐνταῦθα γὰρ ἡ προτέρα προτιμᾶται. ταῦτα ἤδη προικός, οὐ μὴν προγάμου δωρεᾶς φαμέν· ἐκείνη γὰρ κατὰ τοὺς οἰκείους χρόνους ἐξετάζεται. ὅλως τε ζημιουμέναις, οὐ μὴν κερδαινούσαις βοηθοῦμεν ταῖς γυναιξίν. Ἐὰν ἐπηγγείλατο ἡ γυνὴ προῖκα διδόναι, μὴ εἴποι δὲ ποσότητα, ἢ πρᾶγμα ῥητόν, ἄχρηστός ἐστιν ἡ τῆς προικὸς ἐπαγγελία· ὡς δυναμένης τῆς γυναικὸς εὐτελέστατόν τι παρασχεῖν. πατὴρ δὲ ἐπαγγειλάμενος προῖκα ὑπὲρ τῆς ἰδίας θυγατρὸς, κἂν μὴ εἴπῃ ποσότητα, ἔρρωται ἡ ἐπαγγελία· ὁ γὰρ πατὴρ οὕτω λέγων, οὐχ ὅσην λέγει δίδωσι προῖκα, ἀλλ' ὅσην εὐπρεπεῖ. Ἐὰν υἱὸς ἔχων γονεῖς ἀγάγηται γαμετὴν, καὶ μὴ λάβῃ κλῆρον, καὶ τελευτή-

σῃ

σιν ἔχωσι παῖδας, οὐ δύναται ἡ γυνὴ αὐτοῦ ἀπαιτεῖν καὶ ζητεῖν τὸν κλῆρον τοῦ ἀνδρὸς ἀπὸ τῶν γονέων, ἐπεὶ πολλάκις ὁ ἀνὴρ τὴν προῖκα κατασπατάλησει, ἀλλ' οἱ παῖδες ἐκείνου.

Σημειῶσαι δὲ τὸ ἐνταῦθα, ὅτι πατέρες ζῶσιν, ὅτι προὶξ ὑπεσχέθη παρ' αὐτῶν, ὅτι κληρονομία ἐτυπώθη παρὰ τῶν γονέων αὐτοῦ, ἐν τῷ καιρῷ τοῦ γάμου τῷ υἱῷ, καὶ διὰ τοῦτο οὐδὲ τῆς γυναικός ἐστιν ἐνταῦθα φροντὶς, ἵνα κινῇ περὶ τοῦ ὑποβόλου.

ΜΑΓΙΣΤΡΟΥ.

Πατὴρ καὶ μήτηρ προικίζοντες παῖδα, ὅσα ἐξ αὐτῶν δώσουσιν εἰ καὶ δαπανηθῶσι παρὰ τῶν λαβόντων, εἰς ταῦτα οὐκ εὐθύνονται παρὰ τοῦ παιδός· ὅσα δὲ τυχὸν δώσουσι μὴ ἀφ' ἑαυτῶν, ἀλλὰ τυχὸν πατὴρ ὑπὲρ μητρὸς, ἢ μήτηρ ὑπὲρ πατρὸς, ἢ ἐξ ἄλλων, ἐπὶ τούτοις ὀφείλουσι ποιεῖν πρόνοιαν, ἵνα περισώζωνται τῷ παιδί· ἐπεὶ πάλιν εὐθύνονται εἰς τὴν τούτων ἀπόδοσιν, καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος. Ἡ διάταξις κωλύει ἀπὸ πάσης ὁμολογίας, ἀπαίτησιν ἔχειν τὴν προῖκα, εἰ μὴ προηγήσατο ἡ ἐπερώτησις· εἶπεν ἁπλούστερον ὁ πατὴρ, ὅτι δίδωμι προῖκα, ἢ προγαμιαίαν δωρεὰν, πάντως οἴκοθεν δίδωσιν. μὴ ἀπορούμενος παντελῶς τῶν τοῦ παιδὸς πραγμάτων. εἰ μὲν ἄπορός ἐστιν αὐτὸς παντελῶς, ἀπὸ τῶν τοῦ παιδὸς παρεχέτω· εἰ δὲ ἔχει οὐσίαν ἀρκοῦσαν, ἐξ ὅλου ἐκ τῶν οἰκείων διδότω, ἔδει γὰρ αὐτὸν εἰ μὲν ἐβούλετο ἐκ τῶν δύο οὐσιῶν γενέσθαι τὴν τῆς προικὸς ἐπίδοσιν, ἢ τῆς προγαμιαίας δωρεᾶς, αὐτὸν μὲν ἅπερ ἐβούλετο οἴκοθεν ἐπιδιδόναι, συναινέσαι δὲ τῷ υἱῷ, ἢ τῇ θυγατρὶ παρεχομένῃ τῆς προικὸς, ἢ τῆς προγαμιαίας δωρεᾶς, ἐκ τῶν διαφερόντων αὐτοῖς πραγμάτων, ἡνίκα βουληθῶσι μέρος, ἢ τυχὸν πᾶσαν τὴν οὐσίαν ἣν ἔχουσι, τῇ πατρῴᾳ φιλοτιμίᾳ ὑπὲρ προικὸς, ἢ προγαμιαίας δωρεᾶς συνάψαι· ἵνα τῇ ἀληθείᾳ δειχθῇ, τί αὐτὸς βούλεται δοῦναι καὶ τί ἐκ τῆς ὑποστάσεως τῶν παίδων ἐξέρχεται. Οὐ μό-

νομ οὐκ ἀναγκάζεται ἡ μήτηρ προικίσαι τὴν θυγατέρα αὐτῆς ἀλλ' οὐδὲ ἀνὴρ ἐκ τῶν πραγμάτων αὐτῆς μὴ θελούσης. τοῦτο δὲ μόνον δέξαι ἐπὶ μητρὸς, οὐκέτι μὴν καὶ ἐπὶ πατρός· ἀναγκάζεται γὰρ ὁ πατὴρ τὴν θυγατέρα αὐτοῦ προικίζειν, ὃς καὶ ἣν ἔδωκε προῖκα τῇ θυγατρὶ ἀναλαβὼν, ὀφείλει φυλάξαι αὐτὴν εἰς δευτέρους γάμους. Ὅτι γυνὴ μετὰ τοῦ ἀνδρὸς παραλαβοῦσα προῖκα, εὐθύνεται εἰς τὸ ἥμισυ, καὶ τοῦτο ἔκρινεν ὁ μάγιστρος. Ἐπειδὴ ἡ μὲν τὴν προῖκα ἀπαιτοῦσα ἀγωγὴ, παραχρῆμα ἀπαιτεῖ πᾶσαν τὴν προῖκα· ἡ δὲ περὶ τῆς ἀναλήψεως τῆς προικὸς ἀγωγὴ, τὰ σταθμώμενα, ἀριθμούμενα, μετρούμενα διὰ τριῶν ἐνιαυτῶν ἀπαιτεῖ. καὶ οὐδὲ εἰς ὁλόκληρον ἐκινεῖτο· ἀλλ' εἰς ὅσον εὐπορεῖ. καὶ ἡ τὴν προῖκα ἀπαιτοῦσα ἀγωγὴ σήμερον, εἰς τοσοῦτον κινεῖσθαι, εἰς ὅσον ὁ ἀνὴρ εὐπορεῖ· ἐκτίθεσθαι δὲ ἀσφάλειαν τῇ γυναικὶ ὡς εἰ ἐπικτήσεται, καταβάλλει αὐτῇ. ἡ δὲ ἀπαίτησις, μὴ διὰ τριῶν ἐνιαυτῶν γινέσθαι, ὡς ἐπὶ τῆς ἀναλήψεως τῆς προικὸς, μήτε παραχρῆμα, ἀλλὰ διὰ ἐνιαυτοῦ καταβαλλέσθω τὰ σταθμώμενα, ἢ ἀριθμούμενα, ἢ μετρούμενα· τὰ μέντοι γε λοιπὰ πράγματα, παραχρῆμα καταβαλλέσθωσαν. εἰ δὲ ἀναβάλλεται ὁ ἀνὴρ καταβαλεῖν παραχρῆμα, ἢ μετ' ἐνιαυτὸν παραδομὴν τὰ ὀφείλοντα καταβληθῆναι, καὶ ὑπὲρ τῶν κινητῶν τόκους ἀπαιτεῖται, καὶ τοὺς καρποὺς τῶν ἀκινήτων, ἀπὸ τοῦ καιροῦ τῆς λύσεως τοῦ γάμου, καὶ τὰ ἐνοίκια, καὶ τὰ ναῦλα, καὶ πάντα ἕτερον καρπόν. Δεῖ εἰδέναι δὲ ὅτι ἀντιστρέφηται προίξ, εἰ μὲν ἐστὶν αὐτεξουσία ἡ κόρη, πρὸς αὐτὴν ἡ προὶξ ἀποδίδοται· εἰ δὲ ἡ κόρη ὑπεξουσία ἐστὶ, καὶ ἡ προὶξ παρὰ τοῦ πατρὸς ἐδόθη αὐτῇ, γίνεται κοινὴ αὐτοῦ τε καὶ τοῦ πατρός. ὅταν δὲ πατὴρ προικίσῃ τὴν αὐτοῦ θυγατέρα, καὶ μετὰ ταῦτα ἢ πλουτήσαντος τοῦ ἀνδρὸς αὐτῆς ἢ διαζυγίου γινομένου, θελήσῃ ἡ θυγάτηρ εἰς δεύτερον γάμον ἐλθεῖν, οὐ δύναται ὁ πατὴρ ἐλαττῶσαι τὴν

προῖκα

προῖκα, καὶ δοῦναι τῇ θυγατρὶ ὀλιγώτερον, παρὸ εἰς τὴν πρότερον προῖκα δέδωκε ταύτῃ· εἰ μὴ ἀπειρία ἐστὶν ἐπισυμβᾶσα πιέζει. Τῆς θυγατρὸς ἀποθανούσης, ἀποδίδοται τῷ πατρὶ ἡ παρ' αὐτοῦ δοθεῖσα προὶξ, καὶ οἱ μείζονες τῶν κε ἐτῶν. ἐὰν ἀλλήλους περιγράψωσιν ἐν τῇ δόσει τῆς προικὸς, βοηθοῦνται· οὐ συνάδει γὰρ τῷ ἀγαθῷ καὶ τῷ δικαίῳ, ἵνα κερδαίνειν ἐκ τῆς ἑτέρου ζημίας, ἢ ζημιοῦσθαι κερδαίνοντος ἑτέρου.

Εἰ καὶ ἐν τῇ οὐσίᾳ τοῦ ἀνδρός ἐστιν ἡ προὶξ, ὅμως τῆς γυναικός ἐστιν, ὅθεν ἐκ δικουμένου προικιμαίου ἀγροῦ, ἡ γυνὴ κινεῖ περὶ ἐκδικήσεως· αὐτῇ γὰρ διαφέρει. ἐὰν γὰρ μὴ ἐκνικήσῃ, παύεται αὐτὸν ἔχειν ἐν προικὶ, ἐν ὅσῳ δὲ παρὰ τῷ ἀνδρὶ ἐστὶν ἡ γυνὴ, τὸ κέρδος αὐτοῦ ἔχει ὁ ἀνὴρ διὰ τὰ βαρή. Τὸ παλαιὸν νόμιμον ὅπερ εἶχον αἱ γυναῖκες ἐν τῇ ἀπαιτήσει τῆς προικὸς, εἰς κληρονόμους αὐτῶν οὐ διαβαίνει, πλὴν παίδων.

Τὸ λεγόμενον ὅτι τὰ ἀναγκαῖα δαπανήματα τῷ ἰδίῳ δικαίῳ μειοῖ τὴν προῖκα, τοῦτο δηλοῖ· ὥς τε τὸν ἄνδρα παρακρατεῖν τὸν ἀγρὸν, ἢ μέρος αὐτοῦ, ἕως οὗ λάβοι τὴν δαπάνην· εἰ δὲ κατὰ μέρος εἰς τὸν ἀγρὸν ἐδαπανήθη ὅσον ἦν ἄξιος, παύεται εἶναι προικιμαῖος· εἰ μὴ ἐντὸς ἐνιαυτοῦ παράσχοι τὰς δαπάνας. εἰ δὲ ἦσαν σὺν τῷ ἀγρῷ καὶ χρήματα ἐν προικὶ, τὰ χρήματα μειοῦνται· καταβαλλούσης δὲ τῆς γυναικὸς τὰς δαπάνας, ἀποστρέφει ὁ ἀγρὸς εἰς τὴν προῖκα, ἐν τῷ μεταξὺ δὲ κεκώλυται ἡ ἐκποίησις αὐτοῦ. Τότε τὰ ἀναγκαῖα δαπανήματα μειοῦσι τὴν προῖκα, ὅτε ἔξωθεν τῆς ἀναγκαίας φυλακῆς τῆς προικὸς εἰς αὐτὴν δαπανηθῇ· φυλάττειν γὰρ ὁ ἀνὴρ ὀφείλει τὴν προῖκα δαπανήμασιν οἰκείοις. ὥσπερ καὶ τὸ τρέφειν τοὺς προικιμαίους δούλους, καὶ μέτρια δαπανᾷν εἰς ἀνανέωσιν, καὶ ἐπιμέλειαν τῶν ἀγρῶν· οὐχ ὥστε μέντοι περὶ ταῦτα δαπανῆσαι πᾶσαν τὴν πρόσοδον. ἐκ τῆς ποιότητος οὖν καὶ τῆς ποσότητος, ἑκάστη δαπάνη σκοπεῖται, καὶ ὀφείλει τῆς προικὸς ὑ-

πεξαιρεθῶσι. Ἀναγκαῖα δαπανήματα ἐστὶν, ὧν μὴ γενομένων, ἡ προῖξ μειοῦται· οἷον χαρακώματα ποιῆσαι, ποταμοὺς ἀποστρέψαι. οἴκον ὑπορθῶσαι καὶ ἀνανεῶσαι, ἀντὶ τῶν πεσόντων δένδρων, ὑποβαλεῖν ἕτερα, τὸ εἰσαγαγεῖν θρέμματα, πρὸς δὲ κοπρίσαι τὸν ἀγρόν· πρὸς τέρψιν δέ ἐστι, τὸ ποιῆσαι βαλανεῖον. Καὶ γνώμῃ τῆς γυναικὸς γεγόνασι τὰ πρὸς τέρψιν δαπανήματα, οὐκ ἀπαιτοῦνται. τότε ὑπεξαιροῦνται τὰ ἐπωφελῆ, ὅτε κατὰ γνώμην γίνονται τῆς γυναικός· ἄδικον γάρ ἐστι μὴ ἔχουσαν ἑτέρωθεν δοῦναι, καταναγκασθῆναι πωλῆσαι τὸ πρᾶγμα, περὶ ὃ γέγονεν ἡ δαπάνη.

## ΠΕΡΙ ἘΚΔΙΚΗΣΕΩΣ ΠΡΟΙΚΟΣ καὶ τῶν βαρῶν αὐτῆς. Τίτλ. θ.

Συνεστῶτος τοῦ γάμου, τῇ μὴ ἀπολυθείσῃ γαμετῇ, δύναται ἡ προῖξ ἐκ τούτων καταβάλλεσθαι τῶν αἰτιῶν· ἤγουν ἵνα ἑαυτὴν καὶ τοὺς ἰδίους θρέψῃ, ἵνα ἀγρὸν ἐπιτήδειον ἀγοράσῃ, ἵνα καταβάλλῃ δανεισταῖς αὐτῇ, ἵνα τὸν ἐξόριστον πατέρα θρέψῃ, ἢ τὸν ἄνδρα, ἢ τοὺς ἀδελφοὺς πενομένους. Ὁ ἀνὴρ καὶ ἄπορος ὤν, πᾶσαν χρεωστεῖ τὴν προῖκα. Ὁ ἀνὴρ ἐπιτρέπων τινὶ δοθῆναι τὴν προῖκα, αὐτὸς πιστεύεται αὐτὴν εἰληφέναι. Ὁ ἀνὴρ συνεστῶτος τοῦ γάμου, μὴ διδότω τῇ γυναικὶ τὴν προῖκα χωρὶς εὐλόγου αἰτίας· τοῦτο γὰρ ποιῶν, δοκεῖ δωρεῖσθαι αὐτῇ, καὶ ἀπαιτεῖται τὴν προῖκα αὖθις, μετὰ καὶ τῶν ἐν μέσῳ καρπῶν. Ὁ πενθερὸς ὑπὸ τοῦ γαμβροῦ, καὶ ἡ γυνὴ ὑπὸ τοῦ ἀνδρὸς ἀπαιτούμενοι ἣν ἐπηρωτήθησαν προῖκα, πρὸς τὸ μέτρον τῆς αὐτῶν οὐσίας καταδικάζονται. Ὁ ἐπερωτηθεὶς παρὰ γαμβρῷ αὐτοῦ προῖκα καὶ λεγάτον εἶναι αὐτῆς τῇ θυγατρὶ αὐτοῦ, οὐ ποιεῖ τοῖς δυσὶν ἔνοχον τὸν ἴδιον κληρονόμον· ἀλλ' εἷς μόνος ἀπαιτεῖ, ὃς ἐὰν συναρέσῃ αὐτοῖς.

Δύναται ὁ ἀνὴρ μετὰ πλοῦτον τῆς γυναικὸς, ἀπαιτῆσαι τὴν ὁμολογηθεῖσαν αὐτῷ προῖκα, δηλονότι ἐντὸς μόνον ἐτῶν

δέκα

δέκα. Γυνὴ ἐπιζητήσασα ἐν συνεστῶτι τῷ γάμῳ προῖκα, ἢ εὑροῦσα διαπεπραγμένον κτῆμα παρὰ τοῦ ἀνδρὸς, ἀποκατέστη παρὰ τοῦ δικαστοῦ τῷ ἀπεμπολημένῳ κτήματι, καταδικασθέντος τοῦ ἀγοραστοῦ· οὐ μόνον εἰς τὴν τοῦ τιμήματος ἔκπτωσιν, ἀλλὰ καὶ εἰς τὴν τῆς μειώσεως ἔκτισιν. Τὰ ἐν προικὶ ἐπιδοθέντα, οὐ δύναται ἡ γυνὴ διεκδικεῖν· ἐπεὶ τοῦ ἀνδρός ἐστιν ἡ τούτων δεσποτεία. Ἐὰν ἔχῃ τινὰ ἡ γυνὴ, καὶ οὐ δύναται δεῖξαι πόθεν ἔχει αὐτὰ, ταῦτα καὶ χωρὶς ἑτέρας τινὸς ἀποδείξεως, ἐκ τοῦ ἀνδρὸς δοκεῖ ἔχειν· καὶ τῶν ὑπεξουσίων αὐτοῦ, ἢ τοῦ ἀνδρὸς λογίζονται πράγματα. Ὅτι διὰ πέντε αἰτίας μόνον δημεύεται ἡ προὶξ τῆς γυναικὸς, διὰ καθοσίωσιν, διὰ βίαν δημοσίου, διὰ πατροκτονίαν, διὰ φαρμακείαν, καὶ δι᾽ ἀνδροφονίαν. Εἰ συναφθεῖεν τινὲς ἀλλήλοις ἐπὶ προικὸς ἢ προγαμιαίας δωρεᾶς συμβολαίοις, εἶτα φανῇ παρ᾽ ὅλον τὸν τοῦ γάμου καιρὸν ἡ προὶξ μὴ ἀποδοθεῖσα τῷ συνοικήσαντι, ἀλλ᾽ ἀναχόμενος ἐκεῖνος τῶν τοῦ γάμου βαρῶν, καὶ ὁ γάμος θανάτῳ τοῦ ἀνδρὸς διαλυθείη, οὐκ ἂν εἴη δικαία παντελῶς ἡ γυνὴ, προῖκα μὴ δοῦσα τῷ συνοικήσαντι, τὴν προγαμιαίαν λαβεῖν δωρεάν. εἰ δὲ καὶ μὴ εἰς ὁλόκληρον δοίη, καὶ αὐτὴ κατὰ τοῦτον ἀπαιτείτω τὴν δωρεὰν, καθ᾽ ὅσον ἐπιδοίη τὴν προῖκα· ἰσότητος γὰρ ἐσμὲν καὶ δικαιοσύνης ἐρασταὶ, καὶ ταύτην ἐν ἅπασί τε τοῖς ἄλλοις, καὶ πρός γε τοῖς συνοικεσίοις βουλόμεθα κρατεῖν· ὥστε ἡ μηδὲ τοσοῦτον ἐπιδοῦσα, μηδὲ τοσοῦτον λαμβανέτω. εἰ δὲ ἡ μὲν, δοῦναι βουληθῇ τὴν προῖκα, ἢ ὁ ὑπὲρ ταύτης παρεχόμενος αὐτὴν, ἢ ὅστις ποτ᾽ ἂν εἴη· ὁ δὲ ἀνὴρ, ἢ ὁ τούτου πατὴρ τυχὸν, ἢ ὁ πάππος ὑποδέξασθαι αὐτὴν μὴ βουληθῇ, τὸ δὲ τῆς γυναικὸς ἐκμαρτύρεται μέρος, καὶ ἑτοίμως ἔχει ταύτην καταβαλεῖν, ἢ καί τι μεῖζον πράξαι, καὶ προσαγάγοι τυχόν· καὶ εἴ γε κινητὴ καθεστήκει, καὶ σφραγῖδας ἐπιτεθείη, καὶ κατὰ τὸν νόμον ἀπόθοιτο, ἢ καὶ κατὰ μίαν μοῖραις

εἰς

εἰσβαλὼν εἰς δικαστήριον ἀξιοῖ ταύτην γενέσθαι, καὶ διαβάντες ἐκ τοῦ δικαστοῦ τινὲς, ἀπήγγειλαν ταῦτα πρὸς τὸ τοῦ ἀνδρὸς μέρος. ἐπεὶ μέντοι δὲ καὶ οὕτως ἀναβαλλόμενον, μὴ δύνασθαι διαλυθείσης τοῦ γάμου, τῆς τῆς προγαμιαίας δωρεᾶς ἔκτισιν ἐκκλίνειν, ὡς δὴ προικὸς οὐκ ἐπιδοθείσης· ὁ γὰρ δοῦναι βουληθεὶς, ἐν ᾧ τὴν λῆψιν ὁ λαμβάνειν ἠξιωμένος παραιτεῖται, παραπλήσιός ἐστι τῷ δεδωκότι.

## ΠΕΡΙ ΠΡΟΙΚΩΩΝ ΠΡΑΓΜΑΤΩΝ πῶς μερίζονται τοῖς ἀδελφοῖς.

Ἐὰν ὁ πατὴρ κατὰ φιλοτιμίαν ἐπιδῷ ἑνὶ τῶν παίδων εἰς χρῆσιν, ἢ εἰς προῖκα πράγματα τῆς γυναικὸς αὐτοῦ, ἐκδικοῦσιν αὐτὰ οἱ ἕτεροι, καὶ μειοῦται ἡ προὶξ, ὅτι τὰ μητρῷα οἱ παῖδες ἐπίσης μερίζονται. Τὴν προῖκα μὴ εἰσενεγκαμένην, μὴ δύνασθαι τὰ τοῦ ἀνδρὸς οἰκειοῦσθαι, ἀλλὰ τῆς προγαμιαίας δωρεᾶς, καὶ ὁ μὴ τὴν διὰ γάμον ἐπιδοὺς δωρεὰν ἀνὴρ, οὐ λαμβάνει τι ἐκ τῆς οὐσίας τῆς γυναικός· εἰ μὴ ἡ συνοικοῦσα δωρήσασθαί τι ἢ καταλεῖψαι βουληθείη. Ἐὰν γυνὴ ἄπροικος ἅμα τῷ ἀνδρὶ αὐτῆς ὑπόσχηται τῷ υἱῷ, ἢ τῇ θυγατρὶ προῖκα καὶ παράσχωσιν· εἶτα τελευτῶντος τοῦ ἀνδρὸς ἐν ἀπορίᾳ, μηδὲν κερδάνῃ ἡ γυνὴ ἐξ αὐτοῦ, δύναται κινεῖν κατὰ τοῦ υἱοῦ ἢ τῆς θυγατρὸς, εἰς τὸ λαβεῖν καὶ αὐτὴ μοῖραν παιδός. ἡ γὰρ γυνὴ ἄπροικος οὖσα, ἐὰν τελευτήσῃ ὁ ἀνὴρ ταύτης ἐν ἀπορίᾳ καταλείψας παῖδας, τοσοῦτον λαμβάνει ἐκ τῆς ἀνδρῴας περιουσίας, ὅσον εἷς τῶν παίδων ἔλαβεν. Ὅτι ἐὰν πατὴρ προικίσῃ τὴν ἰδίαν θυγατέρα, εἶτα καταναλώσας τὴν ἰδίαν ὕπαρξιν ἐν ἀπορίᾳ τελευτήσῃ, καὶ ὑπολειφθῇ ἡ γυνὴ αὐτοῦ χρεωστουμένη, δικαιοῦται αὐτὴ καὶ νικᾷ, τὴν θυγατέρα εἰς τὸ δοθὲν αὐτῇ παρὰ τοῦ πατρὸς, καὶ οὐ βλάπτεται ἡ μήτηρ ὡς εἰδυῖα τὴν δόσιν· ἐπεὶ γὰρ μόνοις τοῖς παρ' αὐτῆς δοθεῖσι τῇ θυγατρὶ ἤγουν τοῖς μητρῴοις, ἥττηται. Ὅτι δικαιωτική ἐστιν

ἡ τῆς

ἡ τῆς προικὸς ἀπαίτησις, καὶ χρόνῳ οὐ περικλείεται. Τὰ τῆς προγάμου δωρεᾶς, καὶ τὰ τῆς προικὸς πράγματα, οὐ δὲ συναινούσης τῆς γυναικὸς ἐκποιεῖται, οὐ δὲ ἐνεχυριάζεται· εἰ μὴ δευτέραν ποιήσηται συναίνεσιν αὐτοῖς ἡ γυνὴ μετὰ διετίαν, ἔνθα μέντοι γε δυνατόν ἐστι τὸ ἱκανὸν αὐτῇ γενέσθαι ἐξ ἑτέρων πραγμάτων. ὁ γὰρ παρὰ τὴν ἐκτεθεῖσαν παραίτησιν ἀγοράζων τὰ τοιαῦτα πράγματα, τὴν γυναῖκα οὐ προκριματίζει, ἀλλ᾽ ὑπόκειται αὐτῇ. Δύο προικῶν ὑπό τινος χρεωστουμένων, τὰ μὲν ἐξ αὐτῶν φαινόμενα πράγματα, ἐκδικεῖται ὑπὸ τῶν τεχθέντων ἀπὸ τοῦ αὐτοῦ γάμου· εἰς δὲ τὰ μὴ φαινόμενα, ἔχει προγενεσίαν ἡ πρώτη προὶξ ἀπαιτουμένη ὑπό τε τῆς γυναικὸς, καὶ ὑπὸ τῶν κατιόντων αὐτῆς ἑκατέρας φύσεως. Ἐπηγγείλατό τις τῇ θυγατρὶ προῖκα δοῦναι, καὶ οὐκ ἔδωκεν· εἶτα ἔλαβεν ἐκεῖνος γυναῖκα, καὶ ἐδέξατο προῖκα καὶ ἀπέθανε, καὶ ἐζητεῖτο ποία προτιμηθήσεται· ἡ πρώτη ἐπαγγελία τῆς προικὸς τῆς θυγατρὸς· ἢ ἡ δευτέρα καταβολὴ, ἣν ἡ γυνὴ πρὸς αὐτὸν κατεβάλετο. καὶ ἐδικαίωσαν οἱ δικασταὶ καὶ ὁ μάγιστρος, τὴν δευτέραν καταβολήν· εἰ γὰρ τοὺς προγενεστέρους δανειστὰς ἡ προὶξ νικᾷ, πολλῷ μᾶλλον περιέσται τῆς ἐπαγγελίας.

## ΠΕΡῚ ἘΞΩΠΡΟΊΚΩΝ.

Τὰ ἐξώπροικα, οὐ γίνονται τοῦ ἀνδρὸς, εἰ μὴ ἰδικῶς τούτῳ δοθῶσιν αὐτῷ, καὶ λυομένου τοῦ γάμου κατὰ νόμους, οὐκ ἀπαιτοῦνται, καὶ οὐ διὰ τῆς ἰδικῆς προικῴας ἀγωγῆς. Ἐὰν τὰ ἐξώπροικα τῆς γυναικὸς ὁ ἀνὴρ δαπανήσῃ, εἰ μὲν δωρησαμένης ἐκείνης, οὐκ ἐνάγεται ὁ κληρονόμος αὐτοῦ, εἰ μὴ μόνον εἰς ὃ γέγονε πλουσιώτερος· εἰ δὲ παρὰ γνώμην αὐτῆς, πλὴν πάντα τὰ ἐξώπροικα ἀναγκάζεται ἀποκαταστῆσαι, ἐπειδὴ ἔχει καὶ ἰδικῶς τούτοις ὑποθήκην ἡ γυνὴ ὥσπερ ἰδικῶς τῇ προικί. Πᾶσα γυνὴ ἐν τοῖς ἐξωπροίκοις, καὶ τοῖς λεγάτοις, χωρὶς τῆς προικὸς δύναται καὶ συναλλάττειν, καὶ χαρίζειν, καὶ δωρεῖσθαι, καὶ ἐπερώται

πάντα. ἐπὶ μὲν τῇ προικὶ ὁ ἀνὴρ μέχρις εὐπορείας ὡς εἴρηται καταδικάζεται· οὐ γὰρ ἀφίεται πένεσθαι ὁ ποτὲ κύριος τῆς γυναικὸς χρηματίσας. ἐπὶ δὲ τοῖς ἐξωπροίκοις εἰς τὸ πᾶν καταδικάζεται. τὰ ἐξώπροικα τῆς γυναικὸς, οὐχ ὑπόκειται ταῖς τοῦ ἀνδρὸς λειτουργίαις· ἀλλ' οὐδὲ αἱ μητέρες ὑπὲρ τούτων ἐνάγονται. οὐδὲ ὁ ἀνὴρ ὑπὲρ τῶν τῆς γυναικὸς συναλλαγμάτων, οὐδὲ ὁ πατὴρ ὑπὲρ τῶν τοῦ υἱοῦ λειτουργιῶν, ἢ συναλλαγμάτων, ἢ υἱὸς ὑπὲρ τῶν τοῦ πατρὸς, ἢ ἀπελεύθερος ὑπὲρ τῶν τοῦ πάτρωνος.

## ΠΕΡΙ ὙΠΟΒΟΛΟΥ. Τίτλ. ι'.

Ὑπόβολον καλοῦσι, τὸ ἐπὶ τῇ ποσότητι τῆς προικὸς, ὅταν ἀποθανούσης τῆς γυναικὸς ἡ προὶξ ἀπαιτῆται παρὰ τοῦ ἀνδρὸς, ταύτῃ ὑποβαλλόμενον, ἤγουν ὑποτιθέμενον, καὶ ὑποκάτω τῆς εἰς πλέον ποσὸν ἀναβιβαζομένης προικὸς, ὡς ἐλαττότερον τῆς αὐτῆς ταύτην τιθέμενον, τὸ γὰρ ὑποβάλλειν, μετὰ τῶν ἄλλων δηλοῖ, καὶ τὸ τιθέναι ὑπό τινι ἰσχυροτέρῳ καὶ πλείονι, ἀλλ' ὅτι καὶ ἀσθενέστερον, καὶ βραχύτερον. ἐκ τούτου γοῦν καὶ τὸ τῆς προικὸς ὑπόβολον ὀνομάζεται· ὅταν γοῦν γένηται γάμος, κατὰ συμφωνίαν τὰ δύο μέρη περὶ ὑποβόλου ποιήσωσιν, ἵνα εἰς τὴν ἀπόδοσιν τῆς προικὸς προστεθῇ, καὶ τόσον ὑπόβολον, κατὰ τὴν συμφωνίαν ἀποδίδοται τὸ ὑπόβολον· ὅταν δὲ ἀφήσωσι τοῦτο, καὶ οὐδὲν περὶ αὐτοῦ συμφωνήσωσιν, ἀπαιτεῖται ὁ τὴν προῖκα ἀποδιδοὺς, ἐπιδιδόναι καὶ χάριν ὑποβόλου, καὶ τρίτον τῆς ποσότητος ὅλης εἰς ἣν ἡ προὶξ περιΐσταται. οἷον ἂν μία λίτρα ὑπάρχῃ ἡ προὶξ, τὸ τρίτον τῆς λίτρας, ὅπερ ἐστὶν ῑ ι κδ', καὶ τοῦτο μὲν παρὰ τοῖς νέοις ἕως ἄρτι κρατεῖ· παρὰ δὲ τοῖς παλαιοῖς τὸ ὑπόβολον, ἕως τοῦ ἡμίσεως τῆς προικὸς ἐψηφίζετο. εἰ δὲ ἀποθάνῃ πρὸ τοῦ ἀνδρὸς ἡ γυνὴ, οὐκ ἔχει χώραν ἡ τοῦ ὑποβόλου ἀπαίτησις. Ὅτι τὸ ὑπόβολον, οὐ μετὰ τὸν γάμον αὐτίκα κυροῦται· ἀλλὰ δεῖ τὸν ἄνδρα θανάτῳ προαπελθεῖν τῆς γυ-

ναικὸς

ναικὸς, καὶ οὕτω τοῦτο λαβεῖν ὑπόστασιν. Ἡ παρθένος ἔχει τὸ θεώρετρον διὰ τὴν τιμὴν τῆς παρθενίας· ἡ δὲ χήρα οὐκ ἔχει αὐτὸ, ἀλλὰ τὸ συμφωνηθὲν ὑπόβολον, καὶ τὸν ἀρραβῶνα.

Τῆς γυναικὸς πρὸ τοῦ ἀνδρὸς τελευτησάσης, οὐκ ἔχει χώραν ἡ τοῦ ὑποβόλου ἀπαίτησις, ἀλλὰ μόνον τὸ θεώρετρον δίδοται, παρθένῳ οὔσῃ· ταῖς γὰρ δευτερογαμούσαις, οὐ δίδοται. ἔστι δὲ τὸ θεώρετρον ἐπὶ ἑκάστῃ λίτρᾳ τῆς προικὸς, γι ἕξ.

ΝΕΑΡΑ ΤΟΥ ΚΑΙΣΑΡΟΣ ΛΕΟΝΤΟΣ.

Ἐπειδὴ πρὶν ἅπαξ κρατεῖν ἔδοξε μὴ ἐξεῖναι τὰς ἐν τῇ συστάσει τῶν γάμων γίνεσθαι συντελείας, ἀλλ᾽ εἶναι τοῦ ὑποβόλου ἐπὶ πλέον τὴν προῖκα, τοῦτο ἔστω πολιτευόμενον, θανάτου φέροντος λύσιν τοῦ γάμου. εἰ μὲν ὁ ἀνὴρ ἄτεκνος ἀπίοι, καὶ σύμφωνον μὴ παρῇ, ἀνακομιζέτω ἡ γυνὴ τήν τε προῖκα καὶ τὸ ὑπόβολον, καὶ μηδὲν ἔτι πλέον. εἰ δὲ τὴν γυναῖκα ὁ θάνατος διασπάσει, τῆς μὲν οἱ κληρονόμοι τὴν προῖκα λαμβανέτωσαν· τῷ ἀνδρὶ δὲ μὴ γινέσθω τῶν ἰδίων ἡ στέρησις, μὴ δὲ τὰ ἐκείνου ἕτεροι, ἀλλ᾽ αὐτὸς ἐχέτω. τοῦτο γὰρ οὐκ ἄτοπον καὶ ἄδικον, τοὺς μὲν ἀλλοτρίους ἐκ τῶν ἐκείνου πραγμάτων κερδαίνειν· αὐτὸν δὲ περὶ τῇ ἀποστερήσει τῆς συζύγου, καὶ τῶν οἰκείων ἤδη τοῦ ὑποβόλου στερεῖσθαι.

ΤΟΥ ΑΥΤΟΥ. ΠΕΡΙ ΔΕΣΠΟΤΕΙΑΣ ΥΠΟΒΟΛΩΝ.

Ταύτην οὖν τὴν συνήθειαν ἐπειδήπερ οὐ λυπηρὰν ὁρῶμεν τοῖς πράγμασιν, ὥσπερ καὶ ἐπ᾽ ἄλλων ἐδικαιώσαμεν, νόμου τιμῶμεν ἀξιώματι, καὶ ἔστω γε ἀπὸ τοῦ νῦν νόμου ἰσχὺν, ἀλλ᾽ οὐ συνηθείας κεκτημένη, εἰ μέντοι γε ἐν μόνῳ τῷ ὑποβόλῳ ἡ τοῦ ἀνδρὸς ἀριθμεῖται ὑπόστασις· μετὰ τῶν παίδων τοῦτον πάντως συναπολήψεται δεσποτείαν, τοῦ δ᾽ ἄλλου τὴν χρῆσιν ἕξει. εἰ δὲ μὴ ἐξαρκοῖ πρὸς σύστασιν τοῦ ὑποβόλου ἡ περιουσία, τὴν μοῖραν ἡ γυνὴ λήψεται· οὐ κατὰ τὴν συνεισκομιζομένην τοῦ μεταθέντος ὑποβόλου ποσότητα, ἀλλὰ τοσαύτην ἔχουσα ὅσην ἂν

ἔχει, εἰ μηδὲν ἐλαττούμενον ἀλλὰ πλῆρες καὶ τὸ ὑπόβολον ἐγνωρίζετο, ταύτης οὖν διδομένης τῇ γυναικὶ μερίδος, τὰ περιλειπόμενα ἔσω τῶν παίδων. εἰ δὲ μηδὲν ὑπολίποιτο, ὡς κλῆρον τὴν ἀκληρίαν ἀπίσοιτο, ἀλλὰ ταῦτα μὲν περὶ γυναικός. ἀνὴρ δὲ ἄπαις μὲν ὢν καθάπερ ἐν ἄλλοις διατέτακται, οὐδὲν οὔτε λήψεται, οὔτε ζημιωθήσεται, παίδων δὲ πατὴρ γεγονὼς, καὶ μὴ δευτέροις γάμοις τὸν πρὸς τὴν γυναῖκα πόθον μαράνας, καὶ αὐτὸς λήψεται μοῖραν παιδὸς· τεκνοτροφίας τε ἕνεκεν, καὶ τῆς διασεσωσμένης αὐτῷ πρὸς τὸν πρότερον γάμον αἰδοῦς καὶ τιμῆς.

## ΝΕΑΡᾺ ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂

Ταύτην δὲ τὴν μοῖραν ἐν λογισμῷ ὁ ἀνὴρ ὑποβαλλέσθω, κἂν μὲν φαίνοιτο ἐπ' ἴσον φθάνουσα τῷ ὑποβόλῳ, ἢ ὑπερεκτεινομένη, ἐξαρκείσθω ἐπὶ ταύτῃ τὸν λαμβάνοντα· διὰ τὸ πάντως ἢ κερδαίνειν, ἢ μηδεμίαν ζημίαν ὑφίστασθαι. εἰ δ' οὐκ ἐξικνεῖται ἡ μοῖρα, ἀλλ' ἐνδεῖ τοῦ ὑποβόλου, μήτε τῶν οἰκείων ὁ ἀνὴρ διδότω, μήτε τῶν τῆς γυναικὸς ὑπάρξεων λαμβανέτω.

## ΠΕΡῚ ΔΩΡΕΩ͂Ν ΜΕΤΑΞῪ ἈΝδρὸς καὶ γυναικός, Τίτλ. ια.

Μεταξὺ ἀνδρὸς καὶ γυναικὸς, οὐκ ἔρρωται δωρεά, διὰ τὸ ἐρῶντα, καὶ διὰ τὸ μὴ ἔχειν αὐτοὺς διαζυγίου πρόφασιν ἐκ τοῦ μὴ δωρεῖσθαι, καὶ διὰ τὸ μὴ γίνεσθαι τὸν εὔπορον ἄπορον, καὶ τὸν ἄπορον εὔπορον. οὐ μόνον ἐπὶ τῶν συνεστώτων γάμων, ἀλλὰ καὶ ἐπὶ τῶν κεκωλυμένων ἀνίσχυροί εἰσιν αἱ δωρεαί. Γαμετῇ μὲν δωρεῖσθαι κεκώλυται· παλλακῇ δὲ δωρεῖσθαι, οὐ κεκώλυται. Ἐὰν ὁ ἀνὴρ δωρησάμενος τῇ γυναικὶ τελευτήσῃ ἐφησυχάσας τῇ δωρεᾷ, βεβαιοῦται ἡ δωρεά, καὶ παρ' οὐδενὸς ἀνατρέπεται. Τὰ τῷ ἀνδρὶ παρὰ τῆς γυναικὸς δωρούμενα διὰ τὸ τυχεῖν αὐτὸν ἀξίας, ἔρρωται μέχρι τοῦ προχωροῦντος ποσοῦ. Ἐὰν γυνὴ ἐν συνισταμένῳ τῷ γάμῳ δω-

ρήσηται τῇ ἰδίᾳ θυγατρί, ἔρρωται ἡ δωρεά. Οὔτε ἡ γυνὴ δωρεῖται τῷ ἀνδρί, οὔτε ὁ πενθερὸς τῷ γαμβρῷ, οὔτε τοῖς ὑπεξουσίοις αὐτῶν, ἢ τοῖς ἔχουσιν αὐτοὺς ὑπεξουσίους· εἰ δὲ μή ἐστιν ὁ πενθερὸς συνυπεξούσιος τῷ ἀνδρί, ἢ μὴ ἔχει αὐτὸν ὑπεξούσιον, οὐ κωλύεται δωρεῖσθαι τῷ πενθερῷ καὶ τοῖς ὑπεξουσίοις αὐτοῦ, καὶ τῷ ὑπεξούσιον αὐτὸν ἔχοντι. Οὐ καλῶς ὁ πενθερὸς δωρεῖται τῇ νύμφῃ, ἢ τῷ γαμβρῷ, θανάτου αἰτίᾳ· κἂν γὰρ ὁ πενθερὸς ἀποθάνῃ, μένει τὸ συνοικέσιον, ἢ ἀδιάφορον εἴτε τὸν υἱὸν εἴτε τὴν θυγατέρα ἀπόκληρον ἐποίησε, διαζυγίου δὲ χάριν καλῶς δωρεῖται. Καὶ οἱ συνυπεξούσιοι τῶν γεγαμημένων ἀδελφοί τε καὶ δοῦλοι, κωλύονται δωρεῖσθαι, καὶ οἱ ὑπεξούσιοι τοῖς ὑπεξουσίαις. ὅθεν ἡ γυνή μου τῷ ὑπεξουσίῳ μου υἱῷ, οὐκ ἐρρωμένως δωρεῖται· εἰ μὴ ὧδε τὰ κάστρα ἀπιόντι, ἰδιόκτητον γὰρ αὐτοῦ γίνεται. καὶ ὁ ὑπεξούσιός μου ἐκ τοῦ ἰδιοκτήτου πεκουλίου, καλῶς δωρεῖται τῇ γαμετῇ μου, ὁ οὖν ἔχων υἱὸν ὑπεξούσιον, καὶ τῇ ἰδίᾳ γαμετῇ, καὶ τῇ νύμφῃ δωρεῖσθαι κεκώλυται.

Ἡ πενθερὰ τῇ νύμφῃ, καὶ ἡ νύμφη τῇ πενθερᾷ δωρεῖται, οὐ γὰρ ὕπεστι λόγος ὑπεξουσιότητος. Εἰ μὲν μὴ ἔχων πρόθεσιν ὁ ἀνὴρ πωλῆσαι, πέπρακε τῇ γυναικὶ διὰ τὸ δωρεῖσθαι αὐτῇ, ἄκυρος ἡ πρᾶσις. εἰ δὲ πωλῆσαι βουλόμενος ὀλίγου πέπρακεν, εἰς ὃ γέγονεν ἡ γυνὴ πλουσιωτέρα, ἀκυροῦται· τυχὸν γὰρ δοῦλον ιε̄ ν̄ι ἄξιον, ἐπώλησεν εἰς πέντε ν̄ι, καὶ νῦν ἄξιός ἐστι δέκα ν̄ι, δίδωσιν ἐν ᾧ νῦν ἐστιν εὐπορωτέρα. Ἐπὶ τῶν κεκωλυμένων, εἰ μὲν φαίνονται τὰ δωρηθέντα ἐκδικεῖται· εἰ δὲ δαπάνηται, ἀπαιτεῖται ὁ δεξάμενος, μέχρις οὗ γένηται εὐπορώτερος. Καλῶς ἀλλήλοις θανάτου αἰτίᾳ δωροῦνται· εἰς καιρὸν γὰρ ἀναφέρεται, ἐν ᾧ ὁ γάμος παύεται, καὶ τῷ θανάτῳ τοῦ δωρησαμένου, γίνεται τοῦ λαβόντος· ἐν δὲ τῷ μεταξύ, τοῦ δωρησαμένου ἐστί. πᾶσα δὲ δωρεὰ θανάτου αἰτίᾳ μεταξὺ τῶν συνοικούντων ἔρρωται. Διαζυγίου γινομένου, ἡ θανάτου αἰτίᾳ δω-

ρεά, οὐκ ἔῤῥωται ἀλλ' ἀκυροῦται. Καλῶς δωροῦμαι τῇ γαμετῇ μου τὸ ἀρκοῦν πρὸς ἀνανέωσιν τῆς καινότητος αὐτοῦ οἴκου. Εἰ πρὸ τοῦ γάμου δωρεαὶ, ἰσχύουσι, κἂν ἐν αὐτῇ τῇ ἡμέρᾳ γαμηθῶσιν. Ἐὰν ἧτταν τῶν δώδεκα ἐνιαυτῶν ἀγαγόμενος τις δωρήσηται αὐτῇ, εἰ μὲν πρώτη ἡ μνηστεία, μένει, καὶ ὡς πρὸς μνηστὴν ἡ δωρεὰ, ἔῤῥωται· εἰ δὲ μὴ πρώτη μνηστεία, ἄκυρος ἡ δωρεά· οὐ γὰρ ὡς πρὸς ἐξωτικὴν ἀλλ' ὡς πρὸς γαμετὴν ἐγένετο.

Ἐὰν δὲ δωρεᾶς ἐν γάμῳ γενομένης συμβῇ συναποθανεῖν τὸν ἄνδρα, καὶ τὴν γυναῖκα, οὐχ ἕτερος ἐνάγει· ἐπειδὴ οὐδεὶς αὐτῶν ἐπέζησε τοῦ ἑτέρου.

## ΠΕΡΙ ΛΥΣΕΩΣ ΓΑΜΟΥ ΚΑΙ ΤΩΝ αἰτιῶν αὐτοῦ. Τίτλ. ιβ.

Ἐπειδὴ πολλὰς ἐν τοῖς παλαιοῖς νόμοις εὕρομεν αἰτίας, ἐξ ὧν εὐχερῶς αἱ τῶν γάμων διαλύσεις γίνονται, τούτου ἕνεκα συνείδομεν ἐκ τούτων παρελθεῖν ἡμᾶς, αἳ παρ' ἡμῖν ἀνάξιαι πρὸς τὸ διαλύειν τοὺς γάμους ἐφαίνοντο, καὶ ταύτας μόνον ὀνομαστὶ τῷ παρόντι ἐντάξαι νόμῳ, ὑπὲρ ὧν εὐλόγως τοὺς γάμους δίχα ποινῆς ἔξεστι διαλύειν. Διαλύεται ὁ γάμος κατὰ πρόφασιν ἀναγκαίαν τε καὶ οὐκ ἄλογον, ὅταν τις οὐχ οἷός τε εἴη συνεῖναι τῇ γυναικὶ, καὶ τὰ παρὰ τῆς φύσεως ἀνδράσι δεδομένα πράττειν, ἀλλὰ τριετία μὲν παραδράμῃ ἐκ τοῦ τῶν γάμων καιροῦ. ὁ δὲ, οὐ ταῖς ἀληθείαις ἐστὶν ἀνὴρ, οὐ δείκνυσι. πάρεστι γὰρ τῇ γυναικὶ, ἢ τοῖς γε αὐτῆς πατράσι, διαζευγνύναι τὸ συνοικέσιον, καὶ στεῖλαι διάλυσιν, κἂν εἰ μὴ βούλοιτο τοῦτο ὁ συνοικῶν. κἀνταῦθα ἡ μὲν προὶξ ἥτις ἐστὶν ὅλως ἐπιδεδομένη, ἀκολουθήσει τῇ γυναικὶ, καὶ ἀποδώσει ταύτην ὁ ἀνὴρ, εἴγε τύχοι λαβών· ἡ δὲ διὰ τὸν γάμον ἤτοι ἡ πρὸ τοῦ γάμου δωρεὰ, μένει παρὰ τῷ ἀνδρὶ, μηδὲν οἴκοθεν ζημιουμένῳ. Θεσπίζομεν καὶ τὸν ἐν αἰχμαλωσίᾳ διαλύεσθαι τοῦ γάμου, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἕως μὲν ἐστὶ φανερὸν περιεῖναι, ἢ

τὸν ἄνδρα, ἢ τὴν γαμετήν, μένειν ἄλυτα τὰ συνοικέσια συγχωροῦμεν, καὶ οὐκ ἐλεύσεται πρὸς δευτέρους γάμους, οὔτε γυνή, οὔτε ἀνήρ· εἰ μὴ βούλοιτο δοκεῖν κατὰ προπέτειαν τοῦτο πρᾶξαι, ἢ ὑποπεσεῖν ταῖς ποιναῖς· ὁ μὲν, τῆς τῆς προγάμου δωρεᾶς φαμὲν ἐκπέσει· ἡ δὲ τῆς τῆς προικός. εἰ δὲ ἄδηλον καθεστήκει πότερον περίεστιν, ἢ μὴ τὸ εἰς πολεμίους ἀφικνούμενον πρόσωπον, τηνικαῦτα πενταετίαν μενετέον, εἴτε τῷ ἀνδρί, εἴτε τῇ γυναικί. μεθ' ἣν εἴτε σαφῆ γένοιτο τὰ τῆς τελευτῆς, εἴτε ἄδηλα μένει, γαμεῖν ἔξεστιν ἀκινδύνως· καὶ οὐδεὶς ἐνταῦθα κερδαίνει, οὔτε ὁ ἀνὴρ τὴν προῖκα, οὔτε ἡ γυνὴ τὴν προγαμιαίαν δωρεάν, ἀλλ' ἕκαστος ἐπὶ τῶν οἰκείων μένει.

## ΝΕΑΡΑ ΤΟΥ ΚΑΙΣΑΡΟΣ ΛΕΟΝΤΟΣ.

Ἡ δὲ κ΄ νεαρὰ αὕτη, περὶ τοῦ μὴ ἐξεῖναι τὰς τῶν αἰχμαλώτων γυναῖκας φησὶν ἑτέροις συνάπτεσθαι· ἀλλ' ὅσοις ἂν δήποτε χρόνοις ἐν αἰχμαλωσίᾳ ᾖ ὁ ἐκεῖ ταλαιπωρούμενος, περιμένει τὸ ἕτερον πρόσωπον, κἂν μήτε ἔγγραφος δήλωσις, μήτε ἄγραφος ἐκεῖθεν καταλαμβάνῃ. Ὅτι καὶ μανίας ἐπιγινομένης ἑνὶ τῶν συνοικούντων, ὁ γάμος διαλύεται· ὡς ἐν τῷ περὶ συναινέσεως μνηστείας τίτλῳ, δηλοῦται πλατύτερον. Ἡ νεαρὰ τοῦ καίσαρος λέοντος, ἄδειαν δίδωσι τῷ ἀνδρὶ διασπᾶν τὸν μετὰ τῆς γυναικὸς αὐτοῦ γάμον, ἐξεπίτηδες ἀμβλωσκούσης τὴν ἐκείνου σποράν. Ὁ δὲ ιε΄ κανὼν τοῦ Τιμοθέου Ἀλεξανδρείας, ὁ δαιμονῶσαν ἔχων φησὶ γυναῖκα, εἰ ἄλλην λήψεται, μοιχᾶται. Ἐλεγχθέντος τινὸς ὡς ἀπεκάρη, καὶ τὸ ἱερὸν ἀποθέμενος σχῆμα εἰς γάμον ἦλθε, διελύθη ὁ γάμος, καὶ οἱ τοῦτον συναινέσαντες, καὶ τὸν γάμον συνειδότες, ἐτιμωρήθησαν. Ὅταν ἄσκησιν θάτερον ἕληται τῶν μερῶν, πρὸς τὴν ἐπὶ τὰ κρείττω μεταβαῖνον ὁδόν, καὶ τὸν ἐν ἁγνείᾳ βίον αἱρούμενον, τηνικαῦτα κελεύομεν παῤῥησίαν εἶναι καὶ ἀνδρὶ, καὶ γυναικὶ πρὸς τὰ καλλίω μεθισταμένῳ

μένω, διαλύειν τὸ συνοικέσιον, καὶ ἀναχωρεῖν μετά τινος βραχείας ἀπολελειμμένης τῆς καταλελειμμένης παραμυθίας, ὅπως ἂν συμφωνήσειαν οἱ συμβάλλοντες, ἀλλὰ πλούτου κινεῖσθαι κέρδος. τοῦτο ἔχειν δεῖ τὸν καταλελειμμένον παρὰ θατέρου· εἴτε ἀνὴρ· εἴτε γυνὴ καθεστήκει. διότι καὶ οὗτος τόγε ἐπὶ τῆς συνοικήσεως, δοκεῖ πλουτεῖν, ἑτέραν αὖθ' ἑτέρας βίου πορεί-αν ἑλόμενος. Ἐὰν ἐν τῷ καιρῷ τοῦ γάμου διαπεπαρθενωμένην εὕρῃ, ἣν ὡς παρθένον ὁ ἀνὴρ ταύτης ἠγάγετο, καὶ δείξῃ τοῦτο παραυτίκα δι' ἐναργοῦς ἀποδείξεως, διαλύεσθαι τὸ τοιοῦτον τὸν γάμον ὁ πατρίκιος ἔλεγε, μὴ κατακρινομένης τῆς γυναικὸς ἐπὶ μοιχείᾳ· διὰ τὸ πρὸ τοῦ γάμου πεπλημμεληκέναι τὸ ἁμάρτημα. Εἰ συνεστῶτος τοῦ γάμου ὁ ἀνὴρ μόνος, ἢ γυνὴ μόνη εἰς μοναστήριον εἰσέλθοι, διαλυέσθω ὁ γάμος δίχα διαζυγίου· μετὰ μέντοι τὸ πρόσωπον τὸ εἰσερχόμενον εἰς μοναστήριον τὸ σχῆμα λάβοι. καὶ εἰ μὲν ὁ ἀνὴρ τὸν μοναχικὸν ἐπιλέξεται βίον, ἀποκαθιστάτω τῇ γυναικὶ καὶ τὴν προῖκα, καὶ εἴ τι ἄλλο ἀπ' αὐτῆς ἔλαβε, καὶ πρὸς τούτοις ἐκ τῆς γαμικῆς δωρεᾶς τοσοῦτον, ὅσον μέρος ἐκ τῆς πλούτου τοῦ ἀνδρὸς ἥρμοζε τῇ γυναικὶ, κατὰ τὸ σύμφωνον τὸ τοῖς προικώοις συμβολαίοις ἐμφερόμενον. εἰ δὲ γυνὴ εἴη εἰς τὸ μοναστήριον εἰσελθοῦσα, τὸν ὅμοιον τρόπον παρακρατείτω ὁ ἀνὴρ τὴν γαμικὴν δωρεὰν, καὶ τὴν κέρδον τῆς προικὸς, τὸν ἀπὸ τῆς πλούτου τῆς γυναικὸς συμφωνηθέντα, καὶ τὸ λοιπὸν τῆς προικὸς τῇ γυναικὶ ἀποκαθιστᾶν παρακελευόμεθα, καὶ εἴ τι ἄλλο ἐκ τῶν πραγμάτων τῆς γυναικὸς παρ' αὐτῷ εὑρεθείη. ἀμφοτέρων δὲ τὸν μοναχικὸν βίον ἐπανῃρημένων, κελεύομεν ἀργούντων τῶν προικιμαίων συμφώνων, τὸν ἄνδρα παρακρατεῖν τὴν γαμικὴν δωρεὰν, καὶ τὴν γυναῖκα τὴν ἰδίαν λαμβάνειν προῖκα, καὶ εἴ τι ἄλλο τῷ ἀνδρὶ δεδωκέναι δειχθῇ, ἵνα εἷς ἕκαστος δίχα ζημίας τῶν ἰδίων ἀπολαύσῃ πραγμάτων· εἰ μὴ ὡς εἰκὸς ὁ μνηστὴρ τῇ μνη-

στῆ,

στῆ, ἢ ἡ μνηστὴ τῷ μνηστῆρι, ἢ ὁ ἀνὴρ τῇ γυναικὶ, ἢ ἡ γυνὴ τῷ ἀνδρὶ δωρήσασθαί τι, ἢ συγχωρῆσαι βουληθείη. ἐπειδὴ δὲ καὶ κατὰ συναίνεσιν, ἢ κατὰ σωφροσύνην ἐλύετο ὁ γάμος, θεσπίζομεν μὴ ἄλλως πως ἢ παρθενθὺ τὰ ἑκάτερα μέρη προσδέχεσθαι τῷ μονήρει βίῳ· ἀζημίων δηλονότι φυλαττομένων αὐτῶν. Ἡ ὕστερον ἐπιφανεῖσα δουλεία, διαλύει τὸν γάμον, καὶ διαζευγνύει αὐτοὺς ἀπ' ἀλλήλων, ὡσανεὶ τελευτῆς ἐπακολουθησάσης.

ΑἹ ΑἸΤΙΑΙ ΤΗΣ ΔΙΑΛΥΣΕΩΣ ΤΗΣ ΓΥΝΑΙΚΟΣ.

Τὰς αἰτίας ἐξ ὧν ὁ ἀνὴρ χωριζόμενος, τὴν προῖκα τῆς γυναικὸς ἀποκερδαίνειν δύναται, φυλαττομένης τῆς ἐπ' αὐτῇ δεσποτείας, τοῖς ἐκ τοῦ αὐτοῦ γάμου παισὶν, ἢ παίδων οὐκ ὄντων ἀπολαύειν αὐτὸν καὶ τῆς δεσποτείας, ταύτας εἶναι διατυποῦμεν. Εἰ κατὰ τῆς βασιλείας βουλευομένοις τισὶ, σύνοιδεν ἡ γυνὴ, καὶ τῷ ἰδίῳ ἀνδρὶ μὴ φανερώσει· εἰ δὲ καὶ ὁ ἀνὴρ τοῦτο παρὰ τῆς γυναικὸς προσαγγελθεὶς σιωπήσει, ἔξεστι τῇ γυναικὶ δι' οἱουδήποτε προσώπου τοῦτο προσαγγέλειν τῇ βασιλείᾳ· ὥστε τὸν ἄνδρα μηδεμίαν ἐκ ταύτης τῆς αἰτίας, λύσεως γάμου εὑρεῖν πρόφασιν. Εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσει δύνασθαι τὴν ἑαυτοῦ γυναῖκα ἐλεγχθῆναι, προσήκει τὸν ἄνδρα πρότερον ἐγγράφεσθαι τὴν γυναῖκα, ἢ καὶ τὸν μοιχόν· καὶ εἴπερ ἡ τοιαύτη κατηγορία ἀληθὴς ἀποδειχθῇ, τηνικαῦτα χωρισμοῦ γενομένου, ἔχειν τὸν ἄνδρα πρὸς τῇ προγάμου δωρεᾷ, καὶ τὴν προῖκα. καὶ πρὸς τούτοις εἰ παῖδας μὴ ἔχει, τὸ τρίτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ τρίτον μέρος εἶναι γινώσκεται· ὥστε τῇ αὐτοῦ δεσποτείᾳ καὶ τὴν προῖκα, καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι. εἰ γὰρ παῖδας ἔχει ἐκ τοῦ αὐτοῦ συνοικεσίου, κελεύομεν καὶ τὴν προῖκα, καὶ τὴν ἄλλην γυναικὸς περιουσίαν, κατὰ τοὺς ἔμπροσθεν ὡρισμένους νόμους, τοῖς παισὶ φυλάττεσθαι,

καὶ οὕτω τὸν μοιχὸν νομίμως ἐλεγχόμενον, ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι. καὶ εἰ μὲν ἔχει ὁ μοιχὸς γυναῖκα, λαμβάνειν αὐτὴν τὴν ἰδίαν προῖκα, καὶ τὴν διὰ τοῦ γάμου δωρεάν· ὥστε εἰ παῖδας ἔχοιεν, μόνης τὴν γυναῖκα τῆς χρήσεως ἀπολαύειν τῆς δωρεᾶς, τῆς δεσποτείας κατὰ νόμους, τοῖς παισὶ φυλαττομένης. τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν, τοῖς αὐτοῦ παισὶ δωρούμεθα, παίδων δὲ ἀπόντων, τὴν μὲν τῆς προγαμιαίας δωρεᾶς δεσποτείαν, τῇ γυναικὶ διαφέρειν θεσπίζομεν· τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς πᾶσαν περιουσίαν, τῷ φίσκῳ κατὰ τοὺς παλαιοὺς προσκυροῦσθαι νόμους. Ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ, τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπιβουλεύσῃ, ἢ ἄλλοις τοῦτο ποιοῦσι συνειδυῖα, τῷ ἀνδρὶ μὴ φανερώσῃ. Ἐὰν ἀνδράσι μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξωτικοῖς συμποσιάζῃ, ἢ συλλούηται. Ἐὰν μὴ βουλομένου τοῦ ἀνδρὸς ἔξω τοῦ οἴκου μείνῃ, εἰ μήτοι γε τυχὸν παρὰ τοῖς γονεῦσιν. Ἐὰν ἱππικοῖς, ἢ θεάτροις, ἢ κυνηγίοις παραγίνηται ἕνεκα τοῦ θεωρῆσαι, ἀγνοοῦντος ἢ κωλύοντος τοῦ ἀνδρός. Ἐὰν δὲ συμβῇ τινὰ δίχα μιᾶς τῶν προειρημένων αἰτιῶν τὴν ἑαυτοῦ γυναῖκα τοῦ ἰδίου οἴκου ἐξωθῆσαι, ὥστε ἐκείνην μὴ ἔχουσαν γονεῖς πρὸς οὓς δύναται μένειν, ἐξ ἀνάγκης ἔξω τὴν νύκτα διάγειν· κελεύομεν μηδεμίαν εἶναι τῷ ἀνδρὶ ἄδειαν, ἀλλὰ ταύτην τὴν αἰτίαν χωρισθῆναι τῆς γυναικὸς, διότι περ αὐτὸς τούτου αἴτιος γέγονεν.

## ΑἹ ΑἸΤΙ͂ΑΙ ΤΟΥ͂ ἈΝΔΡΟ͂Σ.

Τὰς αἰτίας δι᾽ ὧν εὐλόγως δύναται ἡ γυνὴ τοῦ ἀνδρὸς χωρισθῆναι, καὶ ἐξ ὧν δύναται τὴν προῖκα λαμβάνειν, καὶ τὴν διὰ τοῦ γάμου ἀπαιτεῖν δωρεάν· ὁμοίως τοῖς παισὶ διαφυλαχθησομένης τῆς ἐπὶ τῇ δωρεᾷ δεσποτείας, ἢ παίδων μὴ ὄντων ἔχειν, καὶ τὴν ταύτης δεσποτείαν, ταύτας εἶναι διατυποῦμεν. Ἐὰν κατὰ τῆς βασιλείας ἢ αὐτὸς βούληταί τι, ἢ τοῦτο τισὶ βουλομένοις συνειδὼς, μὴ φανερώσῃ τῇ βασιλείᾳ, ἢ δι᾽ αὐτοῦ ἢ οἵου

δήποτε

δήποτε προσώπου. Ἐὰν οἱῳ δήποτε τρόπῳ ὁ ἀνὴρ ἐπιβουλεύσῃ τῇ ζωῇ τῆς γυναικὸς, ἢ ἄλλων τινῶν βουλομένων εἰδὼς, μὴ φανερώσῃ τῇ γυναικὶ, καὶ σπουδάσῃ κατὰ τοὺς νόμους ἐκδικῆσαι τὴν κατὰ τῆς γυναικὸς αὐτοῦ ἐπιβουλήν. Ἐὰν ὁ ἀνὴρ τῇ τῆς γυναικὸς σωφροσύνῃ ἐπιβουλεύων, ἄλλοις ταύτην εἰς τὸ μοιχευθῆναι ἐπιχειρήσῃ προδοῦναι. Ἐὰν ὁ ἀνὴρ περὶ μοιχείας τῆς αὐτοῦ γυναικὸς ἐγκαλέσηται· καὶ τὴν μοιχείαν μὴ ἀποδείξῃ, ἐξεῖναι τῇ γυναικὶ βουλομένῃ, καὶ ὑπὲρ ταύτης τῆς αἰτίας χωρίζεσθαι τοῦ ἀνδρὸς, καὶ ἀπολαμβάνειν μὲν τὴν ἰδίαν προῖκα· κομίζεσθαι δὲ καὶ ἐκ πάσης τῆς οὐσίας τοῦ ἀνδρὸς αὐτῆς, καὶ τὴν προγαμιαίαν δωρεὰν, καὶ ὑπὲρ ταύτης τῆς συκοφαντίας. εἰ παῖδας μὴ ἔχοι ἐκ τοῦ αὐτοῦ συνοικεσίου, τοσοῦτον λαμβάνειν αὐτὴν ἐκ τῆς ἄλλης τῆς περιουσίας μετὰ τὴν ἱκάνωσιν τῆς τε προικὸς αὐτῆς, καὶ τῆς προγάμου δωρεᾶς, τοῦ ἀνδρὸς περιουσίας· ὅσον τῆς προγαμιαίας δωρεᾶς, τὸ τρίτον μέρος εἶναι γινώσκεται. εἰ γὰρ παῖδας ἔχει, κελεύομεν πᾶσαν τὴν τοῦ ἀνδρὸς περιουσίαν τοῖς παισὶ φυλάττεσθαι, βεβαίων μενόντων τῶν περὶ τῆς προγαμιαίας δωρεᾶς, τῶν τοῖς ἄλλοις περιεχομένων νόμοις. οὕτω μέντοι γε, ὥστε διὰ τὴν ἐπαχθεῖσαν τῆς μοιχείας κατηγορίαν, καὶ μὴ ἀποδειχθεῖσαν, κἀκεῖνον τὸν ἄνδρα ταῖς τιμωρίαις ὑποβληθῆναι· αἷς ἔμελλεν ὑπομένειν ἡ γυνὴ, εἴπερ ἂν ἡ τοιαύτη ἀπεδείχθη κατηγορία.

## ΤΑ' ΑΥΤΑ.

Ἐὰν ὁ ἀνὴρ ἐν τῷ αὐτῷ οἴκῳ καθ' ὃν μετὰ τῆς γυναικὸς αὐτοῦ συνοικεῖ, περιφρονῶν αὐτὴν μεθ' ἑτέρας εὑρίσκηται ἐν τῷ αὐτῷ οἴκῳ μένων, ἢ κατὰ τὴν αὐτὴν πόλιν διάγων, ἐν ἑτέρῳ οἴκῳ μετὰ ἄλλης γυναικὸς συνεχῶς μένων ἐλέγχηται, καὶ ἅπαξ, καὶ δὶς ἐγκληθεὶς, ἢ διὰ τῶν ἑαυτοῦ γονέων, ἢ διὰ τῶν τῆς γυναικὸς, ἢ δι' ἑτέρων τινῶν ἀξιοπίστων μαρτύρων, τῆς τοιαύτης ἀσελγίας μὴ ἀπέχηται, ἐξεῖναι τῇ γυναικὶ, καὶ ὑπὲρ

ταύτης τῆς αἰτίας διαλύειν τὸν γάμον, καὶ ἀναλαμβάνειν τὴν δεδομένην προῖκα, καὶ τὴν προγάμου δωρεάν, καὶ ὑπὲρ ταύτης τῆς ὕβρεως, τρίτον μέρος τῆς διατιμήσεως ἣν ἡ πρὸ γάμου δωρεὰ ποιεῖ, ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας λαμβάνειν. οὕτω μέντοι γε, ὥστε εἰ παῖδας ἔχει, τῆς χρήσεως μόνης ἀπολαύειν τὴν γυναῖκα τῶν πραγμάτων, ἅπερ ἐκ τῆς προγαμιαίας δωρεᾶς, καὶ τῆς τιμῆς τοῦ τρίτου μέρους τῆς τοῦ ἀνδρὸς περιουσίας ἀπολαύοι, τῆς δεσποτείας τοῖς κοινοῖς παισὶ φυλαττομένης. εἰ δὲ παῖδας μὴ ἔχει ἐκ τοῦ αὐτοῦ συνοικεσίου, ἔχειν αὐτὴν τῶν τοιούτων πραγμάτων, καὶ τὴν δεσποτείαν κελεύομεν. Εἰ δέ τις τὴν ἰδίαν γαμετὴν μάστιξιν, ἢ ξύλοις τυπτήσει, χωρὶς τινὸς τῶν αἰτιῶν, αἳ κατὰ τῶν γυναικῶν πρὸς τὴν τοῦ γάμου διάλυσιν ἀρκεῖν παρεκελευσάμεθα, γάμου μὲν διάλυσιν ἐκ τούτου γίνεσθαι οὐ βουλόμεθα. τὸν δὲ ἄνδρα τὸν δεικνύμενον χωρὶς τῆς τοιαύτης αἰτίας, μάστιξιν ἢ ξύλοις τυπτῆσαι τὴν ἑαυτοῦ γαμετήν, τοσοῦτον ὑπὲρ τῆς τοιαύτης ὕβρεως ἐκ τῆς ἄλλης αὐτοῦ περιουσίας, τῆς μετὰ τὴν ὑπεξαίρεσιν δηλονότι προικὸς τῆς αὐτοῦ γαμετῆς· διδόναι τῇ γυναικὶ καὶ συνεστῶτος τοῦ γάμου· ὅσον ὁ τρίτον τῆς προγάμου, ἤτοι τοῦ ἀντιβόλου ποιεῖ δωρεᾶς. Εἴτε στρατιῶται εἰσιν, εἴτε φοιδεράτοι, ἤτοι ὑπασπισταί, εἴτε σχολάριοι, εἴτε ἄλλοι τινές, ὑφ' ἑτέραν οἱανοῦν στρατείαν ἔνοπλον καταλεγόμενοι, κελεύομεν ὅσους δήποτε χρόνους ἐν ἐξπεδίτῳ μένωσιν, ἤγουν ἐν δημοτελεῖ κατασκευάσματι, περιμένειν τὰς τούτων γαμετάς, κἂν μὴ γράμματα, ἢ ἀπόκρισιν τινὰ παρὰ τῶν ἰδίων ἀνδρῶν δέξωνται. εἰ δέ τις ἐκ τῶν τοιούτων γυναικῶν τὸν ἴδιον ἄνδρα ἀκούσει τετελευτηκέναι, οὐδὲ τότε εἰς ἑτέρους ἐλθεῖν γάμους κελεύομεν· εἰ μὴ πρότερον παραγένηται ἡ γυνή, ἢ δι' ἑαυτῆς, ἢ διὰ τῶν ἰδίων γονέων, ἢ δι' ἄλλου οἱουδήποτε προσώπου πρὸς τοὺς χαρτουλαρίους, καὶ λιγαταρίους, καὶ

τε-

τριβούνους τὸν ἀριθμὸν, ἐν ᾧ ταύτης ὁ ἀνὴρ ἐστρατεύετο· καὶ ἐρωτήσει εἰ ταῖς ἀληθείαις ἐτελεύτησεν ὁ αὐτῇ συνοικήσας, ὥστε ἐκείνους τῶν ἁγίων εὐαγγελίων προκειμένων, ὑπὲρ πράξεως ὑπομνημάτων καταθέσθαι, εἰ ταῖς ἀληθείαις ὁ ἀνὴρ τετελεύτηκεν αὐτῆς, καὶ μετὰ ταῦτα πρᾶξει, καὶ ὑπὲρ ὑπομνημάτων ἀναληφθέντων ἡ γυνὴ ὑπὲρ τῆς ἰδίας μαρτυρίας ἐκλάβοι, μετὰ ταῦτα κελεύομεν μένειν αὐτὴν ἐνιαυτὸν διάστημα· ὥστε μετὰ τὴν αὐτοῦ παραδρομὴν ἐξεῖναι τῇ αὐτῇ νομίμως συναλλάττειν γάμον. εἰ δὲ παρὰ ταύτην τὴν παρατήρησιν ἡ γυνὴ τολμήσει εἰς ἕτερον ἐλθεῖν γάμον, καὶ αὐτὴ καὶ ὁ ἀγόμενος αὐτὴν, ὡς μοιχοὶ τιμωρείσθωσαν. εἰ δὲ οἱ ὑπὲρ πράξεως ὑπομνημάτων μεθ᾽ ὅρκου καταθέμενοι, μεταταῦτα εὑρεθεῖεν πλαστῶς καταθέμενοι, αὐτοὶ μὲν τῆς στρατείας γυμνούμενοι, δέκα χρυσίου λίτρας ποινὴν συνελαθήσονται καταβαλεῖν ἐπ᾽ ἐκεῖνον, ὃν ἐψεύσαντο τετελευτηκέναι· αὐτῷ δὲ ἄδειαν ἐχέτω εἰ βουληθείη τὴν ἰδίαν γαμετὴν ἀναλαμβάνειν.

τέλος τοῦ τετάρτου.

# ΠΕΡΙ ΔΙΑΘΗΚΩ͂Ν ΚΑΙ ἘΠΙΤΡΟ΄ΠΩΝ. ΒΙΒΛΙ΄ΟΝ Ε΄.

## ΠΕΡΙ ΔΙΑΘΗ΄ΚΗΣ ἈΥΤΕΞΟΥΣΙ΄ΩΝ τίτλ. α΄.

Διαθήκη ἐστὶ, δικαία βούλησις, ὧν τις ἐθέλει μετὰ θάνατον αὐτοῦ γενέσθαι.

Ὁ διατιθέμενος ὀφείλει τὸν νοῦν, ὑγιῆ καὶ τὸ σῶμα ἐρρῶσθαι. Ὁ ἄρρην πληρώσας τὰ ιδ΄ ἔτη, διατίθεται· ἡ δὲ θήλεια, τὰ ιβ΄. Αἱ διαθῆκαι, ἐκ τριῶν νομίμων τὴν σύστασιν ἔχουσιν, ἐκ τοῦ πολιτικοῦ, ἐκ τῶν διατάξεων, ἐκ τοῦ πραίτωρος· ἐκ μὲν γὰρ τοῦ πολιτικοῦ κατέχεται τὸ παρόντων μαρτύρων μιᾷ ὑφῇ συναπτῶς, τὴν διαθήκην πληροῦσθαι. ἐκ δὲ τῶν διατάξεων, αἱ τοῦ διατιθεμένου καὶ τῶν μαρτύρων ὑπογραφαί. ἐκ δὲ τοῦ πραίτωρος, αἱ σφαγῖδες καὶ ὁ τῶν μαρτύρων ἀριθμός. πᾶσα δὲ ἡ τοιαύτη παραφυλακή, διὰ τὸ κακουργίας πάσης ἀπαλλάξαι τὴν τῶν διαθηκῶν ποίησιν, καὶ παντὸς αὐτὰς καθαρεύειν δόλου, προστέθειται· ὥστε τὸν διατιθέμενον, οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα δηλῶσαι γράφοντα, ὅτι τόνδε ἐνεστησάμην κληρονόμον. τούτου δὲ αὐτοῦ μὴ ποιοῦντος, ἀνάγκη τοῖς μάρτυσι λέγεσθαι τὸ τοῦ κληρονόμου ὄνομα. ἐπεὶ δὲ εἰρήκαμεν τοὺς μάρτυρας, χρῆναι σφαγῖδας ἐπιτιθέναι, ὀφείλεις εἰδέναι, ὅτι ἐνὶ δακτυλίῳ δύνανται σφαγίζειν τὴν διαθήκην, καὶ ἐν νυκτὶ σφαγίζεται, καὶ ὑπογράφεται διαθήκη.

πάσῃ δὲ τῇ τοιαύτῃ παραφυλακῇ ρ.

ΝΕΑΡΑ΄ ΤΟΥ͂ ΚΑ΄ΙΣΑΡΟΣ ΛΕ΄ΟΝΤΟΣ.

Ὡς εἴπερ μόνον οἱ μαρτυροῦντες φασὶν οἰκείαν τοῦ ἀνθρώπου τὴν διαθήκην, οὐδὲν πλέον ἀπαιτεῖσθαι αὐτήν, ἀλλὰ βεβαίαν εἶναι, καὶ μὴ μόνον εἰ αἱ σφαγῖδες ἐνδέχεται ἐπικεῖσθαι,

θαι, δηλ' εἰ καὶ τῶν μαρτύρων αἱ ὑπογραφαὶ μετὰ τῶν σφραγίδων ἐλλείπωσιν. ΤΟΥ ΑΥΤΟΥ.

Περὶ τῆς ἀσφραγίστου διαθήκης παρὰ τῷ ἄρχοντι, φησίν, ὥστε καὶ ἐκ μόνης τῆς ἐκ μαρτύρων ὑπογραφῆς, μὴ στερίσκεσθαι πίστεως. Ὁ γραφεὺς τῆς διαθήκης καλῶς ἐν αὐτῇ μαρτυρεῖ. Ὁ καταδικασθεὶς ἐπὶ μοιχείᾳ, οὐ μαρτυρεῖ ἐν διαθήκῃ· καὶ ἐὰν ἐν διαθήκῃ ὑπογράψῃ, ἄκυρος ἐστὶν ἡ διαθήκη. τοῦτο δὲ γίνεται ἐὰν ἐγνωσμένος οὗτος ἦν ὅτι ὑπέγραψεν ἐπὶ ταύτῃ τῇ καταδίκῃ καὶ μὴ λανθάνων· εἰ δὲ λανθάνων, οὐκ ἀκυροῖ τὴν διαθήκην. Ὁ ἐν ἀσθενείᾳ σώματος παραφονήσας, οὐ διατίθεται ἐν τῇ παραφονήσει, ἐν τοῖς διαλείμμασι δέ. Ἐάν τις πολλὰ εἰπὼν, βουλόμενος δὲ καὶ ἕτερα εἰπεῖν διακοπῇ τὴν φωνὴν, οὐ δὲ τὰ προεκπεφωνημένα ἔρρωταί εἰσιν. Ὁ κωφὸς καὶ ἄλαλος, οὐκ ἀεὶ διατίθεται· ἡ δὲ προγινομένη ἔρρωται. ΣΧΟΛ. Λέγομεν καὶ περὶ κωφοῦ, τοῦ παντελῶς μὴ ὑπακούοντος. οὐ μὴν τοῦ βραδέως ἀκούοντος, αὐτὸς γὰρ διατίθεται· καὶ ἄλαλον πάλιν φαμὲν, οὐ τὸν βραδέως λαλοῦντα, ἀλλὰ τὸν παντελῶς μὴ λαλοῦντα. τὸ δὲ οὐκ ἀεὶ πρόσκειται, ὅτι πολλάκις τις εἰδὼς γράμματα καὶ πεπαιδευμένος, συμφορᾶς ἐπιγινομένης, τῆς ἀκοῆς, ἢ τῆς γλώττης ἐστερήθη· δύναται δὲ οὗτος αὐτὸς διατίθεσθαι. εἰ δέ τις διαθέμενος νόσου συμβάσης, ἢ ἐκ τιμωρείας ἀρχοντικῆς, ἢ ἐξ ἄλλης οἱασδήποτε περιστάσεως, ἄλαλος καὶ κωφὸς γένοιτο, ἡ προγινομένη διαθήκη τὴν ἰδίαν ἰσχὺν ἔχει. Οἱ πλανώμενοι ἢ ἀμφιβάλλοντες, περὶ τὴν ἑαυτῶν κατάστασιν, οὐ διατίθενται. Ὁ περιοεισθεὶς, οὐ διατίθεται, ὅτε ἡ προγινομένη ἰσχύει. τὰ αὐτὰ καὶ ἐπὶ τῶν μεταλλιζομένων, καὶ τῶν ξίφει ἢ θηρίοις ὑποβληθῆναι καταδικαζομένων· τοῦ δὲ ἐξορείσου, καὶ τοῦ ἐν φυλακῇ πρὸ τῆς καταδίκης τελευτήσαντος, καὶ τοῦ χειροκοτηθέντος, ἔρρωται ἡ διαθήκη. Ὁ ἄπαις, οὐ διατίθεται, ὅτε

μαρτυ-

μαρτυρεῖ ἐν διαθήκῃ, ὅτι ὁ διὰ φλυαρίαν καταδικασθείς. ΣΧΟΛ. Εἰ γὰρ τῶν οἰκείων πραγμάτων ἡ διοίκησις ἀπηγόρευται, οὐδαμῶς ὁ νόμος συγχωρεῖ διατίθεσθαι· πλὴν εἰ μήπω ἐπιστάντος αὐτοῦ τοῦ θανάτου, ὑπὲρ ψυχικῆς αὐτοῦ σωτηρίας τινὰ γενέσθαι διωρίσατο· ἐπ' ἐκείνῳ γὰρ καὶ μόνῳ τὴν βούλησιν αὐτοῦ, ἰσχὺν ἔχειν δικαιοῦμεν. ἡ δὲ πρὸ τῆς ἀσωτίας γενομένη· τουτέστι πρὶν ἡ διοίκησις αὐτοῦ τῶν πραγμάτων ἀπαγορευθῇ, βεβαία μένει· εἰ μέντοι γε ἤδη μετάνοιαν ἔλθοι, καὶ κατάγνωσιν τοῦ ἀσώτου βίου, καὶ οὕτω διατίθεται.

Ἡ ἐν αἰχμαλωσίᾳ γενομένη διαθήκη, οὐκ ἔρρωται· κἂν ὑποστρέψῃ ὁ αἰχμάλωτος. ΣΧΟΛ. Ὅ δέ φασι τὰ τρία ταῦτα κεφάλαια, τουτέστιν, ὁ παρὰ τοῖς πολεμίοις ὢν οὐ καλῶς ἐν αὐτοῖς διατίθεται, καὶ εἰ συμβῇ ὕστερον εἰς τὴν ἡμετέραν ἐλθεῖν πολιτείαν· τὴν δέ γε παρ' ἡμῖν γενομένην διαθήκην, ἐρρῶσθαι· κἂν ὁ διαθέμενος μετὰ ταῦτα γένηται αἰχμάλωτος, εἴτε μὴ ὑποστρέψει ἐκ τῆς τοιαύτης αἰχμαλωσίας ἡ τοιαύτη διαθήκη τὸ βέβαιον ἔχει· εἴτε παρὰ τοῖς πολεμίοις τελευτήσει. Ἡ τοῦ αἰχμαλώτου διαθήκη, ὡς ἂν εἰ μὴ γέγονεν αἰχμάλωτος, ἔρρωται. τῶν αἰχμαλώτων αἱ διαθῆκαι, εἰ καὶ γίνονται ἄκυροι, ὅμως εἴτε ὑποστρέψουσι βεβαιοῦνται διὰ τοῦ δικαίου τῆς ὑποστροφῆς, εἴτε τελευτήσουσιν ἐκεῖ διὰ τοῦ νόμου βεβαιοῦνται. ΝΕΑΡΑ. Καὶ ἡ καινὴ νεαρὰ τοῦ καίσαρος Λέοντος, περὶ τοῦ ἐξεῖναι φησὶ τοὺς αἰχμαλώτους διατίθεσθαι, καὶ ἐγγράφως, καὶ ἀγράφως παρουσίᾳ ε΄, ἢ τριῶν μαρτύρων, καὶ στέργειν τὰ παρ' αὐτῶν διατιθέμενα· εἰ μή τις τὰ αὐτοῦ πράγματα ἑκὼν ἢ ἄκων βιασθεὶς πρὸς τοὺς πολεμίους χωρεῖν, διάθοιτο· τότε γὰρ οὐδαμῶς τὰ δεδογμένα βέβαια ἔσται. Ἄδειαν ἐχέτω ὁ τυφλὸς, εἴτε ἐκ γενετῆς, ἢ ἀπὸ νόσου, ἄγραφον διαθήκην ποιεῖν, ἑπτὰ ἢ ε΄ μάρτυρας συγκαλῶν, καὶ λέγων τὸν κληρονόμον μετὰ σημεί-

τον διὰ τὸ μὴ πλανηθῆναι.

ΠΕΡΙ ΜΥΣΤΙΚΗΣ ΔΙΑΘΗΚΗΣ.

Διαθήκη μυστικὴ οὐ στέργεται, εἰ μὴ δι᾽ οἰκείας ὑπογραφῆς βεβαιώσει αὐτὴν ὁ διαταξάμενος· διὰ τοῦτο οὔτε γυναῖκες, οὔτε ἀγράμματοι μυστικῶς διατίθενται. Ἔοικεν ὁ νόμος ἐνταῦθα τῷ παλαιῷ ἔθει ἀκολουθεῖν, καθ᾽ ὃν οὐδεμιᾷ γυναικὶ ἐνδεδομένον ἦν ἐν γράμμασι ὑπογράφειν, καὶ οὓς βούλονται χάρτας δι᾽ ὑπογραφῶν βεβαιοῦν.

ΝΕΑΡΑ ΤΟΥ ΑΥΤΟΥ. ΠΕΡΙ ΤΟΥ ΔΙΑΤΙΘΕΣΘΑΙ τυφλοῖς, καὶ ἀγραμμάτοις, καὶ γυναιξίν.

Οὕτω φησὶ ταῖς μυστικαῖς διατυπώσεσιν ἄντε τυφλῶν ἄντε ἑτέρων ὦσι προσώπων, προσεῖναι θεσπίζομεν σύστασιν, καὶ τοῦτο προσεπιθεσπίζοντες, ὡς παρὰ τῶν μαρτύρων ἐνόρκιον † ἐκθέσθαι ὑπογραφήν, καὶ τὰς διατάξεις γραφόντων, ὡς εἴησαν ἀληθῶς ἐκεῖνα γράψαντες, ἅπερ ἀκηκόεσαν αὐτοῦ ἐκείνης ἀποφθεγξαμένης, τῆς τοῦ διατιθεμένου γλώττης. † γρ. ἐγκεῖσθαι Ἐὰν διατίθηται ὑπεξούσιος, ἢ αὔηβος, ἢ δοῦλος, οὐκ ἐρρῶται· κἂν ὁ μὲν αὐτεξούσιος ἀποθάνῃ, ὁ δὲ ἔφηβος, ὁ δὲ ἐλεύθερος. Εἰ καὶ κοινὰ ἔχουσι τὰ πράγματα οἱ ἀδελφοί, ὅμως οὐδεὶς αὐτῶν κωλύεται διατίθεσθαι, εἰς ὃν βούλεται· οὐδὲ ἐμποδίζονται διὰ τὸ ἀδιαίρετα εἶναι τὰ πράγματα.

ΠΕΡΙ ΜΥΣΤΙΚΗΣ διαθήκης ὡς ἔοικε ταῦτα.

Εἴ τις γράμματα ἰδισάμενος μεταξὺ τῶν ἑαυτοῦ παίδων, βούλοιτο ποιῆσαι διατύπωσιν, πρῶτον μὲν αὐτοῖς προγράφειν τὸν χρόνον· εἶτα καὶ τὰ τῶν παίδων ὀνόματα, οἰκείᾳ χειρί, καὶ πρός γε τοὺς οὐγγιασμοὺς εἰς οὓς γράφει κληρονόμους αὐτούς, μὴ τοῖς συμβόλοις τὸν ἀριθμὸν σημαινομένους, ἀλλὰ δι᾽ ὅλων γραμμάτων δηλουμένους, ὥστε πανταχόθεν σαφεῖς τε καὶ ἀναμφισβητήτους καθεστάναι. καὶ εἴγε καὶ πραγμάτων βούλοιτο ποιήσασθαι διαίρεσιν, ἢ ποσὶ πράγμασιν ἐκτοῖς, ἢ πά-

σας, ἢ τινὰς τῶν ἐνστάσεων ποιήσεται, καὶ τὰ τούτων ἐγγρα-
φέτω γνωρίσματα, ὥστε τοῖς αὐτοῖς γράμμασι πάντα δη-
λούμενα, μηδεμίαν ἔτι φιλονεικίαν τοῖς παισὶ καταλιμπάνειν.
εἰ μήτοι γε ἢ τῇ γαμετῇ, ἢ ἐξωτικοῖς προσώποις βούλεται κατα-
λιπεῖν λεγάτα, ἢ φιδεικόμισσα, ἢ καὶ ἐλευθερίας, καὶ ταῦ-
τα οἰκείᾳ χειρὶ λεγόμενά τε παρὰ τῶν διατιθεμένων ἐνώπιον τῶν
μαρτύρων, ὡς ἅπαντα ἐφεξῆς τὰ ἐν διατυπώσει κείμενα, αὐ-
τοὶ καὶ ἔγραψαν, καὶ βούλονται κρατεῖν, ἔστω ἰσχυρά· μηδὲν ἐ-
λαττούμενα ἐκ τοῦ δοκεῖν ἐν χάρτῃ γράφεσθαι, τὴν λοιπὴν πα-
ρατήρησιν τῶν διαθηκῶν μὴ δεξάμενα, ἀλλὰ τοῦτο μόνον δια-
ταττέτω διὰ τὴν αὐτοῦ δεξιάν τε καὶ γλῶτταν ἔχειν, τὴν ἅπασαν
ἰσχὺν τοῦ χάρτου παρεχομένην. καὶ ἕως μέχρι τελευτῆς μένοι
τοῦτο τὸ σχῆμα, οὐδεὶς ὕστερον παρέξει μαρτυρίας ὡς βουληθέντι
τυχὸν τὴν τοιαύτην γνώμην ἀμεῖψαι ἢ ἐναλλάξαι, ἢ τι τοιοῦ-
τον ποιῆσαι, ᾧ γε ἐξὸν διαρρῆξαι τὸ γενόμενον, καὶ ἑτέραν ποι-
ήσασθαι βούλησιν, δηλοῦσαν τὴν τελευταίαν αὐτοῦ γνώμην, ἣν
προσήκει κρατεῖν. τοῦτο γὰρ ἐφίεμεν αὐτῷ πράττειν, αὐτὸ τοῦτο
ῥητῶς ἐνώπιον σημαινομένῳ τῇ παρουσίᾳ μαρτύρων, ἑπτὰ ἢ ε', ὡς
ἀπεποίηται τὴν τοιαύτην βούλησιν· οὐ μὴν κρατεῖν αὐτὴν ἔτι βούλε-
ται, ἀλλ' ἑτέραν ποιήσασθαι. καὶ ταῦτα μὲν ἢ ἐν τελείᾳ διαθή-
κῃ ποιείτω, πάντα τὰ τῶν διαθηκῶν ἐχούσῃ σύμβολα, ἢ ἐγ-
γράφῳ τελείᾳ βουλήσει· ὥσπερ ἐπ' ἐγγράφῳ βουλήσει, ἢ ἀ-
γράφῳ δοκεῖν αὐτὸν τελευτῆσαι; τῶν προτέρων ἀκύρων ἐκ τῆς
δευτέρας αὐτοῦ, κατὰ τελείαν διαθήκην, ἢ βούλησιν διατυπώ-
σεως γινομένων. Ἐάν τις διαθήκην γράψας, καταλίπῃ
τινὰ κληρονόμον, καὶ γράψῃ ἔχειν πράγματα τόσα καὶ τόσα·
τινὰ δὲ καταλείψῃ ἀμνημόνευτα, καὶ τῶν ἀμνημονεύτων αὐτὸς
ποιεῖται ὁ κληρονόμος. εἰ δὲ διαθήκην γράφων τις ἐπίτροπον *
ἐνστήσεται, καὶ γράψει ἔχειν τάδε καὶ τάδε, ἀφεὶς τινὰ ἀμνη-
μόνευτα, τῶν ἀμνημονεύτων οἱ ἐξ ἀδιαθέτου συγγενεῖς κληρο-
νομοῦσιν· εἰ μή γε προσθήσει ἐν τῷ τέλει τῆς διαθήκης, ἐὰν δέ

Malè ergo Scripserunt in Novellis. vide p. 300. et 301.

τις μοι εὑρεθῇ ἀμνημόνευτος ὕπαρξις, βούλομαι καὶ ταύτην διοικεῖν τὸν ἐμὸν ἐπίτροπον. Πατὴρ μερίζων ἐν διαθήκῃ τὰ πράγματα τοῖς παισὶν αὐτοῦ, τιθέτω τὰς μερίδας, ἢ ποιείτω ἰδικὰς διανεμήσεις, καὶ ὑπογραφέσθω ἐν αὐταῖς, ἢ ποιείτω τοὺς παῖδας ὑποσημαίνεσθαι τῇ διανεμήσει, ἐπεὶ οὐδένα τῶν παίδων προκριματίζει. Εἴ τις ποιήσας πρώτην διαθήκην δευτέραν ποιῆσαι βουληθῇ, μὴ ἄλλως ἀφανιζέσθω ἡ προτέρα, εἰ μή γε πρότερον νομίμως ἡ δευτέρα γένηται διαθήκη, εἰ μὴ ἄρα ἐν τῇ προτέρᾳ διαθήκῃ γραφείτων τούτων, ὅτι τινὲς ἐξ ἀδιαθέτου πρὸς τὴν τοῦ διατιθεμένου κληρονομίαν, ἤτοι διαδοχὴν ἐλθεῖν οὐκ ἠδύναντο, ἐν τῇ δευτέρᾳ βουλήσει ὁ διατιθέμενος γράψαι ὥρισεν, ὅτι τινὲς ἐξ ἀδιαθέτου πρὸς τὴν αὐτοῦ κληρονομίαν καλοῦνται. ἐν τούτῳ γὰρ τῷ θέματι, εἰ καὶ ἀτελὴς δοκεῖ ἡ δευτέρα γραφή, ἀσθενούσης τῆς πρώτης διαθήκης, τὴν δευτέραν βούλησιν οὐχ ὡς διαθήκην, ἀλλ' ὡς βούλησιν ἀδιαθέτου ἰσχύειν θεσπίζομεν· ἐν ᾗ βουλήσει πέντε μαρτύρων ἐπομνυμένων καταθέσεις ἀρκοῦσιν, οὗ τινος μὴ γενομένου ἰσχύειν τὴν πρώτην διαθήκην, εἰ καὶ οἱ ἐν αὐτῇ γεγραμμένοι δοκοῦσιν ἐξωτικοί. Ἐάν τις ἐν ὑγείᾳ διατιθέμενος ὕστερον ἀπεχρήσατο ἑαυτόν, οὐ συνειδήσει πταίσματός τινος, ἀλλ' ἢ ὡς τὴν ζωὴν ἀποστρεφόμενος, ἢ ἀπὸ μανίας, ἢ λύπης, ἢ πολυημέρου νόσου κατεχόμενος, ἔρρωται ἡ διαθήκη αὐτοῦ. εἰ δὲ τῷ τῆς μελλούσης τιμωρίας φόβῳ, τῷ ἑκουσίῳ θανάτῳ τὴν κόλασιν προενέτρεψε, βεβαίαν τὴν βούλησιν αὐτοῦ φυλάττεσθαι οἱ νόμοι κωλύουσιν. Ὁ κωλύσας γενέσθαι, ἢ ἀλλαγῆναι διαθήκην, ὡς ἐξ ἀδιαθέτου καλούμενος, ἢ ἐν τῇ προτέρᾳ γεγραμμένος, ἐκπίπτει τοῦ κλήρου καὶ δημεύεται ὁ κλῆρος δηλονότι. Οὐ μόνον χρηματικῶς, ἀλλὰ καὶ ἐγκληματικῶς ἐνάγεται ὁ ἀναγκάζων τινὰ γράψαι αὐτὸν κληρονόμον, ὡς γάρ φησιν ἡ διάταξις τοῦ παρόντος τίτλου, ὁ τοῦτο ποιῶν, ἐξο-

είζεται, καὶ τὸ ἀζήμιον ποιεῖ τοῦ μέλλοντι γραφῆναι κληρονόμῳ. Ἐὰν ἀπὸ δειλίας βουληθέντα τὸν διατιθέμενον πλείονας εἰπεῖν κληρονόμους φιμωθῆναι, οὐδὲ οἱ παρ᾽ αὐτοῦ λεχθέντες κληρονομοῦσιν. Βασιλέα γράψας τις κληρονόμον ἐν διαθήκῃ, ἐξουσίαν ἔχει τὴν διαθήκην αὐτοῦ ταύτην ἐναλλάσσειν, καὶ ἀντὶ βασιλέως ἄλλον κληρονόμον γράφειν.

Ἐὰν ὁ διατιθέμενος μὴ βούλοιτο γνῶναι τὰ γεγραμμένα τοὺς μάρτυρας, εἱληθεῖσαν ἕως τῶν γεγραμμένων, ἢ καὶ σφραγισθεῖσαν ὑπ᾽ αὐτοῦ, προσφερέτω τοῖς μάρτυσιν, ἵνα ὑπογράψωσι, καὶ λεγέτω τοῖς μάρτυσιν ἰδίαν εἶναι τὴν διαθήκην. λοιπὸν δὲ ἐν ἑνὶ καιρῷ ὑπογραφέτωσαν, καὶ σφραγιζέτωσαν αὐτήν, καὶ κρατείτω ἰσχυρῶς· οὐ μόνον δὲ ἑπτὰ ἀλλὰ καὶ πέντε παραλαμβανόμενοι μάρτυρες, ἔν τε ἐγγράφῳ καὶ ἀγράφῳ πάσῃ διαθήκῃ, βεβαίαν αὐτὴν παριστῶσιν. Ὁ μέντοι γε ἐν πολέμῳ πληγείς, καὶ ἐν ὁδῷ περιπατῶν, καὶ πρὸς τὸ θανεῖν ἐγγίσας, ὅτι οὗτος οὐ μόνον ὧδε τελείως δύναται διαθήκην ποιεῖν, ἀλλὰ καὶ δύο μόνα παρευρισκόμενα πρόσωπα διὰ τὴν συμβᾶσαν περίστασιν, δύνανται τὴν ἐκείνου διαθήκην βεβαίαν παριστάναι. Οἱ στρατιῶται ἐν στρατοπέδῳ διάγοντες, τὰς τῆς τελευταίας βουλήσεως διαθέσεις, οἱῳδήποτε τρόπῳ δύνανται καὶ βούλονται διατιθέτωσαν, καὶ πρὸς οὓς βούλονται. εἴ τι τις αὐτῶν ἐν τῇ ξιφοθήκῃ, ἢ τῇ ἀσπίδι γράμμασι τοῦ ἰδίου αἵματι ἐρυθραινομένοις σημειώσεται, ἔτι εἰς τὸν κονιορτὸν τουτέστιν εἰς τὴν γῆν ἐγγράψει τῷ ξίφει, ἐν αὐτῷ τῷ καιρῷ ἐν ᾧ ἐν τῷ πολέμῳ τῆς ζωῆς τὸν κλῆρον καταλιμπάνει, τὴν τοιαύτην βούλησιν ἰσχυρὰν εἶναι προσήκει. Καὶ ἡ ἀτελὴς τοῦ στρατιώτου διαθήκη, ἔρρωται. Ἡ προγενεστέρα διαθήκη ἀνατρέπεται ὑπὸ τῆς μεταγενεστέρας τελείας οὔσης, κἂν ἔστιν ἡ πρώτη ἔγγραφος.

## ΠΕΡΙ ΓΥΝΑΙΚΩΝ.

Ἐὰν

Ἐάν τις ἀνὴρ ὢν διαλεχθῇ τῇ γυναικὶ καὶ πείσει αὐτὴν γράψαι αὐτὸν κληρονόμον, οὐ δοκεῖ ἀνάγκην ἐπιθεῖναι.

Ἐὰν συμβῇ γυναῖκα ἐγκύμονα λουομένην ἐν τῷ βαλανείῳ, ἀποθνήσκουσαν ἄγραφον ποιῆσαι διαθήκην παρουσίᾳ τῶν ἴσως εὑρεθεισῶν ἐκεῖσε ἐννέα γυναικῶν, ἔρρωται· δεχθήσονται γὰρ αὗται εἰς μαρτυρίαν τῶν παρὰ τῆς τελευτώσης ὁρισθέντων. Ὁ κληρονόμος οὐ μαρτυρεῖ ἐν διαθήκῃ· ὁ δὲ ληγατάριος, καὶ ὁ ἐπίτροπος διδόμενος, δύναται. Μὴ ἀναιρείσθω τῇ τῆς δεκαετίας παραγραφῇ ἡ διαθήκη. Οὐδεὶς δύναται γράψας διαθήκην, ἑαυτῷ προσγράψαι λεγᾶτον. Ἡ διάταξις κελεύει, ἵνα εἴ τις λοιπὸν κατάστασιν ποιοῖτο τῶν ἑαυτοῦ πραγμάτων· πρῶτον μὲν φυλάττῃ τῷ παιδὶ τὸ νόμιμον μέρος, οὐ τὸ τέταρτον. τοῦτο γὰρ ἐπηνωρθώσαμεν πενίαν αὐτοῦ πολλὴν καταγνόντες, ἀλλὰ τὸ τρίτον πάντως, ἢ τὸ ἥμισυ, κατὰ τὸν τῶν παίδων ἀριθμόν, ἔπειτα καὶ εἰς τὸ λειπόμενον τῆς οὐσίας μέρος ἐν ᾧ μὴ ἀρκεῖ τὸ νόμιμον μέρος, πρὸς προῖκας, ἢ προγαμιαίας δωρεὰς ἐπίδοσιν, εὐσχημόνως καὶ πρὸς τὴν τῶν προσώπων ποιότητα μετρουμένης, ἐξῃρῆσθαι καὶ αὐτὸ τῆς ὑποστάσεως, καθ᾽ ὅσον προστιθεμένων τῷ νομίμῳ μέρει, τὴν προῖκα ἢ τὴν προγάμου δωρεὰν ποιεῖ. Τὰ συνιστῶντα τὴν διαθήκην, πολλά εἰσιν. ἔστι δὲ ὁ τῶν ἑπτὰ ἢ ε΄ μαρτύρων ἀριθμός, ὃν ἐξ ἀνάγκης ὀφείλει ἔχειν ἡ διαθήκη, αἱ σφραγῖδες τε τῶν ἑπτὰ ἢ ε΄, καὶ ἕτερα τινά, ὧν πρὸ πάντων ἡ τοῦ ἐν αὐτῇ γραφομένου κληρονόμου ἔνστασις· κἂν εὑρεθῇ δὲ διαθήκη πάντα τὰ ἐκτεθέντα παρατηρήματα ἔχουσα, οὐχ εὑρίσκεται δὲ κληρονόμος τις γραφόμενος ἐν αὐτῇ, ἀνίσχυρος καὶ πίπτουσα διὰ τοῦτο ἐστί. τὸ γοῦν πρῶτον κέλευμα, τοῦτο διδάσκει ἡμᾶς, ὅτι ἐὰν εὑρεθῇ διαθήκη ἔχουσα τι ῥῆμα προσκείμενον ἐν αὐτῇ μὴ δυνάμενον νοηθῆναι, ἀντὶ μὴ δὲ γεγραμμένου ὅλως τὸ τοιοῦτον ὀφείλει λογίζεσθαι. θεματίζομεν δὲ τοῦτο οὕτως, ἔχω μὲν ἐγὼ πέτρους φίλους πολλούς,

Mulieres [illegible] ad [illegible] adhiberi [illegible]

καὶ τελευτῶν διαθήκην ἐποιησάμην, καὶ ἐν αὐτῇ οὕτως ἔγραψα· ἐνίστημι κληρονόμον Πέτρον τὸν φίλον μου, πολλῶν οἰκείων ὄντων αὐτῷ, καὶ μὴ ῥητῶς δηλουμένου τοῦ κληρονομῆσαι ὀφείλοντος, ἀνίσχυρος ἐστὶν ἡ τοιαύτη γραφή, καὶ λογιζομένη οὐδέν· καὶ οὐδεὶς ἐκ ταύτης κληρονόμος γενήσεται. κληρονόμου δὲ μὴ ὄντος ἅπαξ ἁπλῶς, ἀσύστατός ἐστιν ἡ διαθήκη καὶ πίπτουσα. τὰ ἐν τῇ διαθήκῃ μὴ νοούμενα, ἀντὶ μὴ γεγραμμένων ἐστίν. τὰ ἐν τῇ διαθήκῃ ἀλλήλοις ἐναντιούμενα, οὐκ ἔρρωται.

τότε τὰ ἐν τῇ διαθήκῃ ἀποτελέσματα λαμβάνουσιν, ὅτε καὶ τὴν ἀρχὴν ἀνεπίψογον ἐσχήκασιν.

ΠΕΡῚ ΔΙΑΘΉΚΗΣ ὙΠΕΞΟΥΣΊΩΝ. τίτλ. β.

Τὸ πεκούλιον ἐν τοῖς ὑπεξουσίοις ὁρᾶται· ἔνθεν τῶν πεκουλίων, τὰ μέν εἰσιν ἰδιόκτητα· τὰ δὲ παγανικά. καὶ ἰδιόκτητα μέν εἰσιν, ὅσα ἰδικῶς τις, ἢ ἐξ ἰδίου ἐπιτηδεύματος, ἢ στρατείας, ἢ βαθμοῦ τοῦ οἱουδήποτε, ἢ κλήρου κέκτηται. παγανικὰ δέ, ἅπερ παρὰ τῶν γονέων αὐτοῖς ὑπηρεσίας λόγῳ, καὶ χρείας ἐδόθησαν, ἢ καὶ ἐκ τῶν δοθέντων ἐπεκτήθησαν. πολλαὶ δὲ διαφοραὶ παγανικοῦ καὶ ἰδιοκτήτου πεκουλίου· καὶ πρώτη μὲν αὕτη, ὅτι εἰς μὲν τὸ ἰδιόκτητον πεκούλιον, ὁ ὑπεξούσιος διατίθεται· εἰς δὲ τὸ παγανικὸν οὐ δύναται, οὐδὲ εἰ ὁ πατὴρ τοῦτο κελεύει. δευτέρα δὲ διαφορά, ἀγανακτήσας ὁ πατὴρ κατὰ τοῦ ὑπεξουσίου, τὸ μὲν παγανικὸν ἀφαιρεῖσθαι δύναται πεκούλιον· τὸ δὲ ἰδιόκτητον οὐκέτι. τρίτη διαφορά, ἐὰν πολλοῖς ἐποφείλων τις ὑποστῇ διάπρασιν ὑπὸ τῶν ἑαυτοῦ δανειστῶν, τὸ μὲν παγανικὸν τοῦ παιδὸς συνδιαπιπράσκεται πεκούλιον, τὸ δὲ ἰδιόκτητον οὐδαμοῦ. ἔτι καὶ τετάρτη διαφορά, εἰ τῶν πλειόνων ὄντων τῶν παίδων ὁ πατὴρ τελευτήσῃ, συμβῇ δὲ ἐξ αὐτῶν ἕνα παγανικὸν ἔχειν πεκούλιον καὶ ἰδιόκτητον, τὸ μὲν παγανικόν, κοινὸν ἔσται πάντων τῶν ποτὲ παίδων ὑπεξουσίων· τὸ δὲ ἰδιόκτητον μόνου τοῦ κτησαμένου. τὰ ἀπὸ μακρᾶς ἀποδημίας καὶ χειμβρι-

νῆς

νῆς καὶ καυσώδιου ὀδοιπορείας· τουτέστι ἀπὸ ταξειδίων ἐπιγινόμενα πεκούλια τοῖς ὑπεξουσίοις, ἰδιόκτητα εἰσί, καὶ δύνανται ἐν τούτοις διατίθεσθαι. εἰ γὰρ κατέβαλον ὑπὲρ αὐτῶν οἱ γονεῖς αὐτῶν τι, τότε ὀφείλεται εἰσὶν οἱ ὑπεξούσιοι, τὸ ἱκανὸν ἀποδοῦναι αὐτοῖς, καὶ εἰς τὸ λοιπὸν διατίθεσθαι. ὁμοίως καὶ τὰ ἀπὸ συνεδρίας καὶ συνηγορείας, καὶ πάσης ἀξίας, καὶ παντὸς ἐπιτηδεύματος αὐτοῖς ἐπικτηθέντα, ἰδιόκτητα εἰσίν. Τὰ πεκούλια τετραχῶς, ἀπροσπόριστα, παγανικά, καστρένσια, καὶ ὡσανεὶ καστρένσια. καὶ ἀπροσπόριστα μέν εἰσιν ὅσα ἐκ μητρικῆς κληρονομίας καὶ πάππων, καὶ προπάππων, καὶ ἄλλων συγγενῶν μητρόθεν, καὶ τούτων τὴν μὲν χρῆσιν ἔχει ὁ πατήρ· τὴν δὲ δεσποτείαν οἱ παῖδες. τούτοις ὅμοια καὶ τὰ ἀπὸ φιλοτιμίας τυχὸν, ἢ καμάτων ἰδίων κτώμενα τοῖς παισί, καὶ ἀπὸ γαμικῆς αἰτίας, ἐν οἷς οὐκ ἔστι τῷ παιδὶ ἐν ὑπεξουσιότητι ἄδεια διατίθεσθαι, ἀλλ' οὐδὲ τῷ πατρὶ προτελευτῶντι, τὴν γὰρ χρῆσιν τούτων ἔχει ὁ πατήρ· τὴν δεσποτείαν δὲ οἱ παῖδες. τὰ δὲ παγανικά εἰσίν, ἃ καὶ προσπορίζονται, ὅσα ἐξ αἰτιῶν καὶ πραγμάτων τοῦ πατρὸς προσέλθοι τῷ παιδὶ, ἅπαντα γὰρ ταῦτα, τοῦ πατρός εἰσιν· ἔχει δὲ τούτων καὶ τὴν χρῆσιν, καὶ τὴν δεσποτείαν ὁ πατήρ, καὶ οὐδὲ ἐπὶ τούτοις ἄδεια τῷ υἱῷ διατίθεσθαι, ἀλλὰ τῷ πατρὶ προτελευτῶντι. τὰ δὲ καστρένσια εἰσί, τὰ ἰδιόκτητα, ἤτοι τὰ ἐκ σιδήρου καὶ ὅπλων περιελθόντα τῷ παιδὶ, ὧν ἡ χρῆσις καὶ ἡ δεσποτεία τῷ παιδὶ ἁρμόζει, καὶ ἄδεια ἐπὶ τούτοις τῷ παιδὶ διατίθεσθαι, καὶ ἐν ὑπεξουσιότητι ὄντι. τὰ δὲ ὡσανεὶ καστρένσια, τὰ ἀπὸ δωρεᾶς βασιλικῆς ἢ δεσποινῶν, καὶ οὐδὲ τούτων τὴν χρῆσιν, ἢ τὴν δεσποτείαν ἔχει ὁ πατήρ, καὶ τὰ ἀπὸ κληρονομίας ἀδελφῶν καὶ ἀδελφῆς, καὶ τὰ ἀπὸ ἀρχῆς δι' αἰῶνος, καὶ τὰ ἀπὸ συνεδρίας, καὶ τὰ διδόμενα προστάξει βασιλικῇ σιτηρέσια ἀπὸ τοῦ δημοσίου, καὶ ἄδεια τῷ ὑπεξουσίῳ ἢ ᾧ δὲ τοῖς τούτοις διατίθεσθαι.

περὶ

αὐτῶν οἱ ἀνιόντες τοῦ ἀπελευθέρου, καὶ οἱ ἀδελφοὶ ἐλεύθεροι ὄντες· τούτων δὲ μὴ παρόντων, οἱ πάτρωνες, εἴτε ἐκεῖνοι ἠλευθερώθησαν, εἴτε διὰ ἀποκαταστάσεως. Ἀπελεύθερος πλουτῶν ἄπαις, ἐπὶ τοῖς οἰκείοις διατιθέμενος πράγμασι, χρεωστεῖ τῷ πάτρωνι ἢ τῷ μέρει αὐτοῦ, τὸ τρίτον τῆς οὐσίας αὐτοῦ.

Εἰ μὲν ἐλάττονα τῶν ρ ι ἔχοιεν περιουσίαν οἱ ἀπελεύθεροι, οὐ περιεργάζονται· ἀλλὰ διατίθενται ὡς ἂν βουληθῶσιν. εἰ δὲ ὑπὲρ τὰ ρ ι περιουσίαν ἔχοιεν, καὶ διατίθωνται, ἄπαιδες ὄντες οἱ ἀπελεύθεροι, ἀνάγκην ἐχέτωσαν τὸ τρίτον τῆς περιουσίας αὐτῶν, καταλιμπάνειν τοῖς πάτρωσι, καλοῦνται δὲ πρὸς μὲν τὴν ἐξ ἀδιαθέτου κληρονομίαν, οἵ τε καλοῦντες τοῦ πάτρωνος καὶ οἱ ἐκ πλαγίου, δηλονότι καλούντων μὴ ὄντων, μέχρι ε βαθμοῦ. πρὸς δὲ τὴν μέμψιν τῆς διαθήκης, ἐπὶ τῷ λαβεῖν μόνον οἱ πάτρωνες, καὶ οἱ παῖδες αὐτῶν, καὶ οἱ ἔκγονοι, ἕως ε βαθμοῦ μόνον· οἱ δὲ ἐκ πλαγίου οὐκ ἔχουσι τὴν ἐναντίωσιν τῆς διαθήκης, ἐπὶ τὸ λαβεῖν τρίτον, ἐξωτικῶν γραφομένων. οἱ τῆς πατρωνίσσης παῖδες, καὶ πρωτογενεῖς ὄντες, ἔχουσι κατὰ τοῦ ἀπελευθέρου αὐτῶν, τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν· οἱ δὲ τοῦ πάτρωνος νόμιμοι ὄντες.

## ΠΕΡῚ ΔΙΑΘΉΚΗΣ ἘΠΙΣΚΌΠΩΝ καὶ μοναχῶν. Τίτλ. δ.

Ὅσα ἔχει ὁ ἐπίσκοπος πρὸ τῆς ἐπισκοπῆς δωρεῖται, καὶ ἐκποιεῖται ὡς θέλει· οὐ μὴν, ἀλλὰ καὶ διατίθεται εἰς αὐτά. ὅσα δὲ ἐκτήσατο μετὰ τὴν ἐπισκοπήν, τῇ ἐκκλησίᾳ αὐτοῦ διαφέρει, καὶ οὐδὲ διατίθεται εἰς αὐτά· εἰ μὴ ἄρα ἀπὸ γονέων ἢ θείων ἢ ἀδελφῶν αὐτοῦ, εἰς αὐτὸν περιῆλθον. Ὁ μέλλων εἰσιέναι εἰς μοναστήριον, διατιθέσθω τὰ καθ᾽ ἑαυτὸν, πρὸ τῆς εἰσόδου αὐτοῦ· ἐπεὶ προσκυροῦνται τῷ μοναστηρίῳ πάντα τὰ αὐτοῦ, κἂν μὴ ῥητῶς φήσειεν εἰσαγαγεῖν αὐτά, καὶ οὐκέτι ἔσται κατ᾽ οὐδένα τρόπον κύριος αὐτῶν. Ἡ δὲ νεαρὰ τοῦ καίσαρος λέοντος οὐ-

τω φησίν· εἰ μὲν ὤφθη κατὰ τὸν καιρὸν ὅτε τὸν μονασικὸν εἵλετο βίον ὁ ἄνθρωπος ἀφιερωσάμενος τῇ ἐκκλησίᾳ, εἶναι αὐτῷ περὶ τῶν ὕστερον κεκτημένων, ἀβίαστον τὴν κυρείαν τῇ γνώμῃ καθὼς ἂν προαιροῖτο, πάντα διοικεῖν. εἰ δὲ μηδὲν ὅλως κατ' ἀρχὰς τῷ μοναστηρίῳ προσενήνεκται, τότε διπλῆ τὴν ὕπαρξιν νέμεσθαι· τῶν μερίδων τὸ μὲν, διμοιρίᾳ συγκεφαλαιουμένης· τὸ δὲ, τρίτῳ μέρει· καὶ διατίθεσθαι μὲν ὥς ποτε δόξει αὐτῷ περὶ τοῦ διμοίρου τμήματος τὸν μονάζοντα, τὸ τρίτον δὲ προσκληροῦσθαι τῷ μοναστηρίῳ. Καὶ ὁ ς' κανὼν τῆς ἐν Τρούλλῳ ἁγίας συνόδου, ὁ μονάζειν βουλόμενος, περὶ τῶν ἑαυτοῦ πρότως διατιθέσθω· μετὰ γὰρ τὸ μονάσαι, τῶν αὐτοῦ πάντων κυριεύσει τὸ μοναστήριον. εἰ δέ τις μοναχὸς φωραθείη τῶν αὐτοῦ παρυποκρατήσας, αὐτὸς μὲν προσηκόντως ἐπιτιμάσθω· ἐκεῖνο δὲ παρὰ τοῦ προεστῶτος, ἢ τοῦ ἐπισκόπου πιπρασκόμενον, πτωχοῖς καὶ ἀπόροις διανεμέσθω. Ὅτι εἴτε ἀνὴρ, εἴτε γυνὴ ἐπιλέξεται τὴν μοναδικὴν κατάστασιν, καὶ εἰσέλθοι εἰς μοναστήριον, μὴ πρὸ τῆς εἰσελεύσεως ποιήσας διαθήκην, καὶ διατυπώσας περὶ τῶν ἰδίων πραγμάτων, ἀπ' ἐντεῦθεν τῆς δεσποτείας τοῦ μοναστηρίου γίνονται τὰ πράγματα, παίδων μὴ ὑπόντων δηλονότι τῷ ἀποκαρέντι. εἰ γὰρ ὕπεισι παῖδες, δίδοται αὐτῷ ἄδεια καὶ μετὰ τὴν ἀπόκαρσιν διαθήκην τι ποιεῖν, καὶ τοῖς παισὶ τὰ ἴδια καταλιμπάνειν, πλὴν οὐχὶ πάντα· ἀλλὰ συναριθμοῦντα τὸ ἴδιον πρόσωπον τοῖς παισὶν, ἐν αὐτῷ μέρος παρακρατεῖν, ὀφεῖλον τῷ μοναστηρίῳ διαφέρειν, καὶ τὰ λοιπὰ ἅ φησιν ὁ νόμος. Ὁ ἐπὶ παισὶ μονάσας, δύναται καὶ μετὰ τὸ μονάσαι, διελεῖν τὴν οὐσίαν αὐτοῦ, τοῖς ἰδίοις παισὶ, φυλάττων ἑαυτῷ μέρος, ὃ καὶ τῷ μοναστηρίῳ ἁρμόζει. ἐὰν δὲ ἀδιάθετος τελευτήσῃ, τότε οἱ παῖδες αὐτοῦ λήψονται τὸ ἐξ ἀδιαθέτου, τουτέστι τὸ φαλκίδιον, καὶ τὸ λοιπὸν δίδοται τῷ μοναστηρίῳ. Ὁ ἀπὸ μοναστηρίου μετιὼν εἰς μοναστήριον ἄλλο, ἐκ-

πίπτει τῶν ἰδίων πραγμάτων.

ΠΕΡΙ ἈΝΑΤΡΟΠΗ͂Σ ΔΙΑΘΗΚΗΣ. τίτλ. ε.

Ταῖς διαθήκαις τρία πάθη παρενοχλεῖ· δὴ ῥῆξις, ἀκυρωσία καὶ ἀπώλεια· δῆλ' αἱ μὲν ῥηγνύμεναι, ἢ καθόλου ῥήγνυνται, ἢ ἐκ μέρους, καὶ καθόλου μὲν, κατὰ ἓξ τρόπους. καὶ πρῶτος τρόπος ἐστὶν, ὅταν τις μετὰ τὴν ποίησιν τῆς διαθήκης, εἰς υἱοθεσίαν τινὰ λάβῃ καθ' οἱονδήτινα τρόπον τῆς υἱοθεσίας. δεύτερος ὅταν μετὰ τὴν ποίησιν τῆς διαθήκης, ἢ τὸν θάνατον τοῦ διαθεμένου υἱὸς τεχθῇ, ἢ ὑπεξουσίου υἱοῦ θανόντος ἔκγονος, κἂν μετὰ τοὺς ὁρισθέντας κληρονόμους πρόσκειται ἐν τῇ διαθήκῃ οὕτως, ἔστωσαν ἀκληρονόμοι εἰ μὴ ἄρα λεγατευθῇ, ἢ ἐκτρώσῃ ἡ τίκτουσα. τρίτος ὅταν ὁ θετὸς υἱὸς ὑπεξούσιος ὢν, οὐ μνημονευθῇ ἐν τῇ διαθήκῃ. δ΄, ὅταν δευτέρα γένηται διαθήκη κατὰ νόμους εἴτε γέγονέ τις ἐν αὐτῇ κληρονόμος εἴτε μὴ γέγονε τῶν πεφυκότων κληρονομεῖν. ε΄, ὅταν δευτέρα διαθήκη κατὰ νόμους γενομένη, κληρονόμον ἕτερον εἰς ὡρισμένα πράγματα καταστήσῃ, μὴ βεβαιοῦσα τὰ τῆς πρώτης διαθήκης. ς΄, ὅταν στρατιώτου υἱὸς ἐγγυμονούμενος, παρ' αὐτοῦ, ἐν τῇ ποιήσει τῆς διαθήκης, ἠγνοήθη· εἰ γὰρ γνοὺς αὐτὸν ἐσιώπησεν, οὐ ῥήγνυται ἡ διαθήκη, ἐκ μέρους δὲ κατὰ τρόπους δύο.

ΠΕΡΙ ΤΗΣ ἘΚ μέρους ῥηγνυμένης διαθήκης.

Καὶ πρῶτος τρόπος ἐστὶν, ὅταν ἡ δευτέρα διαθήκη τὰ μὲν ἐν τῇ α΄ βέβαια μένειν διαγορεύῃ, ἕτερον δὲ κληρονόμους εἰς ὡρισμένα πράγματα καταστήσῃ· ἀρκεῖ γὰρ αὐτοῖς τὰ ἐαθέντα, εἰ καὶ μὴ ποιεῖ τὸ φαλκίδιον. δεύτερος, ὅταν θυγατέρα ὑπεξουσίαν ἔχῃ, ἢ ἔκγονον, ἢ ἐκγόνην, οὐκ ἔγραψε δὲ αὐτοὺς κληρονόμους, τότε ἡ μὲν διαθήκη οὐ ῥήγνυται τέλεον, αὐτοὶ δὲ τῇ κληρονομίᾳ ὑπεισέρχονται. καὶ εἰ μὲν ἐστι γραφεῖσα ἡ κληρονομία εἰς ἐξωτικοὺς· τουτέστι τοὺς μὴ ὄντας συγγενεῖς, τὸ ἥμισυ οἱ οἰκεῖοι λαμβάνουσιν· εἰ δὲ εἰς οἰκείους, ἐπ' ἴσης πάντες.

## ΠΕΡΙ ἈΚΥΡΟΥΜΕΝΗΣ ΔΙΑΘΗΚΗΣ.

Αἱ δὲ ἀκυρούμεναι, κατὰ δ΄ τρόπους γίνονται, καὶ α΄ τρόπος, ὅταν ὁ διαθέμενος θανάτῳ καταδικασθῇ, ἢ ἐξορισθῇ, ἢ αὐτεξούσιος ὤν, ἑαυτὸν εἰς υἱοθεσίαν ἑτέρῳ παράσχῃ, ἢ ὑπεξούσιος ὤν, αὐτεξούσιος γένηται. β΄, ὅταν δευτέρας ἐννόμου γραφείσης διαθήκης, τότε ἡ μὲν α΄ ῥήγνυται. ἡ δὲ β΄ ἀκυροῦται δι' αἰτίαν τῶν προσφυκότων κληρονομεῖν· τουτέστιν ὅταν ἀποτάξωνται τὴν κληρονομίαν, ἢ ὅταν προτελευτήσωσι τοῦ διατιθεμένου, ἢ ὅταν μετὰ τὴν τελευτὴν τοῦ διατιθεμένου πρὸ τοῦ λαβεῖν τὴν κληρονομίαν τελευτήσωσιν, ἢ ὅταν ὑπὸ αἵρεσιν ἐγράφησαν, καὶ ἡ αἵρεσις ἠτόνησε. τρίτος δὲ τρόπος ἐστίν, ὅταν τις δίκην ἔχων, τὸν βασιλέα κληρονόμον ποιήσῃ, ἢ ἐγγράφως, ἢ ἀγράφως, εἰ μὴ ἄλλως πως κατὰ νόμους κληρονομεῖ αὐτὸν ὁ βασιλεύς· εἰ γὰρ καὶ νόμοις οἱ βασιλεῖς οὐχ ὑπόκεινται, ἀλλὰ κατὰ νόμους πολιτεύονται. τέταρτος δὲ τρόπος ἐστίν, ὅταν ἀποσφραγίσας τὴν διαθήκην, ἐάσει αὐτὴν οὕτως, ἢ εἴπει· οὐκ ἰσχύειν αὐτὴν βούλομαι· τὰ γὰρ κατὰ νόμους γινόμενα, ἐννόμως ἀνατρέπεσθαι δεῖ.

## ΠΕΡΙ ἈΤΕΛΟΥΣ ΔΙΑΘΗΚΗΣ.

Αἱ δὲ ἀτελεῖς κατὰ ε΄ τρόπους γίνονται, καὶ α΄ μὲν τρόπος ἐστίν, ὅταν μὴ παρόντων ἑπτά, ἢ ε΄ μαρτύρων κατὰ τὰ παρ' ἡμῶν νομοθετηθέντα, γένηται ἡ διαθήκη. δεύτερος δὲ ὅταν παρόντων, οὐ πάντες ὑπέγραψαν. τρίτος, ὅταν πάντες μὲν ὑπέγραψαν, οὐκ ἐσφράγισαν δὲ πάντες. τέταρτος, ὅταν ὁ διαθέμενος οἰκείᾳ χειρὶ τὸ τοῦ κληρονόμου ὄνομα μὴ γράψας, οὐκ ἐμνημόνευσεν ὡδὶ τῶν μαρτύρων. πέμπτος, ὅταν αὐτεξουσίους ἢ ὑπεξουσίους υἱούς, ἢ ἐκγόνους ἐξ ὑπεξουσίων παίδων τελευτησάντων ἔχων τις τούτους οὔτε κληρονόμους, οὔτε ἀποκληρονόμους ἔγραψε, κἂν τύχῃ αὐτοὺς προτελευτῆσαι, ἀλλὰ τὸν κανόνα τὸν λέγοντα, τὰ ἐξ ἀρχῆς ἐν διαθήκαις ἀνυπόστατα, ἐκ τῶν μετὰ

πάντα ἐπὶ γινομένων, ἰσχὺν λαμβάνειν οὐ δύναται. Ἐὰν ἀτελὴς διαθήκη ἐστὶ σὺν τοῖς παισὶ καὶ ἐξωτικὸν πρόσωπον διὰ μνήμης κεῖται· ὅσον μὲν εἰς τοὺς παῖδας, ἔρρωται ἡ διαθήκη· ὅσον δὲ εἰς τὸν ἐξωτικὸν, οὐκ ἔρρωται. Ἐὰν γὰρ ἀμνημόνευτος ἐαθῇ, οὐκ ἔρρωται ἡ διαθήκη, κἂν πρὸ τοῦ πατρὸς ἀποθάνῃ, οὔτε ῥήγνυται ἡ προγενομένη, ἔχουσα τυχὸν αὐτοὺς κληρονόμους. Ὅτι κτώμενος ὑπεξούσιος, εἰ καὶ ἀτελὴς ἐστὶν ἀναπνέων μέντοι, ἀλλ᾽ ὁ ἐξ ἀνατομῆς ῥήσσει τὴν διαθήκην. Ἐὰν ὑπεξούσιος κυοφορούμενος, ἀμνημόνευτος ἐαθεὶς ἐν διαθήκῃ τεχθῇ μὲν, φωνὴν δὲ μὴ ἀφήσῃ, ἢ ὅλως τέλειος γεννηθῇ ζῶν, καὶ ἅμα τῷ πεσεῖν ἐν τῷ ἐδάφει ἐτελεύτησεν, ἢ ἐν ταῖς χερσὶ τῆς ἰατρείνης, ῥήγνυσι τὴν διαθήκην, κυοφορούμενος δέ ἐστιν, ὁ μετὰ θάνατον τοῦ πατρὸς τεχθείς. Τοὺς κυοφορουμένους, οὐ δεῖ ἐν οἱῳδήποτε τόπῳ ἢ βαθμῷ ἀποκλήρους ποιεῖν· ἵνα μὴ ἐπαναβαίνοντες, ῥήξωσι τὴν διαθήκην. Οἱ ἐν αἰχμαλωσίᾳ ὑπεξούσιοι ἀμνημόνευτοι ἐαθέντες, οὐ ῥήσσουσι τὴν διαθήκην. Ἡ ἀτελὴς διαθήκη, τὴν πρώτην οὐ ῥήσσει· εἰ μὴ στρατιωτική ἐστιν, ἢ τις ἐν αὐτῇ τῶν ἐξ ἀδιαθέτου γέγραπται. Ἡ παράνομος αἵρεσις ἐπικλασθεῖσα γάμῳ, ἀκυροῖ τὴν διαθήκην, ὡς μὴ οὖσα ἐξουσιαστική. Ἄκυρος γίνεται διαθήκη, ὅταν τὴν ἐλευθερίαν ὁ διαθέμενος ἀπολέσῃ, αἰχμάλωτος γενόμενος, ἢ κεφαλικῶς κατακριθείς, ἅμα γὰρ τῇ ψήφῳ ἄκυρος αὐτοῦ ἡ διαθήκη γίνεται. Τοῖς δὲ στρατιώταις καταδικαζομένοις ἀπὸ στρατιωτικοῦ ἐγκλήματος, ἐπιτρέπεται στρατιωτικῶς διατίθεσθαι, καὶ ἐὰν βουληθῶσιν, ἔρρωται ἡ προγενομένη. Τοῦ προιοειζομένου, οὐ παραχρῆμα γίνεται ἄκυρος· ἀλλ᾽ ὅταν ὁ βασιλεὺς τὸ γεγονὸς ἀποδέξηται· τότε γὰρ ὑφίσταται τὴν τῆς καταστάσεως ἐναλλαγήν.

## ΠΕΡΙ ΜΕΜΨΕΩΣ ΚΑΙ ΕΝΑΝΤΙΩσεως διαθήκης. Τίτλ. ς΄.

γονεῖς καὶ παῖδες, καὶ ἀδελφοὶ, κινοῦσι τὴν κατὰ τῆς διαθήκης μέμψιν, οὐ μὴν καὶ οἱ λοιποὶ συγγενεῖς· ὡς πλατύτερον δὲ καὶ οὗτοι διαβαλλοῦσιν. Οἱ μὲν ἀνιόντες καὶ κατιόντες, κατὰ παντὸς προσώπου κινοῦσι τὴν κατὰ τῆς διαθήκης μέμψιν, ἀπόκληροι γενόμενοι, ἢ μὴ τὸ νόμιμον ἔχοντες μέρος· εἰ μή πως ἀχάριστοι περὶ τὸν διαθέμενον ὤφθησαν. Οἱ δὲ ἐκ πλαγίου, ἡνίκα μόνον αἰσχρὸν ἐπέχωσιν οἱ γεγραμμένοι κληρονόμοι πρόσωπον· ἤγουν ἰδιόσειροι τυχὸν ὄντες, ἢ μῖμοι, ἢ κυνηγοὶ, ἢ ἀπὸ αἰσχρᾶς μίξεως ἐγνωσμένοι. Ὁ κινήσας τὴν κατὰ τῆς διαθήκης μέμψιν, καὶ ἡττηθεὶς, ἐκπίπτει τῶν ἐν τῇ διαθήκῃ αὐτῷ καταλειφθέντων, δημοσιεύεται γάρ. Ὁ παρὰ γυναικὸς υἱοθετηθεὶς, ἢ παραμεληθεὶς, οὐ κινεῖ τὴν κατὰ τῆς διαθήκης μέμψιν· γυνὴ γὰρ παρὰ κέλευσιν βασιλέως, οὐχ υἱοθετεῖ. Ὅτι πενταετία αἱρεῖται ἡ κατὰ τῆς διαθήκης μέμψις, οὐκ ἐκ τῆς τελευτῆς τοῦ διατιθεμένου τοῦ χρόνου τρέχοντος· ἀλλ' ἐξ οὗ ὁ κληρονόμος ὑπεισῆλθε τῇ κληρονομίᾳ. Ὁ αἰτῶν τὴν κατὰ τῆς διαθήκης ἐναντίωσιν, ἐκπίπτει τῶν λεγατευθέντων αὐτῷ, καὶ τῶν θανάτου αἰτίᾳ δωρηθέντων· εἴτε αὐτῷ ταῦτα κατελείφθη, εἴτε τινὶ τῶν προσοικειζόντων αὐτῷ. Διακατοχὴ ἐστὶ δίκαιον, τὸ ἐξεῖναι κρατεῖν τὴν οὐσίαν, ἢ τὰ πράγματα τοῦ τελευτήσαντος· κινεῖται δὲ παρὰ μὲν τῶν ἐκ πλαγίου συγγενῶν, ἐντὸς ρ̄ ἡμερῶν· παρὰ δὲ τῶν ἀνιόντων, ἐντὸς ἐνιαυτοῦ.

## ΠΕΡΙ ΚΩΔΙΚΕΛΛΟΥ, Τίτλ. ζ.

Ἐὰν ποιήσῃ τις διαθήκην, καὶ παραλίπῃ τινὰ ἅπερ ἤθελεν ἐν αὐτῇ γράψαι, καὶ ὕστερον ἐνθυμηθῇ ταῦτα, τότε γράφει χαρτίον ἄλλο διαλαμβάνον περὶ ὧν ἐπελάθετο ἐν τῇ διαθήκῃ εἰπεῖν, καὶ λέγεται τοῦτο κωδίκελλος, ἤγουν μικρὸν χαρτόπουλλον, ἢ βιβλίδιον· ὡς τοῦ μὲν κώδικος τὸ ὁλόκληρον βιβλίον δηλοῦντος, ἢ τὸν ἀκέραιον χάρτην, τοῦ κωδικέλλου σημαίνοντος τὸ μικρότερον. Γίνεται πολλάκις καὶ

χωρὶς τοῦ ποιῆσαι διαθήκην, κωδίκελλον· ὁπότ' ἂν δὲ διά τινα αἰτίαν τυχὸν καιρὸν ἀνεπιτήδειον, ἢ σπουδὴν, οὐ τελείαν ἢ οὐ δύναιτο τὴν τελείαν διαθήκην ποιῆσαι, καὶ περὶ τῶν προσόντων αὐτῷ καθολικῶς διατάξασθαι, περὶ τῶν ἀναγκαίων ἰδικῶς γράφει, καὶ καλεῖται καὶ τοῦτο κωδίκελλος. Κωδίκελλός ἐστιν, ἐλλιποῦς διαθήκης γνώμης τοῦ διατιθεμένου ἀναπλήρωσις. διαφορὰ δὲ διαθήκης καὶ κωδικέλλου, ὅτι ἐν τῇ διαθήκῃ μὲν, καὶ κληρονόμους καὶ ἀποκληρονόμους ἔξεστι γράφειν, καὶ λεγάτα, καὶ ἐλευθερίας, καὶ ἐνστάσεις, καὶ ἀντικαταστάσεις· ἐν δὲ τῷ κωδικέλλῳ, οὔτε κληρονόμον οὔτε ἀποκληρονόμον. Ἔνστασίς ἐστιν, ἡ πρώτη θέσις τῆς κληρονομίας· τουτέστιν ὁ φύσει πρῶτος βαθμὸς τοῦ κληρονόμου· ἀντικατάστασις, ἡ δὲ ἐξ ἀτυχίας τοῦ πρώτου κληρονόμου ἐπὶ ἕτερον τῆς κληρονομίας κατάθεσις, ἐκ διορισμοῦ τοῦ κληροδοτοῦντος· δῆλον ὡς εἴ τις εἴποι ἔστω μοι ὁ δεῖνα κληρονόμος· εἰ δὲ μὴ, ἔστω ὁ δεῖνα. Οἱ πρὸ τῆς διαθήκης κωδίκελλοι οὐκ ἰσχύουσιν· εἰ μὴ βεβαιωθῶσιν ἐν αὐτῇ, ἢ μεταγενεστέρῳ κωδικέλλῳ, ἢ ἄλλως ἀποδειχθῇ ὁ διαθέμενος βουληθεὶς αὐτοὺς ἐρρῶσθαι. Τῷ κωδικέλλῳ ἀρκοῦσι μάρτυρες πέντε, εἰ κατὰ τύχην ἦλθον, μόνον ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ, τῶν μελλόντων γράφεσθαι προσκαλείσθωσαν εἰς ἀκρόασιν· καὶ τὰ ἐν τῷ κωδικέλλῳ γραφόμενα ἀκουέτωσαν. Κυοφορουμένου ἐπιτικτομένου, αἱ διαθῆκαι ῥήγνυνται, οὐ μὴν οἱ κωδίκελλοι.

## ΠΕΡΙ ΚΛΗΡΟΝΟΜΩΝ. Τίτλ. η'.

Οἱ κληρονόμοι, ἢ ἔνστατοι, ἢ ἀντικατάστατοι λέγονται. ἡ δὲ ἀντικατάστασις, ἢ ἁπλῆ ἐστιν, ὡς τὸ εἰπεῖν ἐὰν μὴ κληρονομήσῃ ὁ δεῖνα, ἔστω ὁ δεῖνα κληρονόμος. ἢ διπλῆ· δῆλον εἴτε κληρονομήσας, εἴτε μὴ κληρονομήσας ὁ δεῖνα, ἄνηβος ἀποθάνῃ, ἔστω κληρονόμος ὁ δεῖνα. Ὁ κληρονόμος, ἢ κληρονόμος οὕτω καθονομάζεται, ἢ φιδεικομμισσάριος λέγεται· δῆλον εἴ τις κληρο-

ρονομείτω με ὁ Γεώργιος, πλὴν οὐχ ἵνα αὐτὸς εἰς τέλος τοῦ βίου μου κληρονομήσῃ· ἀλλ' ἵνα κυβερνήσῃ καὶ διασώσῃ, καὶ ἀποσώσῃ αὐτὸν ὡς γνησίῳ μου κληρονόμῳ τῷ Θεοδώρῳ. τότε γοῦν ὁ μὲν Θεόδωρος φιδεϊκομμισσάριος λέγεται, καὶ τὸ δίμοιρον τῆς καταλειφθείσης οὐσίας κληρονομεῖ· ὁ δὲ Γεώργιος κληρονόμος καλεῖται, καὶ τὸ τρίτον τῆς κληρονομίας λαμβάνει. Πολλοὺς βαθμοὺς ἀποκαταστάσεων δυνατὸν ποιεῖν, καὶ ὕστερον δοῦλον ἀναγκαῖον, καὶ αὐτοὺς ἀλλήλους, καὶ ἑκάστῳ ἕνα, καὶ πολλοὺς ἑνί, καὶ ἕνα πολλοῖς. Αἱ χ[illegible]ειν ἀμειβόμεναι ἀντιστάσεις, οὐκ ἀναφέρονται· οἷον Πέτρος ἐξ ὅσου μέρους γράψει με κληρονόμον, ἔστω μου κληρονόμος. αἱ δὲ εἰς τὸν παρελθόντα χρόνον συγκείμεναι ἀντιστάσεις· οἷον ἐξ ὅσου μέρους ἔγραψέ με Πέτρος κληρονόμον, ἐκ τοσούτου ἔστω μου Παῦλος κληρονόμος. οὐ μόνον δὲ εἰς τὸ πρόσωπον τοῦ διατεθεμένου, ἀλλὰ καὶ εἰς ἕτερον γίνεται, ἡ χ[illegible]ειν ἀμειβομένη ἀντίστασις· οἷον ἐὰν Πέτρος γράψῃ Παῦλον κληρονόμον, ἔστω μου κληρονόμος. Οἱ κατιόντες, κἂν ἄρρενες, κἂν θήλειαι ὦσι, προτιμῶνται τῶν ἀνιόντων καὶ τῶν ἐκ πλαγίου. Ἐὰν εἷς τῶν παίδων κληρονομήσῃ τοῦ ἰδίου γονέως, προσπορίζει τῷ ἑαυτοῦ πάππῳ τὴν χρῆσιν τῶν περιελθέντων. Ἐὰν πάππος τελευτήσῃ ἅμα υἱῷ καὶ ἐγγόνοις ἀπὸ ἄλλου παιδός, οἱ ἔγγονοι, ὑπεισέρχονται τὸ πρόσωπον τοῦ ἰδίου γονέως, καὶ ἅμα τῷ υἱῷ, τουτέστι τῷ ἰδίῳ θείῳ κληρονομοῦσιν αὐτόν· λαμβάνοντες, ὅτι ἔμελλε λαμβάνειν εἰ περιῆν ὁ πατὴρ αὐτῶν, κἂν ἄρρενες, κἂν θήλειαι ὦσιν· εἴτε ὑπεξούσιοι εἰσὶν εἴτε αὐτεξούσιοι. Κατιόντων μὴ ὑπόντων προσκαλοῦνται οἱ ἀνιόντες, τῶν ἐκ πλαγίου πάντων, χωρὶς τῶν ἐκ τῶν αὐτῶν γονέων φύντων ἀδελφῶν. Ἰστέον δ'· ὅτι τῶν ἀνιόντων, προτιμᾶται ὁ ἐγγύτερος τῶν βαθμῶν τοῦ πλησιάζοντος, κἂν θῆλυ πρόσωπον εἴη. εἰ γὰρ εἰσὶ πάντες τοῦ αὐτοῦ βαθμοῦ ὁμοῦ καλοῦνται εἰς κληρονομίαν, καὶ ἐξ ἴσης αὐτοῖς ἡ κληρονο-

ρονο-

ρονομία δοθήσεται· ὥστε τὸ μὲν ἥμισυ λαμβάνειν πάντας τοὺς πρὸς πατρὸς ἀνιόντας, ὅσοι δήποτε ἂν ὦσι· τὸ δὲ ὑπόλοιπον ἥμισυ, τοὺς πρὸς μητρὸς ἀνιόντας, ὅσους δήποτ' ἂν αὐτοὺς εὑρεθῆναι συμβαίη. Μητρὸς τελευτησάσης ἐπὶ ἀνήβῳ θυγατρί, εἰ ἀποθάνοι μετὰ δεκαὲξ ἡμέρας, ἢ ἐλάττους, ἢ καὶ πλείονας ἡ κόρη, παραπέμπεται ἐπὶ τοὺς κληρονόμους αὐτῆς, τὸ τῆς διασκέψεως δίκαιον. Ἐν τῷ δικαστῇ ἐστὶν ὁρίσασθαι τὸν χρόνον τῆς διασκέψεως· ὥστε μέντοι, μὴ ἐλαττῶσαι τὰς ἑκατὸν ἡμέρας, ἔσθ' ὅτε δὲ μὴ ἀρκοῦντος τοῦ πρώτου χρόνου, δίδοται καὶ ἕτερος· τοῦτο δὲ ἀπὸ μεγάλης αἰτίας.

ΝΕΑΡΑ ΤΟΥ ΚΑΙΣΑΡΟΣ ἈΘΑΝΑΣΙΟΥ τοῦ πατριάρχου.

Ἡ δὲ νεαρὰ τοῦ Καίσαρος Ἀθανασίου φησίν, ἵνα ἀκυρωθῇ ὁ διοριζόμενος νόμος τῇ ἀπελθούσῃ ἐπὶ παιδὶ γυναικί, ἢ ἀνδρί, εἶτα καὶ τοῦ παιδὸς ἀπελθόντος, κληροῦσθαι τὸν ζῶντα τὰ τοῦ παιδὸς πάντα, πατρῷα εἰ τύχοι ἢ μητρῷα, καὶ τοῖς ταλαιπώροις γονεῦσι τοῦ τεθνεῶτος, πρὸς τῇ ἀποβολῇ τοῦ φιλτάτου, καὶ τὴν περιουσίαν οὐκ ὀρθῇ διακρίσει στερίσκεσθαι· ἀλλὰ τηρεῖσθαι ὀφείλει τὸ τρίτον αὐτῆς τῆς προικός, εἰς μνημόσυνα τοῦ ἀποιχομένου, καὶ τοῖς γονεῦσι τὸ τρίτον, καὶ τῷ μνηστῆρι τὸ τρίτον, ἢ τῇ μνηστῇ. Οἱ ἀμφιθαλεῖς ἀδελφοί, καὶ ἀδελφαί, καὶ ἀνιόντες, ὁμοῦ καλοῦνται ἐξ ἴσης, καὶ οὐδὲν προαποίσουσι τοῖς γονεῦσιν αὐτῶν οἱ ἀδελφοί, τὴν χρῆσιν τοῦ ἁρμόζοντος αὐτοῖς μέρους, ἐκ τῆς κληρονομίας τοῦ ἰδίου ἀδελφοῦ, κἂν ὑπεξούσιος ᾖ, κἂν αὐτεξούσιος. Ἀνιόντων ὑπόντων τῷ τελευτήσαντι, καὶ ἀδελφῶν γνησίων, καὶ παίδων ἀδελφοῦ ἀμφιθαλοῦς προτελευτήσαντος, πάντες καλοῦνται εἰς τὴν αὐτοῦ διαδοχήν, κἂν ἄρρενες ὦσι κἂν θήλειαι· οἱ γὰρ ἀδελφόπαιδες, ὑπεισέρχονται τὸ τοῦ ἰδίου πατρὸς πρόσωπον, καὶ λαμβάνουσιν ὅ τι ἔμελλε λαμβάνειν εἰ περιῆν ὁ πατὴρ αὐτῶν. Οἱ ἐκ τῶν αὐτῶν γονέων φύντες ἀδελφοί, πρώτην ἔχουσι τάξιν

εἰς τὸ κληρονομῆσαι τὸν ἴδιον ἀδελφὸν, ἄλλων ἀδελφῶν προκειμένων, μὴ ὄντων ἀμφιθαλῶν· πλὴν δὲ εἰ ὕπεισι παῖδες ἑτέρου ἀδελφοῦ αὐτοῦ ὁμομητρίου καὶ ὁμοπατρίου, κἀκεῖνοι ὁμοῦ καλοῦνται· τουτέστιν οἱ ἀδελφοὶ καὶ οἱ παῖδες τοῦ ἀμφιθαλοῦς ἀδελφοῦ, εἰς τὰ τοῦ τελευτῶντος αὐτῶν μὲν ἀδελφοῦ, ἐκείνων δὲ θείου. εἰ δὲ μὴ ὕπεισιν ἀδελφοὶ, ἢ παῖδες ἀδελφῶν τοιούτων, δηλονότι τότε οἱ ἐκ διαφόρων γονέων ἀδελφοὶ, κληρονομοῦσι τὸν ἀποθανόντα ἀδελφόν. Ἐάν τις τελευτήσῃ ἐπ' ἀδελφῷ ἐκ διαφόρων γονέων ὑπάρχοντι, καὶ ἐπὶ υἱοῖς ὁμομητρίου καὶ ὁμοπατρίου ἀδελφοῦ, οἱ τεκναδελφοὶ προτιμῶνται τοῦ ἀδελφοῦ εἰς κληρονομίαν αὐτοῦ· καὶ γὰρ οἱ ἀπὸ τῶν αὐτῶν γονέων θεῖοι, προτιμῶνται ἐκ διαφόρων αὐτῶν γονέων ἀδελφοπαίδων. Ἰστέον δὲ ὅτι ἀδελφῶν ἀμφιθαλῶν καὶ παίδων τοιούτων ἀδελφῶν μὴ παρόντων, τότε οἱ ἐκ διαφόρων γονέων ἀδελφοὶ, κληρονομοῦσι τὸν ἐξ ἑνὸς γονέως ὄντα ἀδελφὸν αὐτῶν.

Ἀδελφοῦ μὴ παρόντος, μήτε ἀδελφόπαιδος, οἱ λοιποὶ ἐκ πλαγίου συγγενεῖς καλοῦνται, οἱ τῷ βαθμῷ μέντοι ὄντες ἐγγύτεροι· κἂν εὑρεθῶσι πολλοὶ τοῦ αὐτοῦ βαθμοῦ ὑπάρχοντες, ἐξ ἴσου κληρονομοῦσιν. Ὅτι εἴπερ οὐκ εἰσὶν ἀδελφοὶ τοῦ τελευτήσαντι, ἀλλὰ ἀδελφόπαιδες μόνον, προτελευτησάντων δύο ἢ πλειόνων ἀδελφῶν, κατὰ πρόσωπον καὶ κεφαλὴν αὐτῶν γίνεται ἡ κληρονομία· τουτέστιν ὅσοι εἰσὶν, ἐξ ἴσου εἰς τὴν κληρονομίαν καλοῦνται. ΜΑΓΙΣΤΡΟΣ. Ἀδιαθέτου τοῦ τελευτήσαντος, καὶ ἔχοντος ἀπὸ πατρὸς πρώτας ἐξαδέλφας δύο, καὶ ἐκ μητρὸς ὁμοίως δύο, ὁ μάγιστρος ἔκρινεν οὕτως· ἐκ τεσσάρων τῶν θείων τοῦ ἀπελθόντος τέσσαρες ἐκφυεῖσαι γυναῖκες, ἃς ἡ συνήθεια ἐξαδέλφας κατονομάζει, οὐχὶ κατὰ σειρὰν εἰς τὴν κληρονομίαν ἤχθησαν, ἀλλὰ κατὰ κεφαλήν. ΣΧΟΛ. Οἷον ἐτελεύτησέ τις ἔχων ἀνεψιοὺς ἐξ ἀδελφοῦ καὶ ἀδελφῆς, ὁ πολιτικὸς νόμος παλαιῶν καὶ εὐδοκιμῶν ἐν τῇ πολιτείᾳ, τοὺς ἐκ τοῦ ἀ-

δελφοῦ

δελφοῦ ἀνεψιοὺς ἐκάλει περὶ τὴν τοῦ θείου κληρονομίαν, ὡς ἐξ ἀρρενογονίας συναπτομένους τῷ τελευτήσαντι, καὶ ὄντας ἀδνατίους· τοὺς δὲ ἐκ τῆς ἀδελφῆς διωθεῖτο, ὡς κογνάτους, ἤτοι ἐκ θηλυγονίας ὄντας ἐκείνῳ συγγενεῖς. καθόλου γὰρ γίνωσκε ὡς θῆλυ πρόσωπον παρεμπεσὸν, διακόπτει τὴν ἀδνατιότητα, ἤτοι τὴν ἐξ ἀρρενογονίας συγγένειαν· θῆλυ γὰρ πρόσωπον κἀνταῦθα τῆς ἀδελφῆς μεσολαβῆσαν, διέκοψε τὴν ἀδνατικὴν συγγένειαν, μὴ συγχωρῆσαν αὐτὴν διόλου παραφυλαχθῆναι, καὶ ταῦτα μὲν ἐνομοθέτει καὶ διωρίζετο ὁ πολιτικὸς νόμος. ἐλθὼν δὲ μετὰ ταῦτα ὁ πραιτώριος, καὶ εὑρὼν τὴν πολιτικὴν νομοθεσίαν τοιαῦτα παρακελευομένην, ἔκρινεν ἄδικον τοὺς ἐκ θηλυγονίας τοῦ κέρδους τῆς διαδοχῆς ἀποπέμπεσθαι, καὶ ταῦτα τῆς αὐτῆς συγγενείας τῷ τελευτήσαντι κοινωνοῦντας, καὶ ἐκάλεσε καὶ τούτους· ὡς γε μαθήσῃ πλατύτερον ἐν τοῖς προσφόροις βιβλίοις, εἰς τὴν τῶν τελευτησάντων ἀδιαθέτων συγγενῶν διαδοχήν.

Ὅτι καὶ ὀγδόου βαθμοῦ συγγενὴς, μὴ ὄντων πλησιεστέρων, καλεῖται εἰς τὴν κληρονομίαν, κατὰ τὸν λέγοντα νόμον, καὶ ὀγδόου βαθμοῦ συγγενὴς, κἂν μὴ ὑπεισέλθῃ τὴν κληρονομίαν, ἔχει τὴν ἐκ τοῦ νόμου βοήθειαν. Ψυχῇ τις ἐγχειρίζει τὴν κληρονομίαν, κἂν μὴ ἅψηται κληρονομιαίου πράγματος, ὅθεν ἐὰν ἐνέχυρα ἐν τῇ κληρονομίᾳ ὄντα, ἢ ἀλλότριον πρᾶγμα ὡς κληρονομιαῖον κατάσχῃ, ἐγχειρίζειν τὴν κληρονομίαν δοκεῖ.

Ὁ μείζων τῶν κε' ἐτῶν, ἅπαξ καταδεξάμενος τὴν τοῦ πατρὸς κληρονομίαν, οὐδὲ παραιτεῖσθαι δύναται, οὐδὲ φεύγειν τὰς τῶν δανειστῶν ἐναγωγὰς, ἐκ τοῦ λέγειν γ'. ὁ ἀδελφὸς αὐτῷ βίαν ποιεῖ, καὶ ἁρμόζει τὸ μέρος αὐτοῦ, ἤτοι τὴν διαθήκην· ἀλλ' ἐνάγει κατὰ τὰ μέρη τῆς κληρονομίας. Ὁ μὴ γεγραμμένος κληρονόμος, ἐὰν συμπαίξας τοῖς κληρονόμοις, μόνος ἐξ ἀδιαθέτου νέμηται, δίδωσι τὰ λεγάτα. Οἱ κληρονόμοι μὴ ἐκδικήσαντες τὸν φόνον τοῦ βιαίως τελευτήσαντος κληρονό-

δὸ τοῦ, ἀλλὰ διδοῦσι τὰ πράγματα καὶ τοὺς καρποὺς, πλὴν εἰ μὴ ἀφήλικες εἰσίν. Καὶ ὁ ἀνὴρ μὴ ἐκδικῶν τὸν θάνατον τῆς γυναικὸς, ἀφαιρεῖται τὴν προῖκα· ἐπειδὴ πάντας τοὺς κληρονόμους καὶ τοὺς ἐν τάξει κληρονόμων καθήκοντας, ἑτοίμους εἶναι δεῖ περὶ τὴν ἐκδίκησιν τοῦ πλουτήσαντος.

## ΠΕΡΙ΄ ΣΥΝΕΙΣΦΟΡΑ͂Σ.

Εἰ πατὴρ προικίζων τὴν αὐτοῦ θυγατέρα συνεφώνησεν ἀρκεῖσθαι αὐτὴν τῇ δοθείσῃ ὑπὲρ αὐτῆς προικί, καὶ μὴ ἐπέχειν μέρος ἐκ τῆς αὐτοῦ κληρονομίας, οὐκ ἔρρωται τὸ σύμφωνον τοῦτο, οὐδὲ κωλύεται κληρονομεῖν, ἀδιαθέτου αὐτὸν πλουτήσαντα, ἡ θυγάτηρ, τοῖς μένουσιν ὑπεξουσίοις ἀδελφοῖς συνεισφέρουσα τὴν προῖκα. Τὴν πρὸ γάμου δωρεὰν ὥσπερ τὴν προῖκα δεῖ συνεισφέρεσθαι, ἀδιαθέτου πλουτῶντος τοῦ ταύτην ἐπιδεδωκότος· εἴτε μητὴρ ἐστὶν, εἴτε πατὴρ, ἢ τις τῶν ἀνιόντων, ἢ περὶ πατρὸς ἢ περὶ μητρός. Ὅτε ἐξ ἀδιαθέτου συγκληρονομοῦσιν οἱ αὐτεξούσιοι τοῖς ἀδελφοῖς τοῖς ὑπεξουσίοις, συνεισφέρουσι καὶ αὐτοὶ τὰ ἀπὸ πραγμάτων γονικῶν περιελθόντα αὐτοῖς καὶ τῇ χρήσει. Οὐ μὴν δὲ τὰ ἀπροσπόριστα, ὥσπερ οὐδὲ τὸ πεκούλιον. Οἱ αὐτεξούσιοι παῖδες, ἐκεῖνα συνεισφέρουσι τοῖς ἀδελφοῖς τοῖς ἰδίοις, ὅσα εἶχον ἐν καιρῷ τῆς τελευτῆς τοῦ ἰδίου πατρός. Ἔτι δὲ μετὰ ταῦτα ἐπεκτήσαντο, οὐ συνεισφέρουσιν. Ὑπεξαιροῦμεν δὲ καὶ ἐκ τούτων τῶν πραγμάτων τῶν ὄντων ἐν καιρῷ τῆς τελευτῆς τοῦ πατρὸς, ὅσα ἐχρεώστουν· τὴν γὰρ καθαρὰν οὐσίαν αὐτῶν συνεισφέρουσιν. Ὁ αὐτεξούσιος κἂν αἰτήσῃ τὴν κατὰ τῆς διαθήκης τοῦ πατρὸς ἐναντίωσιν, οὐ συνεισάγει τὴν προῖκα, ἣν ὑπὲρ τῆς οἰκείας ἐπιδέδωκε θυγατρός· αὐτοῦ γὰρ ἡ οὐσία, καὶ οὐ τοῦ ἐπιδεδωκότος. Ἔδωκέ τις προῖκα τῇ ἑαυτοῦ θυγατρί, ὁ ἀνὴρ ταύτης ἀπόρων, ἐδαπάνησε τὴν προῖκα. ὕστερον βούλεται ἡ θυγάτηρ εἰς τὴν πατρικὴν κληρονομίαν εἰσελθεῖν, ἀπαιτεῖται παρὰ τῶν ἀδελφῶν, τὴν δοθεῖσαν

προῖκα συνεισβαλεῖν, ἤγουν ἀγαγεῖν, καὶ οὕτως ἐπ᾽ ἴσης τούτοις τὰ πατρικὰ μερίσασθαι πράγματα· ἡ δὲ οὐκ ἔχει, μόνην δὲ συνεισφέρει τὴν κατὰ τοῦ ἀνδρὸς ἀγωγήν. τί γοῦν δεῖ ἐπὶ τούτοις γενέσθαι, ὁ νόμος δείξει· ὡς εἰ μὲν αὐτὴ ἡ θυγάτηρ καθ᾽ ἑαυτὴν αὐτεξουσία ἐγένετο, ἐπεὶ τὸν ἄνδρα ἔβλεπε τὰ οἰκεῖα καταναλίσκοντα, καὶ οὐδὲν ἔλεγεν, οὐ δὲ ἐκίνει κατὰ τοῦ ἀνδρὸς ἀγωγήν, ἑαυτῇ ὀφείλει ἐπιμέμφεσθαι, καὶ οὕτω τῆς πατρικῆς κληρονομίας ἐξάγεσθαι. εἰ δὲ ὑπὸ τὸν πατέρα ἦν ὡς ἔτι ὑπεξουσία, ἢ καὶ ἄλλως μὲν δίηγε καθ᾽ ἑαυτήν· ἠξίωσε δὲ τῷ πατρὶ ἀνενεγκεῖν, καὶ ἀνήνεγκε, καὶ παρεκίνησεν αὐτὸν ἵνα ἀντιλάβηται αὐτῆς καὶ βοηθήσῃ κατὰ τοῦ ἀνδρός, ὁ δὲ πατὴρ οὐκ ἐβοήθησε ταύτῃ, τότε ἵνα εἰσέρχηται καὶ αὐτὴ εἰς τὴν πατρικὴν κληρονομίαν οὕτως, ὥσπερ ἐὰν εἶχε τὴν προῖκα σωζομένην καὶ συνεισέφερεν αὐτήν, ὡς τῆς αἰτίας ἁπάσης ἀγομένης εἰς τὸν πατέρα, τὸν μὴ κατὰ τοῦ ἀνδρὸς αὐτῆς ἐκδικήσαντα. Τὰ μὲν ἀπολειφθέντα παρὰ τῶν γονέων, ἐξ ἴσου μερίζονται, ἐὰν οὐ διέθετο. εἰ δὲ διαθήκην ἐποίησε, λαμβάνει ἕκαστος αὐτῶν, πρὸς ὃ διετύπωσεν ὁ πατήρ· ἃ δὲ ἔχουσιν, ἢ ἐν προικί, ἢ ἐν ἄλλῃ δωρεᾷ προγαμιαίᾳ, συνεισφέρουσιν. ἐὰν οἱ λοιποὶ αὐτῶν ἀδελφοὶ οὐκ ἔχωσιν ὅπως δήποτε ἐν αὐτοῖς τὸ νόμιμον μέρος, παρὰ τοῦ κοινοῦ αὐτῶν γονέως· τότε γὰρ οἱ ἔχοντες, ἀναπληροῦσι τοὺς μὴ ἔχοντας τὸ ἴσον μέρος, ἐξ ὧν ἔχουσιν ἔξωθεν. Τὰ δωρηθέντα τοῖς παισὶ μετὰ τὴν τελευτὴν τοῦ ἰδίου πατρός, οὐ συνεισφέρονται. εἰ δὲ ζῶν ὁ πατὴρ ἐδωρήσατο αὐτοῖς, συνεισφέρονται· εἰ μὴ ἄρα ῥητῶς ἐκέλευσεν αὐτὰ μὴ συνεισφέρεσθαι.

## ΕΤΙ ΠΕΡΙ ΣΥΝΕΙΣΦΟΡΑΣ.

Ἡ δὲ συνεισφορὰ γίνεται οὕτως, ἐὰν προικοδοτήθησαν τινὲς παῖδες, καὶ τὴν ἀνήκουσαν αὐτοῖς κληρονομίαν λαβόντες, ἢ τὴν προῖκα ὁπόσην οἱ γονεῖς ἔδωκαν τούτοις δεξάμενοι, ἐγένοντο αὐτεξούσιοι, μετὰ ταῦτα ἐτελεύτησεν ὁ πατήρ, ἢ μηδόλως δια-

θήκην ποιήσας, ἢ ποιήσας μὲν διαθήκην, αὐτῶν δὲ μὴ μνημονεύσας, οὐ δέχονται τοῦτο οἱ τοιοῦτοι παῖδες· ἀλλὰ θέλουσιν εἰσελθεῖν εἰς τὴν πατρικὴν κληρονομίαν, μετὰ τῶν λοιπῶν ἀδελφῶν, οἷς πρότερον οἱ γονεῖς οὐκ ἐδωκάν τι· καὶ ζητοῦσι τὴν πατρικὴν οὐσίαν, ἐπ' ἴσης τοῖς ἀδελφοῖς συμμερίσασθαι, καὶ κινεῖται περὶ τῆς τοιαύτης ὑποθέσεως ἀγωγή. τότε οὖν ὁ νόμος κελεύει, ἵνα συνεισφέρωσι κἀκεῖνοι ὃ πρότερον ἐδόθη αὐτοῖς, καὶ κοινώσωσι τοῦτο τοῖς ἑτέροις πατρικοῖς πράγμασι, καὶ μετὰ ταῦτα μερισμοῦ γινομένου, λάβωσι κἀκεῖνοι, εἴ τι ἀνήκει καὶ τούτοις ἐκ τῶν πραγμάτων τῶν πατρικῶν, ἐπ' ἴσης μεριθέντων τοῖς ἀδελφοῖς· καὶ τοῦτο καλεῖται παρὰ τοῦ νόμου συνεισφορά. καὶ ὅστις ἀπὸ τῶν παίδων, ἢ προῖκα λάβοι, ἢ τὴν ἀνήκουσαν κληρονομίαν, καὶ ἀπεκβληθῇ, οὐ δύναται ἄλλως μετὰ τῶν λοιπῶν ἀδελφῶν τῶν μὴ λαβόντων κληρονομίαν ἢ προῖκα, τὴν πατρικὴν μερίζειν κληρονομίαν, εἰ μὴ τὴν ἣν εἴπομεν ποιήσει συνεισφοράν. Οὐ συνεισφέρουσι τοῖς ἀδελφοῖς οἱ ἀξιωματικοί. Ὁ κυοφορούμενος πρὶν ἢ τεχθῇ οὐ συνεισφέρει, οὔτε ἀδελφός, οὔτε ὁ ἐπίτροπος αὐτοῦ. Ἡ ἐκ διαθήκης κληρονομοῦσα τῆς μητρός, οὐκ ἀναγκάζεται συνεισφέρειν τὴν προῖκα αὐτῆς. Ἡ τῆς κληρονομίας ἀπαίτησις, οὐκ ἐκβάλλεται τῇ τοῦ μακροῦ χρόνου παραγραφῇ, ἀλλὰ τῇ τριακονταετηρίδι ἀποκλείεται. Ὅτι ὁ τῆς τριακονταετίας χρόνος, ἐπί τε κληρονομίᾳ καὶ τοῖς λεγάτοις ἁρμόζει. Ἡ τῶν κληρονομιαίων ἀπαίτησις, κινεῖται μὲν κατὰ τῶν ὡς κληρονόμων, ἢ ὡς μὴ ἀγαθὴν διακατοχὴν νεμομένων, οὐκ ἀντίκειται δὲ αὐτῇ ἡ τῶν δέκα, ἢ τῶν εἴκοσιν ἐνιαυτῶν παραγραφή· ἐπειδὴ ἀναμεμιγμέναι εἰσὶν αὐτῇ αἱ προσωπικαὶ ἀγωγαί, αἵτινες οὐκ αἱροῦνται τῇ τῶν δέκα ἢ κ̄ ἐνιαυτῶν παραγραφῇ. οἱ δὲ μήτε ὡς κληρονόμοι, μήτε ὡς ἅρπαγες νεμόμενοι, οὐκ ἀντέχονται τῇ τῶν κληρονομιαίων ἀπαιτήσει· ἀλλὰ τῇ περὶ τῶν καθέκαστα κινου-

μένων ἀπογῇ, εἰ μήτε διὰ χρήσεως ἐδέσποζεν, μήτε μακροῦ χρόνου παραγραφὴν ἐκτήσατο. καὶ ὁ κωφὸς, καὶ ὁ ἄλαλος καλῶς ἐνίστανται κληρονόμοι. τὰ ἐν μέσῳ συμβαίνοντα τῷ κληρονόμῳ οὐ βλάπτει· διὸ ἐὰν πολυοειδῆ ἢ ἰσοειδῆ, καὶ πάλιν ἀποκαταστῇ ἔρρωται ἡ ἔνστασις, εἰ καὶ τὸ ὄνομα τοῦ κληρονόμου μὴ λεχθῇ, ἀλλ' ὁμολογούμενον γνώρισμα. οἱ κληρονόμοι, δικαίου εἰσὶ διάδοχοι, καὶ ἐὰν μὴ διέλθῃ εἰς αὐτοὺς ὁ διαθέμενος, ἐξ ἴσου καλοῦνται. καὶ ὁ αἰχμάλωτος διὰ τὴν ἐλπίδα τῆς ὑποστροφῆς, καλῶς γράφεται κληρονόμος, καὶ ὁ δοῦλος αὐτοῦ, ὃς ἐὰν ὑποστρέψῃ λαμβάνει τὴν κληρονομίαν. ἔγραψά σε κληρονόμον, εἶτα φήμης γενομένης ὡς ἐτελεύτησας, δευτέραν ἔγραψα διαθήκην οὕτως εἰπὼν, ἐπειδὴ ὃν ἤθελον οὐκ ἠδυνήθην σχεῖν κληρονόμον, ἔστω ὁ δεῖνα κληρονόμος· ἀλλὰ γοῦν τὴν γνώμην μου, σὺ ὁ πρότερος γίνῃ κληρονόμος, καὶ δίδως τὰ ἐν τῇ διαθήκῃ λεγάτα, ὡσανεὶ ἐν αὐτῇ ἐγγραφείς.

ΠΕΡῚ ΚΛΗΡΟΝΟΜΊΑΣ ἈΝΔΡῸΣ ΚΑῚ ΓΥΝΑΙΚΌΣ.

Ἡνίκα τελευτήσῃ ὁ ἀνὴρ ἢ ἡ γυνὴ ἀδιάθετοι, καὶ μηδένα ἐκ τῶν ἀνιόντων, ἢ κατιόντων, ἢ τῶν ἐκ πλαγίου, ἐννόμους ἢ φυσικὸν σχοίησαν διάδοχον, τότε ὁ ἀνὴρ εἰς τὴν τῆς γυναικὸς καλείσθω ἐξ ὁλοκλήρου κληρονομίαν, καὶ ἡ γυνὴ τὸν ἄνδρα διαδεχέσθω. καὶ γὰρ ὁ νόμος καὶ ἡ φυσικὴ δικαιοσύνη, δῶα-πωτέρους τῆς γυναικὸς τίθεται τοὺς ἀδελφούς· τότε γὰρ μόνους ἀνὴρ, ἢ γυνὴ κληρονομοῦσιν ἀλλήλους, ὅταν πᾶσα ἡ συγγενῶν ἀπορία τυγχάνῃ. Δύο μησὶ συνοικήσας τῇ γυναικὶ, κληρονομεῖ αὐτῆς. Γράφειν δυνάμεθα κληρονόμους, τοὺς μὲν ἐλευθέρους· τοὺς δὲ οἰκέτας, καὶ οἰκέτας ἡμετέρους, ἔτι δὲ καὶ ἀλλοτρίους, ἀλλὰ καὶ δίχα ἐλευθερίας, ἡ τοῦ οἰκέτου ἔνστασις ἔρρωται· ἡ γὰρ χωρὶς ἐλευθερίας γραφέντας αὐτοὺς, ἀκωλύτως ἤδη τὴν κληρονομίαν καλεῖ. τοὺς δού-

λους

λους τῶν δυναμένων γράφεσθαι κληρονόμων, δυνάμεθα γράφειν κληρονόμους· ὁ γὰρ δοῦλος ἐκ προσώπου τοῦ δεσπότου αὐτοῦ, ἔχει διαθήκης προνόμιον. Οὐκ ἀεί τις τὸν ἴδιον δοῦλον ἔνστατον γράφει κληρονόμον; ἰσχυρῶς· δῆλον οὐδὲ περὶ ἐλευθερίας, ὡς ἐπὶ τοῦ τοιούτου θέματος. ΣΧΟΛ.

Ἀπέθετό τις ἀνὴρ κατηγορίαν κατὰ τῆς ἰδίας γυναικός, λέγων αὐτὴν ὑπὸ τοῦ ἰδίου δούλου μοιχεύεσθαι· μήπω περαιωθέντος τοῦ δικαστηρίου, ἡ εἰρημένη γυνὴ τελευτῶσα, τὸν εἰρημένον δοῦλον μετὰ ἐλευθερίας ἐνεστήσατο κληρονόμον, μετὰ τὴν ἐκείνης τελευτὴν, ζήτησις γέγονεν, εἰ ἄρα ἔρρωται τὰ τῆς ἐνστάσεως, καὶ οἱ νομικοὶ ἀντέγραψαν, τὸν οἰκέτην ἔνοχον ὄντα τῇ μοιχείᾳ οὐκ ἰσχυρῶς ἐν τῇ διαθήκῃ ἐλευθεροῦσθαι, πρὸ τοῦ πέρατος τοῦ δικαστηρίου ὑπ' ἐκείνης αὐτοῦ τῆς δεσποίνης, ἥτις ὡς ὑποπεσοῦσα τῷ αὐτῷ ἐγκλήματι κατηγορεῖται· ὥστε οὖν ἡ ἔνστασις ἡ ἐπὶ τῷ τοιούτῳ γενομένη δούλῳ, πάσης ἐστὶν ἰσχύος ἐκτός.

Οἱ γνησίως τινὰ κληρονομεῖν ὀφείλοντες, ἐὰν ὁ μέλλων παρὰ τούτων κληρονομεῖσθαι, ἐνόρκως ἢ ἄλλως ἀσφαλισάμενος, τὴν ἑαυτοῦ παραστήσῃ περιουσίαν, οὔτε ζητεῖν ἔτι περὶ ταύτης ὀφείλουσιν, οὔτε κατ' ἀλλήλων κινεῖν· εἰ δὲ μὴ ὁ τοῦτο τολμῶν, τῆς ἀνηκούσης αὐτῷ κληρονομίας ἐκβάλλεται, καὶ ἀνάξιος κληρονομῆσαι τι τῶν πραγμάτων τοῦ τελευτήσαντος κρίνεται. εἰ δὲ μὴ κατὰ λόγον κληρονομίας, ἀλλὰ διά τι προηγησάμενον δάνειον, τὴν περιουσίαν τοῦ τελευτήσαντος ζητοῦσιν, ἔξεστι μετὰ τὴν ἔνορκον ἐκείνου ἀσφάλειαν, περὶ ταύτης ζητεῖν. Μήτηρ ψευδῶς ἀκούσασα τὸν στρατιώτην υἱὸν αὐτῆς τελευτῆσαι κληρονόμον ἄλλον ἔγραψεν, ζῇ ὁ υἱός, λαμβάνει τὴν κληρονομίαν, καὶ δίδωσι τὰ λεγάτα καὶ τὰς ἐλευθερίας. Ὁ βουλόμενος ὑπεισελθεῖν, ἢ παραιτήσασθαι τὴν κληρονομίαν, ἐντὸς ἐνιαυτοῦ ὀφείλει τοῦτο ποιεῖν, καὶ πληροῦν ἐκ παντὸς τρόπου τὴν γνώμην τοῦ τελευτήσαντος. εἰ

γάρ

γάρ τις ἐκ ψήφου δικαστικῆς ὑπομνησθείς, ἐνιαυτὸν ὅλον ἑλκύσει μὴ πράττων τοῦτο ὃ προσετάχθη· εἰ μέν τις ἐκείνων εἴη τῶν ἀναγκαστικῶς ἐκ τοῦ νόμου τι λαμβανόντων, εἰς πλέον δὲ ἢ καθόσον ὁ νόμος αὐτῷ δίδωσι γέγραπται κληρονόμος, τοσοῦτον αὐτὸν λαμβάνειν μόνον, ὁπόσον αὐτῷ ὁ νόμος δίδωσι κατὰ τὴν τρίτην τῆς ἐξ ἀδιαθέτου μοῖραν συγχωροῦμεν, τὸ δὲ σύμπαν ἀφαιρεῖσθαι. εἰ δὲ μὴ εἴη τοιοῦτον πρόσωπον, καὶ τὸ προστεταγμένον ἔσω τοῦ ῥηθέντος οὐ πληρώσειε χρόνου, οὐδ᾽ ὁπωσοῦν λήψεται τῶν καταλελειμμένων αὐτῷ· ἀρχὴν δὲ τοῦ ἐνιαυτοῦ φησὶ δίδομεν, τὴν ἐκ δικαστικῆς ὑπόμνησιν ψήφου. ἀνήβοις δὲ καὶ ἐλάττοσιν, οὐδὲν ὁ παρὼν προκρίνει νόμος. Ἐπὶ τῶν ἁμαρτημάτων, οὐκ εἰς τὴν ποινήν, ἀλλ᾽ εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνέχεται. τότε εἰς τὸ περιελθὸν ὁ κληρονόμος ἐνέχεται, ὅτε οὐκ ἐξ οἰκείου δόλου, ἀλλὰ τοῦ τελευτήσαντος ἐνάγεται.

Ὁ κληρονόμος, τὸ αὐτοῦ δίκαιον ἔχει, ὅπερ ὁ τελευτήσας.

ΣΧΟΛ. Ὁ ἔχων οὐσούφρουκτον ἀγροῦ, ἢ οἴκου, δίκαιον λέγεται ἔχειν· καὶ δίκαιον οὐ πραγματικόν, ἀλλὰ προσωπικόν, ὃ ἕως οὗ τις ζῶσι συναριθμεῖται, ἀπολαύει τῆς χρήσεως τῶν καρπῶν. οὐσούφρουκτος γὰρ κατὰ Ῥωμαίους, ἡ χρῆσις λέγεται, καὶ ἀποκερδαίνει αὐτάς· τελευτήσαντος δὲ αὐτοῦ, σβέννυται ἡ χρῆσις καὶ εἰς κληρονόμους οὐ διαβαίνει. διατί; διότι προσωπικὸν ἦν τὸ δίκαιον, καὶ συνεσβέσθη τῷ προσώπῳ τοῦ τελευτήσαντος. εἰ δ᾽ ὁ τελευτήσας ἐχρεωστεῖτο παρά τινος ρ̄ Γι. ἢ εἶχεν ἀπογλὼ τῶν κτημάτων διαφερόντων αὐτῷ δεσποτικῶς, ἔχει ταῦτα καὶ ὁ κληρονόμος διότι οὐκ εἰσὶ προσωπικά, ἀλλὰ τῆς οὐσίας· ὡσαύτως καὶ ὁ κοινωνός, εἰ χρεωστεῖ τῷ κοινωνῷ, καὶ ὁ ἀνὴρ εἰ χρεωστεῖ τῇ γυναικὶ τῆς προικὸς αὐτῆς διαζυγείσης ὑπ᾽ αὐτοῦ, καταδικάζονται καὶ ἀπαιτοῦνται οὐχ ὁλόκληρα τὰ χρέη, ἀλλὰ μέχρις εὐπορείας, καταλιμπανομένων αὐτοῖς τῶν ὑπαρχόντων εἰς ἀποτροφήν. ἀλλὰ τοῦτο τὸ προνόμιον καὶ τὸ δίκαιον ὡς προσωπικὸν οὐ διαβαίνει εἰς κληρονό-

ρονόμοις, ἀλλὰ πλουτήσαντος τοῦ κοινωνοῦ, ὁ τούτου κληρονόμος ὁλόκληρον ἀπαιτεῖται τὸ χρέος· ὡσαύτως καὶ ὁ τοῦ ἀνδρὸς κληρονόμος ὁλόκληρον ἀπαιτεῖται τὴν προῖκα. μὴ παρεωμένων αὐτῷ τῶν πρὸς διατροφὴν ἀρκούντων, εἰ μήπου παῖς ἐστι κοινὸς τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς τῆς ἀπαιτούσης τὴν προῖκα· τότε γὰρ καὶ οὗτος μέχρις εὐπορείας ἀπαιτεῖται, πλὴν οὐ περὶ δικαίου τῆς κληρονομίας, ἀλλὰ περὶ προνομίου τῆς υἱότητος, καὶ ὁ υἱὸς γὰρ μέχρις εὐπορείας ἀπαιτεῖται, καὶ ὁ πατὴρ δὲ ἢ μήτηρ. γίνωσκε δὲ ὅτι τὰ ἁρμόζοντά τινι δίκαια, ἢ προσωπικά εἰσι, καὶ τῇ τελευτῇ τοῦ προσώπου σβεννύμενα, ἢ πραγματικὰ καὶ τῆς οὐσίας, καὶ διαβαίνουσι καὶ εἰς κληρονόμους. Κληρονομία ἐστὶν, ἡ εἰς ὁλόκληρον διαδοχὴ τοῦ δικαίου, ὅπερ ὁ διαθέμενος εἶχε.

ΣΧΟΛ. τὸ τῆς διαδοχῆς ὄνομα, πολυσήμαντόν ἐστι, λέγεται γὰρ διάδοχος, καὶ ἀπὸ δωρεᾶς πέτρου ἢ πράσεως· ἀπὸ ἀνταλλαγῆς, ἢ ἀπὸ λεγάτου λαβεῖν πρᾶγμα τοῦ πέτρου ἀλλ' οὗτοι εἰ καὶ διάδοχοι λέγονται, ἀλλ' οὐ λέγονται δικαίου διάδοχοι, ἀλλὰ πράγματος, καὶ δῆλον ἐκ τούτου. ὁ πέτρος ἔχων ἀγρὸν τὸν γρηγοριανὸν, ὡμολόγησε διδόναι τῷ ἀγρῷ τοῦ ὁμοροῦντος κατ' ἔτος ρ̄ μοδίους σίτου, ἐκ τοῦ ἀγροῦ τοῦ γρηγοριανοῦ, εἶτα πέπρακε τὸν γρηγοριανὸν ἀγρὸν πρὸς τὸν παῦλον· ὁ παῦλος οὐκ ἀπαιτηθήσεται τοὺς ἑκατὸν μοδίους τοῦ σίτου παρὰ τοῦ ἔχοντος τὸν ἀγρὸν τὸν ὁμοροῦντα, διότι πράγματος γέγονε διάδοχος, ἤγουν τοῦ ἀγροῦ, οὐ μὴν καὶ τῆς ἐπερωτήσεως, ἤτοι τῆς ὁμολογίας, ἥτις ἐστὶν ἀσώματον δίκαιον, καὶ τῷ προσώπῳ τοῦ ὁμολογήσαντος ἐμπηγνύμενον. λέγεται διάδοχος καὶ ὁ κληρονόμος, εἴτε ἀπὸ διαθήκης ἐστὶν, εἴτε ἐξ ἀδιαθέτου· ὁ δὲ διάδοχος οὐχὶ πράγματος ἑνὸς ἢ δικαίου ἑνὸς, τυχὸν ἀγορᾶς μιᾶς, ἀλλὰ παντὸς δικαίου, ὅπερ ὁ τελευτήσας εἶχεν. ἔστω ὡς ἐπὶ θέματος τοῦ ἀνωτέρου, ἐτελεύτησεν ὁ πέτρος ὁ τὸν γρηγοριανὸν ἔχων, ἐκληρονομήθη ὑπὸ

τοῦ

τοῦ Γαΐου, ὁ Παῦλος ἀπαιτηθήσεται τοὺς ρ' σίτου μοδίους, ἰσχυρῶς· γέγονε γὰρ διάδοχος παντὸς τοῦ δικαίου τοῦ Πέτρου, ἄλλος γάρ ἐστι διαθέμενος ὁ κληρονόμος, καὶ ὅσας ἀγωγὰς εἶχεν ὁ τελευτήσας, εἴτε προσωπικὰς, εἴτε πραγματικὰς, ἔχει ταύτας καὶ αὐτὸς, καὶ ὅσαις ὑπέκειτο ὁ τελευτήσας καὶ ζῶν ἔνοχος, ὑπόκειται καὶ ὁ κληρονόμος. μόνον εἰσὶν αἱ οὐσιακαὶ ἀγωγαί, καὶ τὰ προνόμια. δι' ὃ λέγω, ἐπηρωτήθη ὁ τελευτήσας δοῦναι Πέτρῳ ρ' νι. ἀναγκάζεται καὶ ὁ κληρονόμος αὐτοῦ δοῦναι ταῦτα. ἠγόρασεν ὁ τελευτήσας ἀπό τινος κτῆμα, καὶ οὐκ ἔφθασε παραλαβεῖν αὐτό, ὁ κληρονόμος αὐτοῦ δύναται καταναγκάσαι τὸν πωλήσαντα, ποιῆσαι τὴν παράδοσιν πρὸς αὐτόν, εἶχεν ὁ τελευτήσας κατά τινος πραγματικὴν ἀγωγήν, κρατοῦντος κτῆμα, ἢ οἰκίαν διαφέρουσαν αὐτῷ, ἔχει ταύτην καὶ ὁ κληρονόμος αὐτοῦ, ὥσπερ καὶ τὸ ἀνάπαλιν. εἰ ὁ τελευτήσας κατεῖχεν ἀλλότριον κτῆμα ἢ οἰκίαν, ἐναχθήσεται ὁ κληρονόμος αὐτοῦ περὶ αὐτῶν. ἐὰν δὲ ἀγωγὰς εἶχεν ὁ διαθέμενος, ἢ ὑπέκειτο ἀγωγαῖς μὴ φερομέναις πρὸς τὴν οὐσίαν, ἀλλὰ περὶ ἐκδίκησιν τοῦ ἰδίου προσώπου, ἢ τὸ ἀνάπαλιν περὶ τιμωρείαν, αὗται οὐ διαβαίνουσιν εἰς κληρονόμους τοὺς διαδόχους παντὸς τοῦ δικαίου· εἰ μὴ που παρὰ δικαστηρίοις ἐκινήθησαν. δι' ὃ Πέτρος ἔτι ζῶν ὑβρίσθη παρὰ τοῦ Παύλου καὶ ἠρεμήσας αὐτοῦ κατὰ τοῦ Παύλου ἡ περὶ ὕβρεως ἀγωγή, ἤ τις οὐκ ἀνακαλεῖται ἢ ἀπαιτεῖ πρᾶγμα τι ἀφαιρεθὲν ἀπὸ τῆς οὐσίας τοῦ Πέτρου, ἀλλ' ἐκδικεῖ τὴν τιμὴν τοῦ ὑβρισθέντος. ἢ τὸ ἀνάπαλιν, ὕβρισε τινὰ καὶ ὑπέπεσε τῇ περὶ ὕβρεως ἀγωγῇ, αὗται οὐ διαβαίνουσιν εἰς κληρονόμους, οὔτε κατὰ κληρονόμων δίδονται· οὐ γάρ εἰσι μέρος τῆς οὐσίας, ἀλλὰ σβέννυνται τῇ τελευτῇ τῶν ἀμφισβητησάντων· εἰ μὴ πολλάκις ἐκινήθησαν ἐν δικαστηρίῳ, ἔτι ζώντων τῶν ἀμφισβητησάντων· τότε γὰρ ἁρμόζουσι καὶ κληρονόμοις, καὶ δίδονται καὶ κατὰ κληρονόμων. Ὅπου ἡ κληρονομία, ἐκεῖ καὶ ἡ ἐπιτροπὴ χωρὶς

γυναικός. ΣΧΟΛ. τὸ ἐπιτροπεύειν καὶ πάλαι ἦν καὶ νῦν βάρος ἦν· καὶ ἐδίδοτο τοῖς ἀνθρώποις κατ' ἀξίαν καὶ οὐχ ὡς ἔτυχεν. δι' ἐὰν ἐτελεύτησέ τις τυχὸν ἀδιάθετος καταλιπὼν ἕνα ἢ δύο παῖδας ἀνήβους, ἤτοι ἐλάττους τῶν ἰδίων ἐτῶν, οἱ τοιοῦτοι παῖδες δέονται ἐπιτρόπου, καὶ ζητεῖ ὁ ἄρχων τυχὸν ἢ ὁ δικαστὴς, τίνα δώσει ἐπίτροπον, καὶ μανθάνει παρὰ τοῦ νόμου ἤτοι τοῦ παρόντος κεφαλαίου, ὅτι ἐκεῖνον ποίησον ἐπίτροπον τῶν παίδων, τὸν καὶ προτιμώμενον εἰς τὴν κληρονομίαν αὐτῶν. τέλος εἴ τις προτιμᾶται εἰς τὴν κληρονομίαν αὐτῶν ἐὰν πλουτήσωσιν, ἐκεῖνος καὶ τὸ βάρος ὑποδεξάσθω τῆς ἐπιτροπῆς· ὅπου γάρ φησιν ἡ κληρονομία, ἐκεῖ καὶ ἡ ἐπιτροπή. δι' ἔχουσιν οἱ παῖδες ἀδελφὸν προδιοικηθέντα περὶ τοῦ ἰδίου πατρὸς, ἔχουσι καὶ θείους, ὁ ἀδελφὸς αὐτῶν ἐπιτροπεύσει, διότι καὶ προτιμᾶται τῶν ἄλλων πάντων εἰς τὴν κληρονομίαν. ταῦτα δὲ γίνεται, πλὴν γυναικός· εἰ γὰρ καὶ προτιμᾶται γυνὴ εἰς κληρονομίαν, ἀλλ' οὖν εἰς ἐπιτροπὴν οὐ καλεῖται. διότι λέγει ὁ νόμος, γυνὴ πολιτικὸν ὀφφίκιον οὐ μετέρχεται καὶ ἡ ἐπιτροπή, μᾶλλον ἐστὶ πολιτικὸν ὀφφίκιον. δι' ἐὰν οἱ παῖδες ἔχωσι τελείαν ἀδελφὴν ἢ προδιοικηθῇ· ἔχωσι δὲ καὶ θείους πρὸς πατρὸς ἢ πρὸς μητρὸς, εἰς μὲν τὴν κληρονομίαν ἡ ἀδελφὴ προτιμᾶται· εἰς δὲ τὴν ἐπιτροπὴν οὐκ ἀναγκάζεται ὑπεισελθεῖν. γίνωσκε δὲ ὅτι ἐπὶ υἱὸς θέματος ἐπιτροπεύει γυνή· δι' ἐὰν μητὴρ ἔχῃ παῖδας ἀνήβους, καὶ ἀποτάξηται τῇ δευτερογαμίᾳ, ἐπιτροπεύει αὐτῶν. Οὐδεὶς πλέον οὗ ἔχει, τῷ ἰδίῳ παραπέμπει κληρονόμῳ. Ὅτι ἀπὸ δόλου τοῦ τελευτήσαντος εἰς τὸ ὑπεισελθεῖν ὁ κληρονόμος ἐνάγεται, ἀρκεῖ πρὸς ῥοπὴν ὑπεισελθεῖν εἰς αὐτόν. Ἀντὶ μὴ γεγραμμένου ἐστὶ τὸ καταλιμπανόμενον ἐν διαθήκῃ, τοῖς ὑπευθύνοις τιμωρίαις.

## ΠΕΡΙ ΤΟΥ ἘΝΟΜΕΝΟΥ ΤΗ ἘΠΙΤΡΟΠΕΥΘΕΙΣῌ ΠΑΡΑΝΟΜΩΣ.

ἐὰν

Ἐὰν τις παρανόμως ἀγάγηται τὴν ἀνατραφεῖσαν παρ' αὐτοῦ, λαβεῖν μὲν αὐτὸς ἐκ τῆς διαθήκης αὐτῆς οὐ δύναται· αὐτὴ δὲ ἐκ τοῦ αὐτοῦ λαμβάνει. Ὁ προδιδοὺς τὸ ἅγιον βάπτισμα οὐ μαρτυρεῖ, οὐ διατίθεται, οὔτε ἄλλον διαδέχεται· διαδεχέσθωσαν δὲ αὐτὸν ἐξ ἀδιαθέτου χριστιανοὶ συγγενεῖς. Ἐνστησάμενος πέτρου καὶ τῶν ἀδελφοπαίδων μου, εἰ μὲν εἴπω ἐξ ἴσων μερῶν, ἐξ ἴσου κληρονομοῦσιν· εἰ δὲ μὴ εἴπω, πέτρος τὸ ἥμισυ λαμβάνει, καὶ οἱ ἀδελφόπαιδες τὸ ἥμισυ.

ΠΕΡῚ ἈΠΟΚΑΤΑΣΤΆΣΕΩΣ ΚΛΗΡΟΝΟΜΊΑΣ.

Ἐν τῇ ἀποκαταστάσει τῆς κληρονομίας, οἱ καρποὶ οὐ φέρονται· εἰ μὴ ὑπέρθεσις γέγονεν, ἢ ἐκτῶς αὐτῶν ἐπράθη ἀποκαταστῆσαι, λογίζεται δὲ εἰς φαλκίδιον· ὁ γὰρ ἀξιῶν ἀποκαταστῆσαι κληρονομίαν, ἐκεῖνο δοκεῖ λέγειν, ὅπερ ὑπάρχει τῆς κληρονομίας· οἱ δὲ καρποὶ οὐ τῇ κληρονομίᾳ, ἀλλὰ τοῖς πράγμασι λογίζονται. Ἐν τῇ ἀποκαταστάσει τῆς κληρονομίας, καὶ οἱ τόκοι, καὶ τὰ ἐνοίκια, ὡς καρποὶ καταφέρονται, καὶ οὐ διαφέρουσι τῶν λοιπῶν χρεῶν, τῶν ἀπὸ αἱρέσεως, ἢ κατ' ἐνιαυτὸν, ἢ μίαν κεχρεωστημένων, καὶ οὓς μὲν ἔλαβεν ὁ κληρονόμος, μὴ ποιήσας περὶ τὴν ἀποκατάστασιν ὑπέρθεσιν, οὐκ ἀπαιτεῖται. εἰ δὲ οἷα νῦν ἐστιν ἡ κληρονομία, τοιαύτην ζητεῖ ὁ τὴν ἀποκατάστασιν ἀξιωθεὶς ἀποκαταστῆναι, ὀφείλει εἰσακούεσθαι, καὶ ταῦτα μὲν, περὶ ὧν ὁ διαθέμενος ἐπηρώτησε τόκον, ἢ ἀγροὺς ἐγεώργησεν· εἰ γὰρ αὐτὸς ὁ κληρονόμος ἐδάνεισεν ἢ ἐγεώργησεν, ἐπειδὴ ἰδίῳ κινδύνῳ δανείζει καὶ δαπανᾷ περὶ τὴν γεωργίαν, οὐδὲν τούτων ἀποκαθίστησι τῷ φιδεικομισσαρίῳ, μὴ ποιήσας ὑπέρθεσιν. Αἱ παράνομοι καὶ καταγέλαστοι αἱρέσεις, περιαιροῦνται τῶν ἐνστάσεων καὶ τῶν λεγάτων, καὶ χωρὶς αἱρέσεως ταῦτα παρέχονται.

ΠΕΡῚ ΚΛΗΡΟΝΟΜΊΑΣ ΠΑΊΔΩΝ ΦΥΣΙΚΩ͂Ν.

Εἰ παῖδες ἔχει τις νομίμους, μὴ δύνασθαι αὐτὸν τοῖς φυ-

σικοῖς παισί, μήτε τοῖς ἐκ παλλακῆς, περαιτέρω μιᾶς οὐγγί-
ας αὐτοῖς, καὶ τῇ μητρὶ αὐτοῖς καταλιμπάνειν· εἰ δὲ παλλακὴ μό-
νη εἴη, ταύτῃ τὸ ἥμισυ οὐγγίας καταλιμπάνειν ἢ δωρεῖσθαι. εἰ
μέν τοι παῖδας οὐκ ἔχει γνησίους, ἢ τινὰ τῶν ἀνιόντων οἷς ἀνάγ-
κη νόμου καταλιμπάνειν μέρος τῆς οἰκείας οὐσίας, προ-
σήκει τοὺς διατιθεμένους, καὶ εἰς τὰς ιβ´ οὐγγίας γράφειν τοὺς
φυσικοὺς παῖδας κληρονόμους. εἰ δὲ ἔχοιεν τινὰς τῶν ἀνιόντων
τὴν νόμιμον αὐτοῖς καταλιμπανέτωσαν μοῖραν· τὸ δὲ λοιπὸν
εἰς τοὺς φυσικοὺς παῖδας παραπέμπειν ἄδειαν ἐχέτωσαν. ἀ-
διαθέτων δὲ πλουτούντων, τῶν τοὺς φυσικοὺς παῖδας ἐχόν-
των, δύο μόνας οὐγγίας ἔχειν τοὺς παῖδας ἅμα τῇ μητρὶ μερι-
ζομένας· ὥστε ἑνὸς παιδὸς μοῖραν καὶ τὴν μητέρα λαμβάνειν,
εἴπερ γνήσιοι παῖδες οὐκ εἰσίν· εἰ δὲ γνήσιοι παῖδες εἰσὶ, μὴ
δὲ τοὺς νόθους ἐξ ἀδιαθέτου κληρονομεῖν, ἀλλὰ τρέφεσθαι δὲ μό-
νον παρὰ τῶν γνησίων κατὰ τὸ πρέπον, καὶ πρὸς τὸ τῆς οὐσίας μέ-
τρον. Νόθος παῖς γενόμενος γνήσιος, μόνου τοῦ πατρὸς
αὐτοῦ γίνεται γνήσιος· οὐκέτι δὲ καὶ τῶν κατιόντων, ἢ τῶν ἀνι-
όντων, ἢ τῶν ἐκ πλαγίου συγγενῶν τῶν παρ' αὐτοῦ, οὐδὲ κληρονο
μεῖ αὐτούς, οὐδὲ κληρονομεῖται ἐξ αὐτῶν, χωρὶς διαθήκης. Συ-
γκλητικοῦ γυνὴ καὶ ἐπάνω, οὐ δύναται τοῖς σπουρίοις αὐτῆς
παισὶν οὔτε ζῶσα, οὔτε μετὰ θάνατον δωρεῖσθαι, ἢ ἐν διαθήκῃ
συνεισάγειν αὐτοὺς μετὰ τῶν γνησίων αὐτῆς παίδων, καὶ κλη-
ρονόμων κληρονόμους. ἡ μέντοι εὐγενὴς καὶ ἐλευθέρα, ἐὰν
ἔχῃ σπούριον υἱὸν, δύναται αὐτὸν κληρονόμον καταλιμπά-
νειν· ἐπεὶ καὶ κληρονομεῖ τοῦτον ἡ μήτηρ, εἰ μὴ ἄρα ἐξ ἀθεμιτο-
γαμίας ἦν, τουτέστιν ἀπὸ κεκωλυμένων γάμων. Οἱ ἐκ δι-
αφόρων παλλακῶν γενόμενοι παῖδες, οὐ κληρονομοῦσι τὸν
ἴδιον πατέρα, ὑπόντων γνησίων παίδων, ἢ γαμετῆς, ἢ ἄλλων
διαδόχων αὐτοῦ· ἀλλὰ μᾶλλον ἀποστρέφονται ἐκ τῶν κληρονομούν-
των τὸν πατέρα αὐτῶν, εἴθε μέντοι γε μὴ διέθετο. Τοῦ σπου

ρίου

εἰ οὐ ἡ κληρονομία, οὐκ ἀνήκει τοῖς κατὰ πατέρα συγγενέσιν, οὐ γὰρ ἔχει πατέρα· τῇ μητρὶ δὲ αὐτοῦ, καὶ τοῖς μητρῴοις ἀδελφοῖς, δίδοται ἡ συγγενικὴ βοήθεια. Οἱ προγονεῖς, καὶ τὴν κατὰ μητέρα μάμμην, ἐξ ἀδιαθέτου διαδέχονται. Ἐάν τις πλουτήσῃ ἀδιάθετος ἐπὶ παισὶ φυσικοῖς καὶ παιδὶ θετῷ, ὁμοίως πάντες κληρονομοῦσιν. Ὅσα φυλάττεται μητρὸς ὑπούσης καὶ ἀδελφῶν ὁμοπατρίων τῷ πλουτήσαντι φυσικῶν, τοσαῦτα καὶ κρατεῖ καὶ θετῶν ὑπόντων. Ὁ λαβὼν νέον εἰς θέσιν, τὰ ὑστερώδη αὐτοῦ πάντα σκοπεῖ, καὶ ἀναγκάζεται τὸ τέταρτον μέρος τῶν οἰκείων πραγμάτων, καταλεῖψαι τῷ υἱοθετουμένῳ. Ὁ θετὸς παῖς ἐξ ἀδιαθέτου, δύναται παρακλείεσθαι εἰς τὴν κληρονομίαν τοῦ καλουμένου θετοῦ πατρὸς, ἐπεί τοιγε διαθήκης ὑπ' αὐτοῦ γενομένης, οὐ δύναταί τι ἐκ τῆς τούτου κληρονομίας ἀποσπᾶσθαι, οὔτε περὶ ἐναντιώσεως, οὔτε περὶ μέμψεως τῆς διαθήκης αἰτεῖν· ἀλλὰ τὸ μὴ ἀνάγκην ἔχειν τὸν θετὸν πατέρα, ἢ γράφειν αὐτὸν κληρονόμον, ἢ ἀποκληρονομεῖν, εἰς τὸ ὀφειλόμενον αὐτῷ τέταρτον. Ἐὰν θετὸν υἱὸν αὐτεξούσιον ποιήσω, οὐ μόνον ἀδιάθετόν με πλουτοῦντα οὐ διαδέχεται, ἀλλ' οὐδὲ μνημονευθεὶς ἐν τῇ διαθήκῃ τῇ ἐμῇ, λήψεται κατ' αὐτῆς ἐναντίωσιν· ἐπαύσατο γὰρ τοῖς ἐμοῖς ἀριθμεῖσθαι παισίν. Ἐὰν εἴπω ἐν τῷ προικῴῳ τῆς θυγατρός μου, μηδὲν αὐτὴν πλέον ἐλπίζειν τῆς κληρονομίας μου, οὐκ εἴργεται· τὰ γὰρ ἰδιωτικὰ συμβόλαια, οὐ προκρίνουσι τῷ κοινῷ νομίμῳ. Τῶν ἀδιαθέτως πλουτούντων, ἐκ πλαγίου συγγενεῖς ἐχόντων καὶ παῖδας, ἐλευθεροῦνται οἱ δοῦλοι, καὶ οὐ δύναται ὁ κληρονόμος ἢ ἐξ ἀδιαθέτου συγγενὴς, ἕλκειν τούτους εἰς δουλείαν· δίδοται καὶ τὸ τρίτον τῆς ὑποστάσεως, εἰς ψυχικὸν ἐκ συνηθείας, καὶ τὸ τίμημα δὲ τῶν ἐλευθερωθέντων οἰκετῶν, λογίζεται εἰς τὸ τρίτον. Ἡ μήτηρ μὴ αἰτήσασα ἐπίτροπον τῷ παιδὶ, οὐ κληρονομεῖ αὐτοῦ, ἐὰν ἄνηβος πλουτήσῃ· εἰ δὲ ἔφηβος γε-

νόμε

νόμενος πλουτήσει, καλῶς αὐτὴν κληρονομεῖ. Οὐ δύνανται οὔτε εἰς τὴν μητρῴαν οἱ πατέρες, οὔτε εἰς τὸν πατρῷον αἱ μητέρες, κατὰ τὸν τῆς ζωῆς χρόνον, τὴν οἱανοῦν ποιεῖσθαι φιλοτιμίαν ἢ ἐν τῇ τελευτῇ καταλιμπάνειν· πλὴν ἢ τοσοῦτον, ὅσον εἰς παῖς ἕξει. εἰ δὲ παῖδες εἰσὶ πολλοὶ, καὶ ἕκαστος ἴσον ἔχει μέρος, οὐ πλέον τοῦ εἰς ἕκαστον ἀφικνουμένου, ἢ ὁ πατρῷος ἢ ἡ μητρῴα παραλήψεται. εἰ δὲ ἄνισα τὰ καταλελειμμένα τυγχάνουσι, τοσοῦτον ἀνάγκη μέρος εἰς τὸν πατρῷον, ἢ εἰς τὴν μητρῴαν περιελθεῖν ἐξ οἱασδήποτε τοῦ γονέως φιλοτιμίας, ὅσον ὁ τὸ ἔλαττον ἔχων παῖς ἐκ τῆς ἐκείνου περιουσίας λαμβάνει, ἢ ἀπὸ τελευταίας βουλήσεως καταλειφθὲν, ἢ ἐν ζωῇ δεδομένον κατὰ φιλοτιμίαν.

## ΠΕΡΙ ΑΠΡΟΙΚΟΥ ΓΥΝΑΙΚΟΣ.

Εἴ τις ἄπορον γυναῖκα κατὰ τὴν τοῦ νόμου παρατήρησιν λάβοι, καὶ ταύτης προτελευτήσει, εἰ μὲν ἄχρι τεσσάρων παίδων ἔχει ὁ ταύτης ἀνὴρ, εἴτε ἐξ αὐτῆς, εἴτε ἐξ ἑτέρου συνοικεσίου, τὸ τέταρτον μέρος τῆς οὐσίας τοῦ ἀνδρὸς λαμβάνει· τῶν τοῦ ἀνδρὸς χρεῶν πρότερον παρεχομένων ἀπὸ τῆς ἐκείνου περιουσίας, οὕτω μέντοιγε, ὥστε μὴ ὑπερβαίνειν τὴν τῶν ἑκατὸν τῶν χρυσίου λιτρῶν ποσότητα. εἰ δὲ πλείονες εἶεν οἱ παῖδες, τοσοῦτον ἐκ τοῦ τοιούτου θέματος λαμβάνειν κελεύομεν τὴν γυναῖκα, ὅσον ἐνὶ τῶν παίδων ἁρμόζει, οὕτω δηλαδὴ, ὥστε χρῆσιν μόνον ἐν τοῖς τοιούτοις πράγμασι τὴν γυναῖκα ἔχειν· τὴν δεσποτείαν δὲ ἐκείνοις τοῖς παισὶ φυλάττεσθαι, οὓς ἐξ αὐτοῦ τοῦ γάμου ἔσχεν. εἰ δὲ ἡ τοιαύτη γυνὴ παῖδες ἐξ αὐτοῦ μὴ ἔχοι, κελεύομεν καὶ δεσποτείας δικαίῳ ἔχειν τὰ πράγματα, ἅπερ ἐκ τῆς τοῦ ἀνδρὸς οὐσίας εἰς αὐτὴν ἐληλύθασιν. εἰ μέντοι γε † πρεσβεῖον καταλίποι αὐτῇ ὁ ἀνὴρ, ἔλαττον τῆς διορισθείσης μοίρας, ἀναπληροῦσθαι τοῦτο. εἰ δέ τινα ἴδια ἡ γυνὴ πράγματα κατὰ τὴν οἰκίαν τοῦ ἀνδρὸς, ἢ ἀλλαχόσε ἀποκείμενα ἔχει, τούτων τὴν εἰς πρᾶ-

† ἤγουν λεγάτον

ξιν

ξιν καὶ παρακατάσχεσιν, ἐχέτω πᾶσι τρόποις ἀμείωτον. ταῦτα δὲ φαμὲν, ἐπειδὰν ἡ γυνὴ προῖκα μὴ ποιησαμένη, ἄπορος ᾖ· ὥστε τὸν μὲν ἄνδρα τελευτῶντα εὔπορον εἶναι, τὴν δὲ πτωχεύουσαν πένεσθαι. ἐπεί τοίγε ἴσως ἀλλαχόθεν εὐποροίη, τὴν οὐκ εἰσενεγκοῦσαν προῖκα, οὐκ ἂν εἴη δίκαιον βαρύνειν τοὺς παῖδας, τῇ διαδοχῇ τῶν συνοικησάντων. τοῦτο δὲ κρατεῖ καὶ ἐπὶ τῶν αἰδεσίως ἕδνα μὴ ὁμολογησάντων· ἀπόρων γάρ, λήψεται τὸ δ΄ ἐκ τῆς οὐσίας τῆς γυναικὸς κατὰ τὴν νγ΄ νεαράν.

## Ἡ ΔΕ ΝΒ΄ ΝΕΑΡΑ ΤΟΥ ΚΑΙΣΑΡΟΣ ΛΕΟΝΤΟΣ ΦΗΣΙΝ.

Καὶ ταύτην τὴν νομοθεσίαν ἡ βασιλεία ἡμῶν ἐπανορθουμένη, θεσπίζει ἀναφαίρετον ἔχειν τὴν κυριότητα, τὴν γυναῖκα τοῦ τοιούτου μέρους, καὶ ἔρον ἐπὶ τούτῳ ἐκφέρειν, ὃν ἂν αὐτῇ δόξῃ, μηδενὸς ἄλλου τοῖς παισὶν ὀφειλομένου, πλὴν τοῦ κατὰ τὸν φαλκίδιον αὐτοῖς ἐπιτυγχάνοντος· δηλονότι μὴ τῶν προτέρων γάμων ἐπιλελησμένης τῆς μητρὸς, μηδ᾽ εἰσαγαγούσης δευτέρου ἀνδρὸς τὴν τῶν προτέρων κοίτην οὐκ ἐν τιμῇ τιθεμένης. ὡς εἴγε τοῦτο συμβαίη, πάντως ἐκπεσεῖται τῆς παρ᾽ ἡμῶν διδομένης ἐξουσίας· καὶ οἱ παῖδες τῆς ζωῆς ἤδη τῇ μητρὶ διαλυθείσης, τῶν πραγμάτων ἐξουσιάσουσιν. Ὅτι καὶ οἱ ἐξ ἀπροίκου γυναικὸς τεχθέντες παῖδες, ἐξ ἀδιαθέτου ἐξίσου κληρονομοῦσι, τοῖς τεχθεῖσιν ἐκ μητρὸς προῖκα ἐχούσης, καὶ οὐδεμία τούτοις κἀκείνοις εἰς τοῦτο διαφορά. Ἐὰν ὁ δημόσιος ᾖ χρεωστούμενος ἡ μὲν προσωπικὴ ἀγωγή, κατὰ πάντων τῶν κληρονόμων ἁρμόζει τοῦ χρεωστοῦ· ἡ δὲ ὑποθηκαρία, κατὰ τοῦ κρατοῦντος τὰ ἐνέχυρα.

## ΠΕΡΙ ΤΩΝ ΕΙΣ ΓΝΗΣΙΟΤΗΤΑ ΠΑΙΔΩΝ ἀναφαινομένων φυσικῶν.

Εἴ τις υἱὸν ἢ θυγατέρα ἐξ ἐλευθέρας ἔχων γυναικὸς, μεθ᾽ ἧς γάμος συνίστασθαι δύναται, ἤτοι ἐν συμβολαίῳ, εἴτε ἀ-

γοραίῳ, εἴτε ἰδίᾳ χειρὶ γεγραμμένῳ, καὶ ἔχοντι ὑπογραφὰς τριῶν μαρτύρων ἀξιοπίστων· εἴτε ἐν διαθήκῃ, εἴτε ἐπὶ πράξεως ὑπομνημάτων, τοῦτον, ἢ ταύτην υἱὸν αὐτοῦ εἶναι, ἢ θυγατέρα, καὶ μὴ προσθῇ, καὶ φυσικόν, ἢ φυσικήν, τοὺς τοιούτους παῖδας γνησίους εἶναι, καὶ πάντων ἀπολαύειν αὐτοὺς τῶν δικαίων, ὅσα τοῖς γνησίοις παισὶν οἱ ἡμέτεροι παρέχουσι νόμοι. ἐντεῦθεν γὰρ καὶ μετὰ τῆς αὐτῆς μητρὸς δείκνυται νόμιμον ἐσχηκέναι γάμον· εἰ δέ τις καὶ πολλοὺς ἐκ τῆς αὐτῆς τοιούτους ἔχων παῖδας, ἑνὶ ἐξ αὐτῶν τοιαύτην μαρτυρίαν παράσχοι, ἀρκεῖν καὶ τοῖς ἄλλοις πρὸς τὰ τῶν νομίμων δίκαια, τὴν ἑνὶ δεδομένην παρὰ τοῦ πατρὸς μαρτυρίαν.

## ΠΕΡΙ ΓΑΜΙΚΩΝ.

Ἡ μὴ δευτερογαμήσασα μήτηρ, καὶ πᾶς ἀνιών, ὁ μὴ δευτερογαμῶν λαμβάνει πρὸς τῇ χρήσει τῶν γαμικῶν κερδῶν, καὶ μέρος κατὰ δεσποτείαν ἑνὸς παιδός· τοῦτο δὲ ἐπὶ τῶν τελευτῇ καὶ τῷ διαζυγίῳ λυομένων γάμων. τοῖς δὲ παισὶν ἀνήκει πᾶν γαμικὸν κέρδος, ἐξ οἱασδήτινος λύσεως κατὰ δεσποτείαν· κἂν μὴ δευτερογαμήσωσιν οἱ γονεῖς αὐτῶν, οἵτινες τὴν χρῆσιν τῶν τοιούτων κερδῶν ἔχουσιν, τρέφοντες τοὺς αὐτῶν παῖδας.

ΣΧΟΛ. Τοῦτο τὸ κεφάλαιον, ἐναντιώτατον ἑαυτῷ· εἰ γὰρ τῷ ὄντι μὴ δευτερογαμοῦσα ἡ μήτηρ, ἀλλὰ καὶ πᾶς ἀνιὼν καὶ μὴ δευτερογαμῶν, λαμβάνει πρὸς τῇ χρήσει τῶν γαμικῶν κερδῶν, καὶ μέρος τι κατὰ δεσποτείαν ἑνὸς παιδός, ἐπὶ τῶν τελευτῇ καὶ τῷ διαζυγίῳ λυομένων γάμων, πῶς ἁρμόζει, πᾶν γαμικὸν κέρδος ἐξ οἱασδήποτε λύσεως, κἂν μὴ δευτερογαμήσωσιν οἱ γονεῖς αὐτῶν τοῖς παισί, καὶ γὰρ κυρίως τῶν γάμων διάλυσις, ἣν ἀπαρτίζεται θάνατος. εἰ μὲν οὖν τὴν ἀπὸ τελευτῆς διάλυσιν ἀπὸ τῶν ἄλλων διαιρῶν διαλύσεων, τὸ ἐξ οἱασδήποτε διαλύσεως εἴρηκεν, ὡς ἂν ἐπ' ἐκείνης μὲν οἱ μὴ δευτερογαμοῦντες γονεῖς τι μέρος κατὰ δεσποτείαν τῶν

γαμικῶν κερδῶν ἔχωσιν, ὧδε τούτων δὲ τοιούτων μέρος μὴ ἔχωσιν, ἔδει προσθεῖναι τὸ ἐξ ἄλλης οἱασδήποτε λύσεως, ὃ τάχ᾽ ἂν οὕτω τὸ ὅλον ἐσώζετο. εἰ δ᾽ ἄλλο τι μὴ διεκώλυεν, ἀλλ᾽ οἶμαι τὰς δύο νεαρὰς, τήν τε ϛ´ η´, καὶ τὴν ρκζ´ ἐναντίας οὔσας ἑαυταῖς, εἰς ταυτὸ συναγαγεῖν ἠγνόησεν· τὸ μὲν γὰρ ἁρμόζειν πᾶν γαμικὸν κέρδος τοῖς παισὶ, τῆς ϛ´ η´ ἐστί· τὸ δὲ λαμβάνειν μέρος τι τοὺς μὴ δευτερογαμοῦντας γονεῖς, τῆς ρκζ´. εἰ δ᾽ οὖν ἀναιρεῖ αὕτη τὴν πρὸ αὐτῆς, ἔστιν ἐκείνη ἀνῃρημένη. Εἰ ἔχει τις γυναῖκα καὶ παῖδας ἔτι ζώσης τῆς γυναικὸς, αὐτεξουσίους τοὺς παῖδας ἐποίησε· μετὰ ταῦτα τέθνηκεν ἡ γυνὴ, ἔξεστι τῷ πατρὶ μίαν μοῖραν ἐκ τῶν μητρικῶν πραγμάτων τῶν οἰκείων τέκνων λαβεῖν κατὰ χρῆσιν ἕως οὗ ζῇ· τὴν δὲ δεσποτείαν παραπέμπειν πάλιν μετὰ τὸ ἀποθανεῖν πρὸς τοὺς υἱούς. τῶν δὲ παίδων ὄντων ὑπεξουσίων, κἂν εἰς δεύτερον γάμον ὁ πατὴρ ἔλθῃ, πάντων τῶν μητρικῶν πραγμάτων τὴν χρῆσιν ἔχει. εἰ δὲ μὴ ζώσης τῆς μητρὸς ἔτι, ἀλλὰ μετὰ θάνατον ταύτης ὁ πατὴρ ποιήσει τὸν υἱὸν αὐτεξούσιον, ἔξεστι τῷ πατρὶ τοῦ μὲν ἡμίσεος τῶν μητρῴων πραγμάτων, τὴν χρῆσιν ἔχειν· τοῦ δὲ λοιποῦ ἡμίσεος, ἀφιέναι τὴν χρῆσιν τῷ υἱῷ. εἰ δὲ οὐχ εἷς υἱὸς εἴη, ἀλλὰ πολλοὶ καὶ πάντες αὐτεξούσιοι γένωνται παρὰ τοῦ πατρὸς μετὰ τὸν τῆς μητρὸς θάνατον, ὁ πατὴρ οὐκέτι τὸ ἥμισυ πρὸς χρῆσιν ἔχει, ἀλλὰ προσεπιβάλλει τῷ υἱῷ τοῦτον ἐκ τοῦ ἡμίσεος, ὁπόσοι ἂν ὦσιν οἱ παῖδες πλείονες, ἤγουν εἰ μὲν δύο τὸ τοῦ ἡμίσεος ἥμισυ· εἰ δὲ τρεῖς, τὸ δίμοιρον τοῦ ἡμίσεος· εἰ δὲ τέσσαρες ἢ ἐπέκεινα, τότε πάλιν μίαν μοῖραν μόνην ἑνὸς τῶν παίδων λαβὼν ὁ πατὴρ πρὸς χρῆσιν, τὸ μητρικὸν ἄλλο πρᾶγμα ἅπαν δίδωσι τοῖς παισὶν, εἰ μὴ οἰκειοθελῶς οἱ παῖδες παραχωρήσωσι τούτῳ ἄλλο τι διαπράξασθαι. Εἴ τις ἀποβαλλομένη τὸν ἄνδρα ἑτέρων ἄρχοιτο γάμων, ἔχειν μὲν αὐτὴν τὴν χρῆσιν τῆς πρὸ γάμου δωρεᾶς, καθὰ καὶ πρότερον ἐθεσπίσαμεν· ἔχειν δὲ αὐ-

τὴν καὶ δεσποτείας τοσοῦτον, ὅσον ἡ περὶ τοὺς παῖδας ἀναλογία ποιεῖ, ἵνα κατὰ τὸν τῆς δεσποτείας λόγον, υἱὸς καὶ αὐτὴ παιδὸς πρόσωπον ἔχειν δοκῇ. ταῦτα δὲ ἐπὶ πατρῴων καὶ τῶν ἄλλων ἀνιόντων, τῶν εἰς δευτέρους γάμους οὐκ ἐρχομένων, κρατεῖν βουλόμεθα, καὶ ἔσονται ταῦτα αὐτοῖς οἰκεῖα, οὐδὲν σχεδὸν τῆς ἄλλης αὐτῶν διαφέροντα κτήσεως, καὶ πᾶσαν ἄδειαν ἕξουσιν εἰς τὸ ἐκποιεῖν ταῦτα· καὶ ἔτι πωλοῦντες καὶ τελευτῶντες, καθ᾽ ὃν βουληθεῖεν τρόπον. εἰ μέντοι γε ἀνεκποίητα ταῦτα καταλίποιεν τελευτῶντες, καὶ μὴ ἐκτὸς, ἢ πάντα, ἢ τινὰ τούτων πρός τινας παραπέμψειαν, λαμβάνειν αὐτὰ τοὺς παῖδας ἐξίσης, κἂν εἰ μὴ κληρονομεῖεν τοῦ πατρὸς ἢ τῆς μητρὸς, κἂν εἰ τινὸς μὲν κληρονομεῖεν αὐτῶν, τινὸς δὲ οὐχί· εἰ μή τις ἐξ αὐτῶν ἀχάριστος φανεὶς, τῆς τοιαύτης φιλοτιμίας ἐκπέσοι.

## ΠΕΡΙ ἘΓΚΛΗΜΑΤΙΚΩΝ. ΝΕΑΡᾺ ΤΟΥ ΚΑΙΣΑΡΟΣ ΛΕΟΝΤΟΣ.

Θεσπίζομεν τοὺς ἐπὶ ἐγκλήματι κατηγορουμένους, ἐφ᾽ ὧν οἱ νόμοι δήμευσιν ἢ θάνατον ὁρίζουσιν· ἐὰν ἐλεγχθῶσιν, ἢ κατακριθῶσι, τὰς αὐτῶν οὐσίας μὴ γίνεσθαι κέρδος τοῖς ἄρχουσιν, ἢ ταῖς αὐτῶν τάξεσιν· ἀλλὰ μὴ δὲ κατὰ τοὺς παλαιοὺς νόμους, τῷ δημοσίῳ αὐτὰς προσκυροῦσθαι. ἀλλ᾽ εἰ μὲν ἔχοιεν κατιόντας, αὐτοὺς ἔχειν τὴν ἐξουσίαν. χωρὶς τῶν δὴ τοῦ τοιούτου ἁμαρτήματος, αὐτῶν προσγενομένων, εἰ δὲ μὴ ὕπεισι κατιόντες ἀλλ᾽ ἀνιόντες ἄχρι τρίτου βαθμοῦ αὐτοὺς ἔχειν· ἐπὶ μέντοι τοῖς καθοσιώσιν κατακρινομένοις, τοὺς παλαιοὺς νόμους φυλάττεσθαι κελεύομεν.

## ΠΕΡΙ ἈΤΕΛΟΥΣ ΔΙΑΘΗΚΗΣ.

Ἀπὸ ἀτελοῦς διαθήκης, μὴ δὲ βασιλεὺς κληρονομείτω.

Ἡ διάταξις φησίν, ἐξ ἀτελοῦς διαθήκης, οὐδεὶς δύναται κληρονομεῖν· εἰ μὴ ἄρα οἱ κατιόντες τοὺς ἑκατέρας φύσεως ἀνιόντας, εἰ δὲ τοῖς παισὶν ἐξωτικὸν συμμέμικται πρόσωπον· ὅσον

μὲν εἰς τοὺς παῖδας, σῴζεται ἡ διαθήκη· ὅσον δὲ εἰς τὸν ἐξωτικὸν, ἀνυπόστατόν ἐστιν.

ΠΕΡῚ ἈΔΕΛΦΟΠΟΙΐΑΣ.

Μὴ δὲ παρὰ ξένοις τοῖς ἔξω ῥώμης οἰκοῦσι, διαθέσεως ἀδελφότης συνιστάσθω· κἂν τις ὡς ἀδελφὸς προληφθεὶς κληρονόμους γραφῇ, ἐκπιπτέτω τῆς κληρονομίας.

ΠΕΡῚ ΕὐΤΕΛΟῦΣ.

Ἐὰν εὐτελὴς τελευτήσῃ ἀδιάθετος, καὶ μὴ ἔχων συγγενεῖς, ἐξ ἀδιαθέτου ἐκ τῶν ὅλων εὐτελῶν κληρονομεῖται.

ΠΕΡῚ ΜΟΝΑΣΤΗΡΊΩΝ ἈΤΕΛῶΝ.

νεαρὰ τοῦ καίσαρος λέοντος.

περὶ τῶν καταλιπόντων ἀτελὲς μοναστήριον, ἐκεῖνο ἡμῖν θεσπίζεται, ὡς διατυπώσεως προσελθούσης, τὰ ἐν ταύτῃ διωρισμένα ἔσται τῆς ἐκκλησίας. εἰ δ᾽ ὁποῖα πολλὰ φέρει τὸ ἄδηλον, πρὸ τῆς τῶν οἰκείων ἀναρπασθείη διατυπώσεως, παίδων μὲν ὄντων ἄχρι τριῶν, τὸ μέρος τῆς ὑπάρξεως οἰκειώσεται ἡ μονή· ἐπέκεινα δὲ τοῦ τῶν τριῶν ἀριθμοῦ προϊόντος τοῦ τῆς γονῆς πλήθους, συγκαταλέξεται τὸ μοναστήριον τοῖς παισὶ, καὶ τὰ ἴσα ἑνὶ τούτων ἑκάστῳ λήψεται, ἐκ πάσης οὐσίας ἧς οὐκ ἄπεισι χρέος τοῦ τεθνηκότος. ἄπαιδος δὲ ὑπάρξαντος, ὧν γονεῦσι δὲ τὸν βίον λιπόντος, διχῆ τῶν προσώπων διαιρουμένων· ἡ μὲν τοῖς γονεῦσιν· ἡ δευτέρα μοῖρα, τῷ μοναστηρίῳ παραχωρηθήσεται. εἰ δ᾽ ἔρημος εἴη κληρονόμων ἀνιόντων, καὶ κατιόντων τῶν ἐκ πλαγίου εἰσιόντας, ὁ κλῆρος προσίεται αὐτοῖ μὲν ὅσοι ἄρα καὶ ἐὰν ὦσι, τὸ τρίτον μέρος διανεμηθήσεται, τὸ δίμοιρον δὲ προσχωρήσει τῇ ἐκκλησίᾳ.

ΝΕΑΡᾺ ΤΟῦ ΚΑΊΣΑΡΟΣ ἈΘΑΝΑΣΊΟΥ.

κελεύομεν τοὺς ἀτέκνους χηρεύοντας ἄνδρας τε καὶ γυναῖκας, μὴ ἁρπαγὴν ὑπέχειν τῶν ὑπαρχόντων, μήτε παρὰ τῶν τὰ δημόσια διενεργούντων, μήτε τῶν εἰς παροικίαν τούτους

ἐξιόντων· ἀλλὰ τὸ γ΄ τῆς οὐσίας ἐκείνων, τὴν δεσποτείαν ἀπολαμβάνειν· τὸ γ΄, εἰς μνημόσυνα τοῦ ἀπελθόντος ἀναλίσκεσθαι καὶ τὸ ζῶν μέρος, ἀπολαμβάνειν τὸ ἔνδρομον. εἰ δὲ καὶ τὸ ἐλευθερίων ἀπέλθοι μέρος, τοὺς τούτῳ προσήκοντας, τὸ ἀπὸ νόμου κληρονομεῖν· εἰ δὲ μηδεὶς συγγενὴς πρόσεστι τῷ ἀποιχομένῳ, τῷ δημοσίῳ εἶναι τὸ ἥμισυ, καὶ τοῖς ἐκείνου μνημοσυνοῖς τὸ ἥμισυ.

## ΠΕΡῚ ΦΑΛΚΙΔΊΟΥ, τίτλ. θ΄.

Φαλκίδιος λέγεται παρὰ τῷ νόμῳ, ὅταν ἐκ κοινοῦ τινος πράγματος εἰς ὃ μετέχουσι πολλοί, μέρος τι τούτων ἑκάστῳ τῶν μετεχόντων εἰς αὐτὸ δίδωται, καὶ ἔστι φαλκίδιος, ὃ συνήθειαν ἔχουσιν οἱ κοινοὶ μερίδα καλεῖν. γράφεται δὲ ἀρσενικῶς ὁ φαλκίδιος, καὶ οὐδετέρως τὸ φαλκίδιον· ὡς ἄν τις εἴποι μερίδιον. ἔστι δὲ ἡ λέξις ῥωμαϊκή, καὶ δοκεῖ τὴν θέσιν ἀπὸ τοῦ φάλκοισ ὃ δηλοῖ τὴν δρεπάνην, καὶ τὴν τομὴν τὴν ἀπὸ τῆς δρεπάνης παράγεσθαι· ὡς τῶν μεριζομένων πραγμάτων, ἐξ ἀνάγκης καὶ τεμνομένων, ὥσπερ τινὶ δρεπάνῃ τῷ μερισμῷ.

Φαλκίδιος ἐστὶν, ἄχρι μὲν τεσσάρων παίδων, τὸ τρίτον μέρος τῆς καθαρᾶς οὐσίας· πλειόνων δὲ ὄντων τῶν παίδων τὸ ἥμισυ. ἐν τούτῳ οὖν τῷ εἰρημένῳ τρόπῳ, ἢ ἡμίσει μέρει, ὑπεισέρχονται ὅσοι ἂν ὀφείλωσι πρὸς φαλκίδιον· μετὰ τὸν τὴν λοιπὴν ὑπόστασιν κατὰ τελευταίαν διάταξιν κληρονομοῦντα.

ΣΧΟΛ. Τουτέστιν, τῆς τοῦ ιβ΄ ποσότητος ἐστὶν πάντα τὸν βίον ὁ νόμος παρακελεύεται, καὶ ἑκάστου τὴν πᾶσαν περιουσίαν, εἰς ιβ΄ περιΐσησι· τὰ γοῦν δώδεκα ποσοῦνται ἐκ τοῦ τρὶς τέσσαρα, τρὶς γὰρ τὰ τέσσαρα ιβ΄. ἐπεὶ οὖν τὸ γ΄ ἀεὶ τῷ κληρονόμῳ φυλάττεται· τὸ δὲ δίμοιρον ἐπ' ἐξουσίᾳ τοῦ διατιθεμένου κεῖται ποιεῖν ἐπ' αὐτῷ ὅπερ βούλεται, φησὶν ὁ νόμος, ἔξεστι ληγατεύειν, μέχρι τοῦ ὀκταουγγίου, ἤτοι τῆς τοῦ διμοίρου ποσότητος· τὸ γὰρ τετραούγγιον ἤτοι τὸ γ΄ τῆς περιουσίας, τῷ

κληρο-

κληρονόμῳ φυλάττεται. οὗτος οὖν ὁ φαλκίδιος, ὅταν ἔχῃ τις παῖδας οὐ περισσοτέρους τῶν δ΄, ἀλλὰ δ΄ ἢ ὀλιγωτέρους, τὸ γ΄ τῆς πατρικῆς περιουσίας ἐστίν· ὡς αὐτοῦ τοῦ τρίτου μέρους, διδομένου τοῖς παισὶν εἰς κληρονομίαν, καὶ μεριζομένου ἐπ' ἴσης. ὅταν δὲ ἔχῃ τις πλείονας τῶν δ΄, τὸ ἥμισυ τῆς οὐσίας αὐτοῦ, φαλκίδιον γίνεται, καὶ ἀναγκάζεται ὁ πατὴρ τὴν ἡμίσειαν περιουσίαν αὐτοῦ, τοῖς παισὶ διδόναι εἰς μερισμὸν, ἤγουν ἵνα ἐπ' ἴσης πάντες οἱ παῖδες πρὸς ἀλλήλους ταύτην διαμερίζωνται· δεῖ γοῦν τὸν πατέρα πρῶτον ἀποτιθέναι καὶ φυλάττειν λόγῳ τῶν παίδων, τὸ γ΄ ἢ τὸ ἥμισυ τοῦ βίου αὐτοῦ, καὶ οὕτως ἐπὶ τοῖς λοιποῖς τῶν προσόντων αὐτῷ πραγμάτων, ὡς βούλεται διατίθεσθαι. τοῦτο ἀρίστως παρὰ τοῦ νόμου, καὶ ἐπαινετῶς ἄγαν τέτακται· οὓς γὰρ ἡ φύσις ᾠκείωσε, τούτους πρώτως θεραπευτέον, καὶ τὸ αὐτοῖς ἀνῆκον πρῶτον ἀποδοτέον, εἶτα καὶ περὶ τῶν ἔξω τρεπτέον καὶ ποιητέον κατὰ τὴν βούλησιν. Ἔξεστι λεγατεύειν, μέχρι τοῦ ὀκταουγγίου· τὸ γὰρ τετράουγγιον, τουτέστι τὸ τρίτον τῆς περιουσίας, τῷ κληρονόμῳ φυλαττέσθω. Ἐπὶ τοῦ φαλκιδίου, δεῖ ὑπεξαιρεθῆναι τὰ ἐποφληθέντα ὑπὸ τοῦ τελευτήσαντος, καὶ τὴν ὑπὲρ τὴν κηδείαν δαπάνην, καὶ τὰ τιμήματα τῶν ἐλευθερωθέντων οἰκετῶν, καὶ τὸ ὑπόλοιπον σκοπεῖν, ὁπόσον ἐστί· τοῦτο γὰρ νομίζεται εἶναι καθαρὰ οὐσία, καὶ ταύτης τὸ γ΄ μέρος ὑπερκατεχέτω. Ἰστέον δὲ ἐπὶ ἐξωτικοῦ κληρονόμου, ὁ φαλκιδιούμενος υἱὸς, σῶον τὸ γ΄ τῆς καθαρᾶς οὐσίας λαμβάνει, ἐπὶ δὲ υἱοῦ, τὸν φαλκίδιον ἐπ' ἴσης μερίζουσιν, ὅτε κληρονομῶν, καὶ ὁ φαλκιδιούμενος, τὴν γὰρ λοιπὴν οὐσίαν, ὡς ἰδίαν φιλοτιμίαν ἡγεῖται· ἐπεὶ καὶ ἐξωτικῷ ἠδύνατο ὁ πατὴρ αὐτὴν καταλιπεῖν τυχὸν, ὡς ἐπὶ θέματος. ἔχον τρεῖς υἱοὺς, πέτρον, παῦλον, καὶ ἰωάννην, δέδωκα τῷ πέτρῳ λίτρας ι΄, καὶ τῷ παύλῳ ς΄, τελευτῶν δὲ, κατέλιπον τὸν πέτρον κληρονόμον, γρά-

ἰστέον ὡς τοῦ παρόντος νόμου ἐστὶ τὸ προγραφὲν χόλιον τὸ λέγον τοῦτο τοιοῦτον ἐστίν.



ψας

ψας δοθῆναι τῷ Ἰωάννῃ, λίτραν α. Ζητεῖ τὸ φαλκίδιον, συμψηφίζονται πάντα, καὶ αἱ ι λίτραι, καὶ αἱ ϛ, καὶ ἡ λοιπὴ περιουσία· ὑποθοῦ δὲ αὐτὴν εἶναι λίτρας η, καὶ ὁμοῦ συνάγεσθαι τὰς πάσας λίτρας κδ, ὑπεξαιροῦνται αἱ ι καὶ ϛ λαμβάνουσι ταύτας. τὰς μὲν ι ὁ Πέτρος, τὰς δὲ ϛ ὁ Παῦλος, τὰς δὲ λοιπὰς η λίτρας, ἐπιμερίζονται οἱ γ, ἤτοι τὸ γ τῆς ὁλότητος τῶν κδ λιτρῶν. ὁ γὰρ φαλκίδιος ἄχρι δ παίδων, τὸ γ ἐστὶ τῆς καθαρᾶς οὐσίας· εἰ δὲ πλείονες τῶν δ ἐισὶν οἱ παῖδες, τὸ ἥμισυ. Ὅτε τις καταλείψει τινὶ κληρονομίαν, εἰπὼν θέλω πραθῆναι τὸν οἶκόν μου καὶ τόδε, καὶ ἐξ ἁπάσης μου τῆς ὑποστάσεως, δοθῆναι τὰ χρέα τοῖς δανεισταῖς μου καὶ τῷ υἱῷ μου τὸ νόμιμον μέρος· οὐ μετὰ τὴν ὑπεξαίρεσιν τῶν χρεῶν δίδοται τῷ υἱῷ τὸ γ, ἤτοι τὸ νόμιμον· ἀλλὰ πρὸ τούτων ὁ υἱὸς λαμβάνει τὸ φαλκίδιον, καὶ τότε ἐκ τῆς ἄλλης ὑποστάσεως τοῖς δανεισταῖς καὶ τοῖς ἄλλοις τὸ ἱκανὸν γίνεται. Οὐ δύναται δίδοσθαι φαλκίδιος, ἐν ζωῇ τῶν γονέων· ὅσα γὰρ λάβοι ὁ παῖς μετὰ θάνατον τῶν πατρώων, πάλιν δύναται κινεῖν κατὰ τῶν κληρονόμων αὐτῶν, κἂν σύμφωνον τυχὸν προέβη καὶ ἐπερώτησις μεταξὺ τῶν πατρώων καὶ τοῦ υἱοῦ. εἰ δὲ λαβὼν ὁ υἱὸς παρὰ τῶν κληρονόμων διαλύσεται, καὶ μὴ προστεθῇ τῷ συμφώνῳ, ὅτι διαλύομαι καὶ περὶ τοῦ φαλκιδίου τῶν γονέων μου, κἂν τε πλεῖον, κἂν τε ἔλαττον ἥρμοττέ μοι, δύναται πάλιν κινεῖν περὶ τοῦ φαλκιδίου, καὶ οὐκ ἀποκλείεται τῷ συμφώνῳ. Εἰ καὶ μετὰ τελευτὴν ὁ φαλκίδιος δίδοται, ἀλλ' εἴπερ ὑπόσχηται πατὴρ προῖκα, καὶ μὴ εὐπορεῖ ποσοῦ, ἀναγκάζεται πρὸς ὅσον ποιεῖ ὁ φαλκίδιος δοῦναι ὑπὲρ προικός, καὶ ἐν ζωῇ. Καὶ γυναικὸς διαζευχθείσης τοῦ ἀνδρὸς καὶ ἀποκαρείσης, καὶ τὸ ἱκανὸν τῆς προικὸς αἰτουμένης, ὁ μάγιστρος εὑρὼν ταύτην ἔχουσαν παῖδα, ἀφώρισε φαλκίδιον ὑπὲρ τοῦ παιδός, δηλονότι τὸ γ τῆς πάσης προικὸς αὐτῆς.

Ὅτι ἀναγκαίως καὶ ὁ παῖς ἄπαις ἀποθνήσκων, φαλκίδιον ὀφείλει τοῖς γονεῦσιν αὐτοῦ· τοῦτο δέ ἐστι τὸ γ΄ τῆς περιουσίας αὐτοῦ, ὡς καὶ ὁ μάγιστρος ἔκρινεν. οὗτος γὰρ δικαιώσας πατέρα ἐκ θυγατρὸς παρ' αὐτοῦ προικισθείσης, καὶ διαθεμένης παρὰ τὸ σύμφωνον, τὸ τρίτον τῆς ὅλης περιουσίας διὰ περίστασιν λαβεῖν μετὰ καθαρῶν καρπῶν, τοῦτο ἐτύπωσε· γράψας οὕτως, ὅτε δήποτε χώραν ἔχει ὁ φαλκίδιος, οἱ καρποὶ τοῦ τρίτου ἀπὸ τῆς τελευτῆς τοῦ διαθεμένου χρεωστοῦνται παρὰ κληρονόμων. Καὶ πάλιν θυγατρὸς ἀτέκνου τελευτησάσης, ἐπὶ διαθήκῃ, καὶ ἀμφιβολίας γενομένης περὶ τὸ σύμφωνον, ὁ μάγιστρος διὰ τὸ συμπαθές, ἔκρινεν ἵνα λάβῃ ὁ πατὴρ τὸ τρίτον οὐ τῆς προικὸς, ἀλλὰ τῆς πάσης περιουσίας τῆς θυγατρὸς· εὑρήσεις δὲ ταῦτα πλατύτερον εἰς τὸν περὶ γυναικῶν τίτλον, ἐν τῷ τοῦ μαγίστρου.

Ἐν δὲ τῷ περὶ κληρονομίας ἀριδήλως τοῦτο φησὶ διὰ τοὺς νόθους· ἀνιόντας δὲ ἔχων ὁ διατιθέμενος, οὓς ἐπὶ τούτοις ὁ νόμος τὸ τρίτον ἀναγκάζει καταλιμπάνειν τῆς ἰδίας περιουσίας, εἰς τὸ δίμοιρον τῆς ὑπάρξεως γράφει τοὺς νόθους κληρονόμους. Καὶ ἐν τῷ περὶ διαθηκῶν, υἱὸς τελευτῶν καὶ διαθήκην γράφων, δι' εὐτελοῦς λεγάτου τῶν γονέων ἐμνήσθη, καὶ τὴν αἰτίαν τοῦ μὴ πλειόνων τούτους ἀξιῶσαι ἀπέδωκε, τὸ μηδὲν παρ' αὐτῶν ἀπενέγκασθαι πώποτε· καὶ τὸ πολλὰ πάνυ τούτοις περιὼν χορηγῆσαι, ἀλλὰ τὸ ἡμαρτημένον ἐκείνῳ. δικαστικὸν τοῦ μαγίστρου διωρθώσατο ψήφισμα, τὸ γ΄ τῆς πάσης περιουσίας τούτου, τόν γε πατέρα καὶ τὴν μητέρα, νομικαῖς ἐπιταγαῖς ἀπολαβεῖν βεβαιῶσαν. Καὶ Ἰουστινιανοῦ διάταξις, ὀφείλειν τὸν ἐμμακίπατον υἱὸν, ἤτοι τὸν αὐτεξούσιον τελευτῶντα καὶ διατεθέμενον, καταλιμπάνειν τῷ πατρὶ τὸ τρίτον μέρος τῆς αὐτοῦ περιουσίας· κἄν τε τοῦτο ὁ πατὴρ συμφωνήσῃ, ποιῶν αὐτὸν αὐτεξούσιον, κἄν τε μή. Ὅτι καὶ οἱ ἀπελεύθεροι τοῖς πάτρωσιν ἀπαραιτήτως χρεωστοῦσι φαλκίδιον. Ὅτι οἱ προγο-

γονεῖς ἐπὶ τοῖς πατράσιν, οὐκ ἔχουσι πλεονόμιόν τι, οὐ δὲ οἱ πατέρες ἐν αὐτοῖς. Εἴ τις δωρεὰν ἄμετρον εἴς τινα, ἢ τινὰς τῶν παίδων ποιήσαιτο, ἀνάγκην ἔχει ἐν τῇ διανομῇ τοῦ κλήρου, τοσοῦτον ἑκάστῳ τῶν παίδων φυλάττειν τὸ ἐκ τοῦ νόμου μέρος, ὅσον ἦν πρὶν τὴν δωρεὰν ὁ πατὴρ εἰς τὸν παῖδα, ἢ τοὺς παῖδας τοὺς ταύτῃ τετιμημένους ποιήσασθαι. οὕτω γὰρ οὐδὲν ἔτι ἐγκαλοῦσιν ἔχοντες μὲν ἐπὶ πάσῃ τῇ οὐσίᾳ τοῦ πατρὸς, τὸ ἀπὸ τῶν νόμων, κατὰ τοῦτον δὲ αὐξομένου τοῦ μέτρου, καθότι καὶ τὰ πράγματα εἶχον τοῦ πατρὸς, πρὶν ταῖς δωρεαῖς ἐξαντληθείη· οὐ δυναμένων τῶν ταῖς δωρεαῖς τετιμημένων παίδων, φάσκειν ἀρκεῖσθαι μὲν ταῖς ἀμέτροις ταύταις δωρεαῖς, δοκεῖν δὲ ἀφίστασθαι τοῦ πατρῴου κλήρου, ἀλλ' οὐκ ἀναγκαζομένων μὲν εἰ ἀρκοῦνται ταῖς δωρεαῖς καταδέχεσθαι τὸν κλῆρον. ἀνάγκην δὲ ἐχόντων πᾶσι τρόποις ἐπανισοῦν τοῖς ἀδελφοῖς τὸ ἐντεῦθεν διαφέρον, καθόσον εἰρήκαμεν μέτρον· ὥστε μὴ ἔλαττον ἔχειν αὐτοὺς τὸ ἐκ νόμων αὐτοῖς ὀφειλόμενον, ἀλλὰ τὴν γινομένην ἐπὶ ταῖς δωρεαῖς ἀμετρίαν. ὅπου γε τῷ πατρὶ ἔξεστι μέτρια φροντίζοντι περὶ τὴν πάντων γονήν, καὶ τοῖς παρ' αὐτοῦ μᾶλλον ἀγαπωμένοις χαρίσασθαί τι πλέον· καὶ μὴ τοὺς λοιποὺς παῖδας ἀλλὰ τῆς εἰς ἐκείνους γινομένης ἀμετρίας βλάψαι, καὶ τὸν ἡμέτερον παραβλῶσαι σκοπόν. ταῦτα μέν τοι φαμὲν περὶ παίδων κεχαρισμένων αὐτοῖς· οὐ μὴν περὶ τῶν ἀγνωμόνων, καὶ οἷς ὁ πατὴρ δικαίαν τε καὶ νόμιμον ἀχαριστίαν ἐπάγει. εἰ γὰρ τοῦτο οὕτως ἔχον φανείη, καὶ ἀποδειχθείησαν αἱ τῆς ἀχαριστίας αἰτίαι, ἔστω τὰ τῶν νόμων τῶν ἐπὶ τῆς ἀχαριστίας κειμένων, κύρια καὶ οὐδὲν ἐκ τῆς δὲ ἡμῶν τῆς νομοθεσίας ἐλαττούμενα.

ΣΧΟΛ. Τοῦτον τὸν νόμον, οὕτως ἑρμήνευσεν ὁ μάγιστρος, ἐὰν δωρήσηται πατὴρ δυσὶ παισὶν αὐτοῦ λόγου χάριν λίτρας λ', καὶ γράψῃ μετὰ ταῦτα διαθήκην καὶ διανέμῃ ἑτέροις δυσὶ παισὶ κλήρους, μὴ δύνανται ἀριθ-

μεῖν

μεῖον μόνην τὴν παρ' αὐτῷ τυγχάνουσαν ὕπαρξιν, τυχὸν οὖσαν ἑτέρων λιτρῶν λ΄, ἀλλὰ συμβάλλει τούτοις καὶ τὴν διὰ τῶν δωρεῶν προεκφωνηθεῖσαν ποσότητα, καὶ οὕτω τυποῖ τὸν φαλκίδιον. εἰ μὲν γὰρ ἐκ τῆς ἐνούσης αὐτῷ περιουσίας ἀφορίσει τὸ νόμιμον, ὀλίγος ἔσται τοῖς παισὶ κλῆρος. εἰ δὲ κατὰ τὸ νόμου βούλημα ὁρίσει, μεῖζον οἱ παῖδες μέρος λήψονται· καὶ ὁ συντεμὼν τὰς νεαρὰς περὶ τῶν ἀμέτρων δωρεῶν, οὕτω φησίν, οὐδὲ διὰ τῆς γενομένης εἴς τινα τῶν παίδων ἀμέτρου δωρεᾶς παρὰ τοῦ γονέως αὐτοῦ, μειοῦται ὁ φαλκίδιος τοῖς λοιποῖς ἀδελφοῖς· εἰ μὴ ἄρα ἀχάριστοι εἰσίν. ὀφείλει γὰρ ἐαθῆναι αὐτοῖς, τὸ νόμιμον μέρος πρὸς τὴν ὑπόστασιν τῷ τελευτήσαντι γονεῖ, κατὰ τὸν καιρὸν τοῦ θανάτου αὐτοῦ.

ΠΕΡΙ ὙΠΕΞΟΥΣΙΩΝ παίδων δοκεῖ ταῦτα λέγειν.

Ἐὰν πατὴρ ἢ μήτηρ εἰς γάμον ἐκδῶσι παῖδα θήλειαν ἢ ἄρρενα, καὶ συμβῇ πλουτᾷν τὸν παῖδα, οὐκ ἔχει ἐξουσίαν διατίθεσθαι, εἴτε προῖξ ἐστιν, εἴτε ὑπόβολον, ἔτι τῶν γονέων περιόντων. εἰ δὲ ἐν μέρει ἐξ αὐτοῦ ἐπλούτησεν, εἰς τὸ τοῦ θανόντος διατίθεται. Ἔχων τις γυναῖκα καὶ τεκνοποιήσας καὶ προικίσας τὴν θυγατέρα, ἀπέβαλε τὴν συνοίκησιν. εἶτα μετὰ χρόνον πολὺν, δευτέραν ἔλαβε γαμετὴν, καὶ ἔτεκεν ἐξ αὐτῆς παιδίον, τελευτήσαντος τοῦ πατρὸς, ὁ δεύτερος παῖς ἐνίστη ἐπιζητῶν προῖκα, ἤτοι κλῆρον ἀπὸ τῆς ἀδελφῆς, ἥτις ἐξ ἑτέρας ἐτέχθη μητρὸς, καὶ πρὸ τοῦ αὐτὸν γεννηθῆναι, ἔλαβε κλῆρον καὶ ἐπροικίσθη, καὶ ἔκρινεν ὁ μάγιστρος, ἵνα καὶ ἄκουσα δώσῃ αὐτὴ τῷ ὑστεροθαλεῖ ἀδελφῷ τὸν φαλκίδιον· ὁ γὰρ αὐτὸς πατὴρ ἀμφοτέρους ἐγέννησεν, κἂν εἰ τὴν μὲν, πρῶτον· τὴν δ', ὕστερον. πρὸς γὰρ τὸν φαλκίδιον, οὐδεὶς λόγος βοηθήσει αὐτῇ. Δύναται τὸν παῖδα τὴν κατὰ τῆς διαθήκης τοῦ πατρὸς, ἢ τῆς δωρεᾶς μέμψιν κινεῖν· εἰ μὴ τὸ καταλελειμμένον αὐτῷ διὰ πάντων, ἀρκεῖ αὐτῷ πρὸς τὸ γ΄, ἢ ἐπέγνω τὴν τοῦ πατρὸς βούλησιν, ἢ

πέντε ἔτη παρέδραμε, καὶ μείζων ἐστὶ τοῦ κε' ἐνιαυτοῦ. καὶ ἔστι χώρα τῇ μέμψει, καὶ κατὰ τῶν μητρῴων δωρεῶν· εἰ μὴ ἡ θυγάτηρ ἔλαβε τὸ ἀναλογοῦν εἰς τρίτον. Ἡ διάταξις βούλεται, ἵνα εἴ τις λοιπὸν ἀποκατάστασιν ποιεῖται τῶν ἑαυτοῦ πραγμάτων, πρῶτον μὲν φυλάττῃ τῷ παιδὶ τὸ νόμιμον μέρος, οὐ τὸ τέταρτον. τοῦτο γὰρ ἐπηνωρθώσαμεν, πενίαν αὐτοῦ καταγνόντες, ἀλλὰ τὸ τρίτον πάντως, ἢ τὸ ἥμισυ κατὰ τὸν τῶν παίδων ἀριθμόν· ἔπειτα δὲ καὶ εἰς τὸ λειπόμενον οὐσίας μέρος, ἐν ᾧ μὴ ἀρκεῖ τὸ νόμιμον μέρος πρὸς προικὸς, ἢ προγαμιαίας δωρεᾶς ἐπίδοσιν εὐσχημόνως, καὶ πρὸς τὴν τῶν προσώπων ποιότητα μετρουμένης, ὑπεξῃρῆσθαι καὶ αὐτὸ τῆς ἀποκαταστάσεως, καθόσον προστιθέμενον τῷ νομίμῳ μέρει, τὴν προῖκα ἢ τὴν πρὸ γάμου ποιεῖ δωρεάν. Ὅτι τὰ περὶ φαλκιδίου, οὐκ ἐπὶ πατρὸς μόνου, ἀλλὰ καὶ ἐπὶ μητρὸς, καὶ πάππου, καὶ προπάππου, καὶ τῶν παρεζευγμένων ἑκάστῳ θηλέων προσώπων, μάμμης φαμὲν καὶ προμάμμης, εἴτε πρὸς πατρὸς, εἴτε πρὸς μητρὸς εἶεν. καὶ ὅτι οὐ τοῖς ἐξ ἀρρενογονίας μόνον, ἀλλὰ καὶ τοῖς ἐκ θηλυγονίας ἐγγόνοις καὶ προεγγόνοις παρὰ τῶν ἀνιόντων. ὁ φαλκίδιος ὀφείλεται ἀναγκαίως· τουτέστι τοῖς ἐγγόνοις καὶ προεγγόνοις ἀπὸ τούτωμ λαμβανόντωμ, ὅσομ ἔμελλεν ὁ πατὴρ ἢ ἡ μήτηρ αὐτῶν λαμβάνειμ, εἰ περιῆν. καὶ ὅτι καὶ τῆς ἐξ ἀπροίκου γαμετῆς γνησίας τεχθείσημ, ὁ φαλκίδιος ὀφείλεται καὶ ὅτε ταῦτα κρατεῖ, ὡς ἐπὶ τῶν ἐκ μεταγενεστέρας διαθέσεως μετὰ προικώωμ γενομένωμ γνησίωμ. Εἰ μὴ ποιήσει καταγραφὴν ὁ κληρονόμος, οὐ παρακατέξει φαλκίδιομ, ἀλλὰ πληρώσει τοὺς λεγαταρίους· κἂμ εἰ τὸ τῆς καθαρᾶς οὐσίας τοῦ τελευτήσαντος ὑπερβαίνει μέτρομ ἡ τῶν λεγάτωμ δόσις. Τὰ εἰς ταφὴν δαπανήματα, ὡς χρέος ὑπεξαιροῦνται· οὐ μὴν τὰ εἰς ποίησιμ μνημείου. ταῦτα γὰρ καὶ ἀνήκει τῷ φαλκιδίῳ, καὶ ᾧ τινι λεγατευθῶσι, καὶ οὐ συγχωρεῖται δαπανᾶν

πλέομ

πλέον τοῦ συμμέτρου τοῦ μνημείου. Ἐὰν θανάτου αἰτίᾳ συγχωρητικὸν σύμφωνον ποιήσω τοῦ χρεώστου μου, χώρα τῷ φαλκιδίῳ. Τὸ τέταρτον τοῦ φαλκιδίου ἐκ πάντων τῶν ληγαταρίων πρὸς ἀναλογίαν παρακατέχεται. Ἐὰν ὁ κληρονόμος τὸ πρᾶγμα ἀγνοήσας, οὐκ ἐχρήσατο τῷ φαλκιδίῳ, καὶ διὰ τοῦτο πλέον κατέβαλε, δύναται ἀναλαμβάνειν. ἐὰν δὲ τὸν νόμον ἠγνόησεν, οὐκέτι συγγινώσκεται. Ἐὰν ὁ ἀνὴρ δωρήσεται τῇ γυναικὶ, ἢ ἡ γυνὴ τῷ ἀνδρὶ, πλουτῇ τοῦ δωρησαμένου βεβαιοῦται ἡ δωρεά: ἐπειδὴ δὲ καὶ κατὰ τοῦτο μιμεῖται ἀποκατάστασιν, χώρα τῷ φαλκιδίῳ. Εἴποτέ τις διαθῆται, καί τι πρᾶγμα ἀκίνητον τῇ ἰδίᾳ φαμιλίᾳ, ἢ ἑτέρῳ τινὶ προσώπῳ, ὀνόματι ληγάτου καταλείψει· καὶ ἰδικῶς εἴποι, μηδενὶ χρόνῳ τὸ αὐτὸ πρᾶγμα ἐκποιεῖσθαι, ἀλλὰ παρὰ τοῖς κληρονόμοις ἢ διαδόχοις ἐκείνου, ᾧ τινι κατελείφθη διαμένειν. ἐπὶ τούτου τοῦ ληγάτου κελεύομεν τὸν φαλκίδιον νόμον χώραν παντελῶς μὴ ἔχειν· ἐπειδὴ τὴν ἐκποίησιν τούτου, αὐτὸς ἐκώλυσεν ὁ διαθέμενος. Ἐὰν πλουτῇ χωρὶς αἱρέσεως δωρήσωμαί σοι, οὐ καλῶς οἱ κληρονόμοι παρακρατεῖσθαι φαλκίδιον ἐπιζητοῦσιν. ὁ γὰρ φαλκίδιος, οὐκ ἐπὶ τῶν ἁπλῶς δωρεῶν, ἀλλ' ἐπὶ τῶν θανάτου αἰτίᾳ χώραν ἔχει.

## ΠΕΡῚ ἈΠΟΚΛΗΡΩΝ ΥἹΩ͂Ν.

Θεσπίζομεν μὴ ἐξεῖναι παντελῶς πατρὶ ἢ μητρὶ, ἢ πάππῳ, ἢ μάμμῃ, ἢ προπάππῳ, ἢ προμάμμῃ, τὸν ἴδιον υἱὸν ἢ θυγατέρα, ἢ τοὺς λοιποὺς παῖδας, ἀμνημονεύτους καταλιμπάνειν, ἢ ἀποκληρονόμους ἐν τῇ ἰδίᾳ ποιεῖσθαι διαθήκῃ· εἰ μὴ ὀνομαστὶ τὰς τῆς ἀχαριστίας αἰτίας ἐγγράψουσιν. αἱ δὲ τῆς ἀχαριστίας αἰτίαι, αὗται εἰσίν. Εἴ τις τοῖς ἰδίοις γονεῦσι χεῖρας ἐπιβάλλει, ἢ βαρεῖαν καὶ ἀπρεπῆ ὕβριν αὐτοῖς ἐπάγει, ἢ ἐπὶ ἐγκληματικῆς αἰτίας αὐτοὺς κατηγορήσει, τῆς μὴ οὔσης κατὰ βασιλέως ἢ πολιτείας, ἢ μετὰ φαρμακῶν ὡς φαρ-

μαχῇ ἀναςρέφεται, ἢ τῇ ζωῇ τῶν ἰδίων γονέων διὰ φαρμακείας, ἢ ἀλλοτρόπως ἐπιβουλεῦσαι πειραθείη, τὸν τοιοῦτον ἀπόκληρον εἶναι θεσπίζομεν. Εἰ τῇ ἰδίᾳ μητρυιᾷ, ἢ τῇ τοῦ πατρὸς παλλακῇ, ὁ υἱὸς συμμίξει ἑαυτόν. Εἰ συκοφάντης γένηται κατὰ τῶν ἰδίων γονέων, καὶ διὰ τῆς ἰδίας καταμηνύσεως, βαρείας αὐτοὺς ζημίας ὑπομεῖναι παρασκευάσει. Εἰ ἐν ἀσθενείᾳ χρονίᾳ κατακειμένων αὐτῶν, ἢ ἐν ἀπορείᾳ καὶ ἀδυναμίᾳ καταςάντων αὐτῶν, ἀμελήσωσι τῆς αὐτῶν φροντίδος οἱ παῖδες, καὶ καλούμενοι παρὰ τῶν γονέων, μὴ βουληθεῖεν αὐτοὺς ἐπιμελείας ἀξιῶσαι. Εἰ συμβῇ τινὰ τῶν εἱργμένων γονέων ἐγκακλεῖσθαι· οἱ δὲ παῖδες οἱ δυνάμενοι ἐξ ἀδιαθέτου εἰς τὴν τούτων διαδοχὴν ἐλθεῖν αἰτηθέντες, ἢ εἷς ἐξ αὐτῶν μὴ βουληθείη εἰς τὴν ἑαυτῶν ἐγγύην τοῦτον ὑποδέξασθαι, ἢ ὑπὲρ προσώπου, ἢ τοῦ χρέους εἰς ὅσον ἐπιτήδειος εἶναι ὁ αἰτούμενος ἀποδείκνυται· τοῦτο μέντοι γε ὅπερ ἐπὶ τῆς ἐγγύης ἐθεσπίσαμεν, εἰς τοὺς ἄρρενας καὶ μόνον ἀνήκειν παῖδας βουλόμεθα. Εἰ ἐλεγχθείη τις τῶν παίδων ὅτι ἐκώλυε τοὺς ἰδίους γονεῖς ποιήσασθαι διαθήκην, ὥστε εἰ μὲν μετὰ ταῦτα διαθήκην ποιήσασθαι δυνηθεῖεν, ἄδειαν αὐτοῖς εἶναι ὑπὲρ τῆς τοιαύτης αἰτίας, τὸν παῖδα ἀπόκληρον ποιεῖν. εἰ δὲ ἐν αὐτῇ τῇ κωλύσει δίχα διαθήκης τῶν γονέων τελευτήσει τις, οἱ ἄλλοι εἴ τε ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν, ἢ μετὰ τοῦ παιδὸς τοῦ τὴν διαθήκην γενέσθαι κωλύσαντος, ἢ οἱ μετ' αὐτὸν καλούμενοι, εἴτε οὓς κληρονόμους ἢ λεγαταρίους ἔχειν ἠβούλοντο, εἴ τι οἱ βλάβην τινὰ ἐκ τῆς κωλύσεως ὑπομένοντες τῆς διαθήκης, τοῦτο αὐτὸ ἀποδείξαιεν, καὶ οὕτως ἀπόκληρον αὐτὸν γενέσθαι. Οὐ μόνον δὲ ἀλλὰ καὶ εἰ παρὰ γνώμην τῶν γονέων κυνηγοῖς, ἢ μίμοις ὁ υἱὸς ἑαυτὸν ἐγκατέλεξε, καὶ ἐν τούτῳ τῷ ἐπιτηδεύματι διαμένει· εἰ μὴ τυχὸν καὶ οἱ γονεῖς, τῆς τοιαύτης ἐπιτηδεύσεως γεγόνασιν.

Εἴ τινι ἐκ τῶν εἰρημένων γονέων, βουλομένῳ τῇ ἰδίᾳ θυγατρὶ, ἢ ἐκγόνῃ ἄνδρα δοῦναι, καὶ προῖκα κατὰ δύναμιν τῆς ἰδίας περιουσίας, ἢ ὑπὲρ αὐτῆς παρασχεῖν, μὴ συναινέσῃ, ἀλλ᾽ αἰσχρὸν βίον διάγειν ἐπιλέξηται. Εἴ τις ἐκ τῶν εἰρημένων γονέων μανῇ, καὶ οἱ παῖδες αὐτοῦ, ἢ τινὲς ἐξ αὐτῶν, ἢ παίδων αὐτοῦ μὴ ὑπόντων, οἱ ἄλλοι αὐτοῦ συγγενεῖς ἐξ ἀδιαθέτου εἰς τὸν αὐτοῦ κλῆρον καλούμενοι, ὑπηρεσίαν καὶ φροντίδα προσήκουσαν αὐτῷ μὴ παράσχοιεν· εἰ μὲν τῆς τοιαύτης ἀπαλλαγῇ νόσου, ἔσται αὐτῷ ἄδεια πότερον βούλεται τὸν παῖδα, ἢ τοὺς παῖδας, ἢ συγγενεῖς τοὺς ἠμεληκότας, ἀχάριστον, ἢ ἀχαρίστους ἐν τῇ ἰδίᾳ διαθήκῃ γράψαι. εἰ δὲ ἐν τῇ νόσῳ τῆς μανίας αὐτὸν κατεχόμενον, ἐξωτικός τις ἴδοι ὑπὸ τῶν οἰκείων ἀμελούμενον παίδων, ἢ συγγενῶν, ἢ ἄλλων ὑπ᾽ αὐτοῦ γεγραμμένων κληρονόμων, διὰ συμπάθειαν δὲ βουληθείη αὐτοῦ φροντίσαι, δίδομεν αὐτῷ ἄδειαν διαμαρτυρεῖν τοῖς ἐξ ἀδιαθέτου, ἢ ἀπὸ διαθήκης ἤδη γενομένης, εἰς τὸν τοῦ μεμηνότος κλῆρον καλουμένοις, ἔγγραφον στέλλειν· ὥστε σπουδάζειν αὐτοὺς τούτου φροντίζειν. εἰ δέ γε καὶ μετὰ τὴν τοιαύτην διαμαρτυρίαν ἀμελήσωσι, καὶ ἐξωτικὸς ἐν τῷ αὐτοῦ οἴκῳ τὸν μεμηνότα ὑποδεξάμενος, δαπανήμασιν οἰκείοις ἄχρι τῆς τελευτῆς αὐτοῦ φροντίσας δειχθείη, τὸν τὴν ὑπηρεσίαν καὶ τὴν ἐπιμέλειαν τῷ μεμηνότι παρασχόμενον, κἂν τὰ μάλιστα ἐξωτικὸς εἴη, εἰς τὴν τούτου διαδοχὴν ἔρχεσθαι θεσπίζομεν· ἀνατρεπομένης καὶ τῆς αὐτοῦ ἐνστάσεως, ἅτε δὴ τῶν ἀξίων ὄντως τῷ μεμηνότι καθάπερ εἰρήκαμεν φροντίδα παρασχεῖν, ἀμελησάντων, οὕτω μέντοι γε· ὥστε τὰ λοιπὰ τῆς διαθήκης κεφάλαια, ἐν τῇ ἰδίᾳ μένειν ἰσχύι. Ἐὰν δὲ ἕνα τῶν προλεχθέντων γονέων ἐν αἰχμαλωσίᾳ κρατεῖσθαι συμβῇ, καὶ οἱ τούτου παῖδες εἴτε εἷς, μὴ σπουδάσωσι τοῦτον ἀναρρύσασθαι, εἰ μὲν δυνηθῇ οὗτος τὴν τῆς αἰχμαλωσίας συμφορὰν ἐκφυ-

γεῖν

γεῖν, ἐν τῇ αὐτοῦ εἶναι ἐξουσίᾳ, πρότερον ταύτην ἀχαριστίας αἰτίαν τῇ ἰδίᾳ βούλοιτο ἐγγράψαι διαθήκῃ, ἤτε καὶ μή. εἰ δὲ διὰ τῆς τῶν παίδων ἀμελείας ἢ καταφρονήσεως μὴ ἐλευθερωθείη, ἀλλ' ἐν αἰχμαλωσίᾳ τελευτήσει, ἐκείνους εἰς τὴν αὐτοῦ διαδοχὴν ἐλθεῖν οὐκ ἀνεχόμεθα, οἵτινες οὐκ ἐσπούδαζον τῆς ἀναρρύσεως αὐτοῦ φροντίζειν· ἀλλὰ πάντων τῶν παίδων ἐπὶ τούτῳ ἀμελησάντων, πάντα τὰ πράγματα τὰ παρ' αὐτοῦ καταλιμπανόμενα, τῇ ἐκκλησίᾳ τῆς πόλεως ἐξ ἧς ὥρμητο προσκυροῦσθαι· καταγραφῆς δηλονότι ἐπὶ δημοσίου ἐκ μαρτυρίου γινομένης, ὥστε μηδὲν ἐκ τῆς αὐτοῦ περιουσίας παραπολέσθαι, ἐφ' ᾧ πᾶν ὅπερ ἐντεῦθεν εἰς τὴν ἐκκλησίαν περιέλθοι, εἰς αἰχμαλώτων ἀνάρρυσιν προελθεῖν. ἀλλὰ ταῦτα μὲν ὅσον ἐπὶ τοῖς προσώποις εἴρηται, ἅπερ ἀποκληρονόμους ποιεῖν οὐκ ἔξεστιν· εἰ μὴ τὰς τῆς ἀχαριστίας αἰτίας γραφῆναι καὶ ἀποδειχθῆναι συμβαίη. Εἰ δὲ ἐκεῖνος ὁ ἐν αἰχμαλωσίᾳ ληφθεὶς παῖδας μὴ ἔχει, καὶ τῶν ἄλλων τῶν εἰς τὴν τούτου κληρονομίαν καλουμένων ἐξ ἀδιαθέτου, ἀναρρύσασθαι αὐτὸν μὴ σπουδασάντων, ἐν αἰχμαλωσίᾳ τελευτήσει, μηδεὶς ἐκ τῶν ἀμελησάντων εἰς τὴν τούτου κληρονομίαν ἔρχεσθαι· εἰ μὴ πρὸ τῆς αἰχμαλωσίας διαθήκη τυχὸν παρ' αὐτοῦ ἐγεγόνει, ἢ τὰ μνημονευθέντα πρόσωπα ἔγραψε κληρονόμους. ἀλλὰ καὶ τῆς ἐνστάσεως τῶν κληρονόμων ἀκυρουμένης καὶ τῶν λοιπῶν τῆς διαθήκης κεφαλαίων ἐν τῇ ἰδίᾳ μενόντων ἰσχύϊ, αἱ περιουσίαι τῶν τοιούτων προσώπων κατὰ τὸν ὅμοιον τρόπον, καὶ ταῖς ἐκκλησίαις τῶν πόλεων ἐξ ὧν ὥρμηντο προσκυρούσθωσαν, καὶ μὴ ἐν ἄλλαις οἱαισοῦν αἰτίαις, ἀλλ' ἐν ταῖς τῶν αἰχμαλώτων ἀναρρύσεσι δαπανᾶσθαι· ὥστε ὅθεν ἐκεῖνοι ὑπὸ τῶν ἰδίων οὐκ ἀνερρύσθησαν, τὰς ἄλλων ἀναρρύσεις φροντίζεσθαι, καὶ τὰς ἐκείνων ὁμοίως ψυχὰς ἐκ ταύτης τῆς εὐλαβοῦς πράξεως ἐπικουφίζεσθαι. τούτου αὐτοῦ παραφυλαττομένου, κἂν εἰ ἄλλο

ἐξωτικὸν

ἐξωτικὸν πρόσωπον, πρὸ τῆς αἰχμαλωσίας γράψει κληρονόμον, καὶ ἐκεῖνο εἰδὼς αὐτὸν ὑπ' ἐκείνου γεγράφθαι κληρονόμον, ἀναῤῥύσασθαι τοῦτον ἐκ τῆς αἰχμαλωσίας ἀμελήσει. ταύτην δὲ τὴν ποινὴν κατ' ἐκείνων κρατεῖν θεσπίζομεν, οἵ τινες τοὺς ὀκτωκαιδέκατον τῆς ἑαυτῶν ἡλικίας ἐπλήρωσαν ἐνιαυτόν. ἐν δὲ ταῖς τοιαύταις αἰτίαις ἡνίκα ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων ἀναγκαῖον δεῖ χρήματα δοθῆναι, εἴ τις χρήματα ἴδια μὴ ἔχοι, ἄδειαν ἐχέτω, εἴπερ τῆς εἰρημένης ὑπάρχει ἡλικίας δανείζεσθαι χρήματα, καὶ πράγματα κινητὰ, ἢ ἀκίνητα ὑποτίθεσθαι. εἴτε ἴδια ἔχει, εἴτε τὰ τοῦ ἐν αἰχμαλωσίᾳ κρατουμένου, ἐπειδὴ τοῖς εἰρημένοις ἅπασι τοῖς ὑπὲρ ἀναῤῥύσεως αἰχμαλώτων δίδοσθαι, ἢ ἀναλίσκεσθαι δεικνυμένοις, τὰ τοιαῦτα συναλλάγματα ὡς παρὰ προσώπου αὐτεξουσίου, καὶ τελείας ἡλικίας ὄντος γινόμενα, βέβαια εἶναι παρακελευόμεθα, μηδενὸς τοῖς μετὰ τῶν τοιούτων προσώπων ἐπὶ ταῖς μνημονευθείσαις αἰτίαις καθάπερ εἴρηται συναλλάξασι, προκρίματος γινομένου, ἀνάγκην δηλαδὴ ἔχοντος τοῦ αἰχμαλωσίας ἐπανερχομένου, τὰ τοιαῦτα συναλλάγματα βέβαια ἡγεῖσθαι, καὶ τούτοις ὡς ἰδίοις ὀφλήμασιν ἐνέχεσθαι.

## ΠΕΡῚ ΑἹΡΕΤΙΚΩ͂Ν.

Εἴ τις ἐκ τῶν μνημονευθέντων γονέων, ὀρθόδοξος ὑπάρχων, αἴσθηται τὸν ἴδιον παῖδα, ἢ παῖδας, μὴ εἶναι τῆς καθολικῆς πίστεως, μὴ δὲ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ κοινωνεῖν, ἐν ᾗ πάντες οἱ μακαριώτατοι πατριάρχαι, μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τὴν ὀρθοδοξοτάτην πίστιν κηρύττουσι, καὶ τὰς ἁγίας ἑπτὰ συνόδους, τὴν ἐν Νικαίᾳ α΄, τὴν ἐν Ἐφέσῳ α΄, τὴν ἐν Χαλκηδόνι, τὴν ἐν Κωνσταντινουπόλει β΄, ὡσαύτως καὶ τὴν ἐν Κωνσταντινουπόλει τρίτην, καὶ τὴν ἐν Νικαίᾳ δευτέραν, περιπτύσσεσθαι ἤγουν ἀναφέρειν γινώσκονται, καὶ διαμένουσιν οἱ τοιοῦτοι παῖδες ἐν τῇ αὐτῇ ἀπιστίᾳ, δίδομεν τοῖς γονεῦσιν ἄδειαν ὑπὲρ ταύ-

τῆς μάλιστα τῆς αἰτίας, ἀχαρίστους αὐτοὺς καὶ ἀποκλήρους ἐν τῇ ἰδίᾳ γράφειν διαθήκῃ. καὶ ταῦτα μὲν περὶ ἀχαριστίας τὰ αἴτια διετυπώσαμεν. Κοινὴν δὲ πρόνοιαν τοῖς παισὶ τοῖς ὀρθοδόξοις παρέχοντες, κελεύομεν σώαν φυλαττομένων τῶν νόμων, τῶν ἤδη περὶ τῶν αἱρετικῶν προσενεχθέντων, καὶ περὶ τοὺς Νεστοριανούς, καὶ τοὺς ἀκεφάλους, ὡσαύτως δὲ καὶ περὶ τοὺς Ἰακωβίτας, καὶ Μονοθελήτας, καὶ Εἰκονομάχους, καὶ ὅσαι ἄλλαι αἱρέσεις εἰσί, παρὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἀποκηρυσσόμεναι, καὶ ταύταις φωραθεῖεν τινὲς ἐνεχόμενοι, τὰ αὐτὰ περὶ τούτους ἅπαντας ἀπαραβάτως φυλάττεσθαι. ὥστε εἴποτε γονεῖς εὑρεθεῖεν, μιᾷ τῶν ἀπηριθμημένων αἱρέσεων, ἢ καὶ ἑτέρᾳ τινὶ τούτων παραπλησίᾳ κατεχόμενοι, καὶ διὰ τοῦτο ἐκ τῆς κοινωνίας τῆς ἐκκλησίας τῆς καθολικῆς κεχωρισμένοι, μὴ ἐξεῖναι αὐτοὺς ἄλλους κληρονόμους ἑαυτοῖς ἱστᾶν· εἰ μὴ παῖδας ὀρθοδόξους καὶ τῇ καθολικῇ ἐκκλησίᾳ κοινωνοῦντας, ἢ παίδων μὴ ὑπόντων, τοὺς ἐξ ἀρρενογονίας καὶ θηλυγονίας συγγενεῖς, ὀρθοδόξους δηλαδὴ τυγχάνοντας. εἰ δὲ ὡς εἰκὸς ἐκ τῶν παίδων, τινὲς μὲν εἰσὶν ὀρθόδοξοι, καὶ τῇ καθολικῇ ἐκκλησίᾳ κοινωνοῦντες· ἄλλοι δὲ ἐκ ταύτης κεχωρισμένοι, πᾶσαν τὴν τῶν γονέων περιουσίαν, εἰς τοὺς παῖδας καὶ μόνους τοὺς ὀρθοδόξους περιέρχεσθαι θεσπίζομεν, εἰ καὶ τελευταίας βουλήσεις τὰ τοιαῦτα πρόσωπα ποιήσειεν, παρὰ τὴν δύναμιν ταύτην ἡμῶν τῆς διατάξεως διατυπούσας. εἰ δὲ μετὰ ταῦτα οἱ ἀδελφοὶ οἱ τῆς ἐκκλησίας κεχωρισμένοι ἐπὶ ταύτην ἀναστρέψουσι, τὸ ἁρμόττον αὐτοῖς μέρος, ἐν τῷ σχήματι ἐν ᾧ εὑρεθείη κατὰ τὸν χρόνον ὃν ἀποδίδονται τούτοις παρέχεσθαι, ὡς μηδεμίαν περὶ τῶν καρπῶν, ἢ τῆς διοικήσεως τοῦ μέσου χρόνου ὄχλησιν, ἢ ἐπάχθειαν τοὺς ὀρθοδόξους ὑπομένειν, τοὺς πρόσω τὰ μνημονευθέντα πράγματα διακρατήσαντας. ἐπειδὴ τῶν τοιούτων πραγμάτων, ἅτινα ἐκ τῆς μοίρας τῶν ἀδελφῶν τῶν μὴ κοινωνούν-

των οἱ ὀρθόδοξοι ἐκτήσαντο, ὥσπερ τὴν ἐκποίησιν κωλύομεν, οὕτω καὶ τῶν παρελθόντων χρόνων τοὺς καρπούς, ἢ τὴν διοίκησιν, οὐδαμοῦ παρὰ τούτων ὑφ᾽ ὧν ἐκρατήθη εἰσπράττεσθαι καὶ ἀναλαμβάνεσθαι κελεύομεν, εἰ δὲ μέχρι τοῦ πέρατος τῆς ἰδίας ζωῆς ἐν τῇ αὐτῇ πλάνῃ οἱ μὴ κοινωνοῦντες διαμείνοιεν, τότε τοὺς ὀρθοδόξους ἀδελφούς, ἢ κληρονόμους αὐτῶν, πληρεστάτῳ δεσποτείας δικαίῳ τὰ αὐτὰ πράγματα κεκτῆσθαι θεσπίζομεν. εἰ δὲ οἱ παῖδες διεγραμμένοι μὲν πάντες καὶ τῆς κοινωνίας τῆς καθολικῆς ἐκκλησίας ἀλλότριοι εὑρεθεῖεν· ἄλλοι δὲ ἐγγύτατοι συγγενεῖς ἐξ ἀρρενογενίας καὶ θηλυγενίας τὴν ὀρθόδοξον πίστιν τιμῶντες, καὶ κοινωνοὶ εἶναι ἀποδειχθεῖεν, τούτους τῶν παίδων τῶν αἱρετικῶν προτιμᾶσθαι, καὶ τὴν αὐτῶν διαδέχεσθαι κληρονομίαν. εἰ δὲ καὶ οἱ παῖδες, καὶ οἱ ἐγγύτατοι συγγενεῖς ἐκ τῆς κοινωνίας τῆς ὀρθοδόξου πίστεως ξένοι τυγχάνοιεν, τηνικαῦτα εἰ μὲν σχῆμα κληρικῶν οἱ γονεῖς αὐτῶν ἔχοιεν, τῇ ἐκκλησίᾳ τῆς πόλεως ὅπου τὴν οἴκησιν εἶχον, τὰ αὐτῶν πράγματα βουλόμεθα διαφέρειν. οὕτω μέντοι ὥστε οἱ ἐκκλησιαστικοί, εἰ ἐντὸς ἐνιαυτοῦ προθεσμίας τὰ τῶν τοιούτων προσώπων πράγματα διεκδικῆσαι ἀμελήσαιεν, τὴν αὐτῶν δεσποτείαν τῷ ἡμετέρῳ ταμείῳ ἐκδικεῖσθαι. εἰ δὲ λαϊκοὶ ὦσι, δίχα τινὸς διακρίσεως τὰς αὐτῶν περιουσίας εἰς τὸ θεῖον ἡμῶν ἰδικὸν ὁμοίως περιέρχεσθαι· ἅτινα κρατεῖν θεσπίζομεν καὶ εἰ χωρὶς διαθήκης τὰ τοιαῦτα πρόσωπα τελευτήσει. πάντων τῶν κατὰ τῶν λοιπῶν αἱρετικῶν ἐν ταῖς ἄλλαις διατάξεσι διατυπωθέντων, καὶ κατὰ τῶν Νεστοριανῶν, καὶ τῶν ἀκεφάλων, καὶ τῶν ἄλλων ἁπάντων τῶν μὴ κοινωνούντων τῇ καθολικῇ ἐκκλησίᾳ, ἐν ᾗ αἱ προλεχθεῖσαι ἅγιαι ἑπτὰ σύνοδοι, καὶ πατριάρχαι ἀναφέρονται, καὶ κατὰ τῶν αὐτῶν κληρονόμων ὁμοίως φυλαττομένων. εἰ γὰρ ὑπὲρ κοσμικῶν αἰτιῶν μεριμνῶμεν, πόσῳ μᾶλλον ὑπὲρ τῆς τῶν ψυχῶν σωτηρίας, προνοητικω-

ταύτην φονίαν δεῖ συνεισφέρειν. Ἐκ τούτων πάσας τὰς εἰρημένας τῆς ἀχαριστίας αἰτίας, ἔτι τινὰς φανερὰς ἐξ αὐτῶν, ἔτι μίαν οἱανδήποτε οἱ γονεῖς τῇ ἰδίᾳ ἐγγράψαιεν διαθήκῃ, καὶ οἱ γραφόμενοι κληρονόμοι τὰς ὀνομασθείσας αἰτίας, ἢ μίαν ἐξ αὐτῶν ἀληθῆ εἶναι δείξαιεν, τὴν διαθήκην τὴν ἰδίαν ἰσχὺν ἔχειν παρακελευόμεθα. εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη, μὴ ἐγγίνεσθαι πρόκριμα τοῖς ἀποκληρονόμοις γραφεῖσι παισίν, ἀλλ' ὅσον εἰς τὴν ἔνστασιν τῶν κληρονόμων πάλιν ἥκειν, τῆς διαθήκης ἀκυρουμένης, εἰς τὴν τῶν γονέων κληρονομίαν τοὺς παῖδας τοὺς ἐξ ἀδιαθέτου ἐξίσης μοίρας ἔρχεσθαι, ὥστε μὴ τοὺς παῖδας πεπλασμέναις κατηγορίαις κατακρίνεσθαι, μήτε τινὰ περιγραφὴν ἐν ταῖς τῶν γονέων περιουσίαις ὑπομένειν. εἰ μέντοι γε συμβαίη ἐν τισὶ τοιαύταις διαθήκαις, ἢ λεγάτα, ἢ τὰ πίστει τινὶ παρατεθέντα, ἢ ἐλευθερίας, ἢ ἐπιτρόπων δόσεις καταλειφθῆναι, ἢ ἄλλα οἱαδήποτε κεφάλαια τοῖς νόμοις ἐγγεγραμμένα, ταῦτα πάντα κελεύομεν πληροῦσθαι, καὶ παραδίδοσθαι ἐκείνοις, οἷς κατελείφθη, ὡς ἡ κατὰ τοῦτο τὸ μέρος ἀνατραπεῖσα διαθήκη ἐκράτει. Καὶ ταῦτα μὲν περὶ τῶν διαθηκῶν τῶν γονέων διετυπώσαμεν, δίκαιον δὲ εἶναι συνείδομεν, καὶ ἐκ τοῦ ἐναντίου περὶ τῶν διαθηκῶν τῶν παίδων τὰ αὐτὰ μετά τινος διαστίξεως διατυπῶσαι. Θεσπίζομεν τοίνυν μὴ ἐξεῖναι τοῖς παισὶ τοὺς ἰδίους γονεῖς ἀποκληρόνους καταλιμπάνειν, ἢ καθ' οἱονδήτινα τρόπον, τῶν ἰδίων πραγμάτων ἐν οἷς διατίθεσθαι ἐξουσίαν ἔχουσι, τούτους παντελῶς ἀλλοτρίους ποιεῖσθαι· εἰ μὴ τὰς αἰτίας ἃς ἀριθμοῦμεν ἐν ταῖς ἰδίαις ἰδίως ἐγγράψαιεν διαθήκαις, ταύτας δὲ εἶναι κελεύομεν. Ἐὰν οἱ γονεῖς εἰς ἀναίρεσιν ζωῆς τοὺς ἰδίους παῖδας παραδῶσι, δίχα μέντοι γε αἰτίας εἰς καθοσίωσιν ἀναφερομένης, εἰ φαρμακείαις, ἢ γοητείαις, ἢ ἄλλῳ τρόπῳ οἱ γονεῖς τῇ τῶν παίδων ζωῇ ἐπιβουλεύσαντες δειχθεῖεν. Εἰ ὁ πατὴρ

τῇ ἰδίᾳ νύμφῃ, ἢ τῇ παλλακῇ τοῦ ἰδίου παιδὸς συμμιγῇ. Εἰ οἱ γονεῖς τοὺς ἰδίους παῖδας διαθήκας ποιήσασθαι κωλύουσιν ἐν τοῖς πράγμασιν ἐν οἷς ἔχουσιν ἄδειαν τοῦ διατίθεσθαι, πάντων δηλαδὴ τῶν ἐπὶ τῇ κωλύσει τῶν τοιούτων διαθηκῶν φυλαττομένων, ἅπερ ἐπὶ τῶν γονέων διετυπώσαμεν.

Εἰ συμβαίνῃ τὸν ἄνδρα τῇ ἑαυτοῦ γαμετῇ, ἢ εἰς ἀναίρεσιν, ἢ εἰς ἔκστασιν τῆς διανοίας δοῦναι φάρμακον, ἢ τὴν γαμετὴν περὶ αὐτοῦ, ἢ ἄλλῳ τρόπῳ τὸν ἕτερον τῇ τοῦ ἑτέρου ζωῇ ἐπιβουλεῦσαι· τὸ μὲν τοιοῦτον ἔγκλημα † συμβλημένον ὑπάρχον. κατὰ τοὺς νόμους ἐξετάζεσθαι καὶ νομίμης ἐκδικήσεως ἀξιοῦσθαι θεσπίζομεν. τοῖς δὲ παισὶν ἄδειαν εἶναι, ταῖς ἰδίαις διαθήκαις, μηδὲν ἐκ τῶν ἰδίων περιουσιῶν ἐκείνῳ τῷ προσώπῳ καταλιμπάνειν, τῷ τὸ τοιοῦτον μύσος πεπραχέναι γινωσκομένῳ. Εἰ τῶν παίδων, ἢ καὶ ἑνὸς τούτων ἐν μανίᾳ μιᾷ τυγχανόντων, οἱ γονεῖς αὐτῶν ἀμελήσουσι, πάντα καὶ ἐνταῦθα παραφυλάττεσθαι προστάττομεν, ἅπερ ἐπὶ τῶν μαινομένων γονέων ἀνωτέρω ἐθεσπίσαμεν. Τούτοις τοῖς θέμασι, καὶ τὴν τῆς αἰχμαλωσίας συμφορὰν προστίθεμεν, ἐν ᾗ εἰ τοὺς παῖδας κρατεῖσθαι συμβαίνῃ, καὶ διὰ τὴν τῶν γονέων καταφρονήσεως, ἢ ἀμελείας μὴ ἀναρρυσθέντας τελευτῆσαι συμβαίνῃ, μηδαμῶς τοὺς τοιούτους γονεῖς εἰς τὰς περιουσίας ἔρχεσθαι τῶν παίδων, ἐφ' αἷς διατίθεσθαι οἱ παῖδες ἠδύναντο, ἀλλὰ πάντα καὶ ἐν τούτῳ τῷ κεφαλαίῳ φυλάττεσθαι, ἅπερ καὶ περὶ γονέων καὶ συγγενῶν τῶν ἐξ ἀδιαθέτου εἰς τὰ τῶν τοιούτων προσώπων δίκαια καλουμένων, ἢ παρὰ τῶν ἐξωτικῶν γραφομένων κληρονόμων ἀνωτέρω διετυπώσαμεν. Εἴ τις ἐκ τῶν μνημονευθέντων παίδων ὀρθόδοξος τυγχάνων, αἴσθηται τὸν ἴδιον γονέα ἢ γονεῖς μὴ ὀρθοδόξους εἶναι, ταῦτα καὶ ἐπ' ἐκείνων τῶν προσώπων κρατεῖν, ἅπερ ἀνωτέρω περὶ τῶν γονέων διετυπώσαμεν. Εἰ τὰς τοιαύτας τινὰς αἰτίας, ἢ φανερὰς ἐξ αὐ-

† δεδημοσιευμένον καὶ πρόδηλον.

τῶν, ἢ μίαν οἱ παῖδες ἐν ταῖς ἰδίαις ἐγγράψαιεν διαθήκαις, καὶ οἱ γραφόμενοι παρ' αὐτῶν κληρονόμοι, ἢ πάσας φανερῶς ἢ μίαν ἐκ τούτων ἀποδείξαιεν ἀληθῆ, τὴν διαθήκην ἐν τῇ ἰδίᾳ ἰσχύϊ διαμένειν προστάττομεν. εἰ δὲ ταῦτα μὴ παραφυλαχθείη, μηδεμίαν δύναμιν τὴν τοιαύτην διαθήκην, τότε εἰς τὴν ἔνστασιν τῶν κληρονόμων, ἔχειν θεσπίζομεν· ἀλλ' ἀνατρεπομένης τῆς διαθήκης, τοῖς ἐξ ἀδιαθέτου εἰς τὴν τοῦ τελευτήσαντος κληρονομίαν καλουμένοις, τὰ ἐκείνου πράγματα δίδοσθαι τυποῦμεν. τῶν λεγάτων δηλονότι καὶ τῶν πίστει παρ' αὐτοῦ διδομένων ἐλευθεριῶν, καὶ τῶν δόσεων τῶν ἐπιτρόπων, καὶ τῶν ἄλλων κεφαλαίων καθάπερ ἀνωτέρω εἴρηται, τὴν ἰδίαν ἐχόντων ἰσχύν. εἴ τι δὲ περὶ λεγάτων, ἢ πίστει τινὶ παρ' αὐτοῦ δοθείτη, ἢ ἐλευθεριῶν, ἢ ἄλλων οἱωνδήποτε κεφαλαίων, ἄλλοις νόμοις εὑρεθείη ταύτῃ τῇ διατάξει ἐναντίον, τοῦτο κρατεῖν κατ' οὐδένα τρόπον βουλόμεθα. καὶ αὗται μὲν τῶν ἀποκλήρων αἱ ποιναὶ τό γε εἰς τὴν τῆς ἀχαριστίας αἰτίαν κατὰ τῶν εἰρημένων προσώπων διετυπώθησαν. εἰ τινὲς δὲ ἐξ αὐτῶν εἰς ἐγκλήματα ἀναφέρονται, τοὺς τούτων πειρατήρας, καὶ τὰς ἄλλας ὑπομένειν ποινάς, τὰς τοῖς νόμοις διωρισμένοις. τοῦτο δὲ διετυπώσαμεν, ἵνα καὶ τοὺς γονεῖς καὶ τοὺς παῖδας ἀπὸ τῆς διαθηκῶν ὕβρεως ἐλευθερώσωμεν. Εἰ δέ τινες κληρονόμοι ὀνομασθεῖεν, κἂν εἰ ῥητοῖς πράγμασιν ἀρκεσθῆναι προσταχθεῖεν, ἐν τούτῳ τὴν μὲν διαθήκην μὴ ἀνατρέπεσθαι προστάττομεν. ὅπερ δὲ ἂν ἔλαττον αὐτοῖς τῆς ἐκ τῶν νόμων μοίρας καταλειφθείη, τοῦτο κατὰ τοὺς ἄλλους ἡμῶν νόμους, παρὰ τοὺς νόμους ἀναπληροῦσθαι. μία γάρ ἐστι τῆς ἡμετέρας γαληνότητος φροντίς, τὸ τὴν ὕβριν τῆς ἀποκληρώσεως τῶν γονέων καὶ τῶν παίδων ἀνελεῖν. σκοπεῖν γὰρ ὀφείλουσιν οἱ γονεῖς, ὅτι καὶ αὐτοὶ παῖδες γεγόνασι, καὶ τὰ αὐτὰ παρὰ τῶν οἰκείων γονέων ἐσχήκασι, καὶ παραπλησίως οἱ νῦν ὄντες υἱοὶ σπουδάζουσι τοὺς τῶν γονέων λογισμοὺς θερα-

πεύειν

πλέειν· ἐπειδὴ καὶ αὐτοὶ γονεῖς ἐπιθυμοῦσι γενέσθαι, καὶ ὑπὸ τῶν ἰδίων θέλονται τιμηθῆναι παίδων. Μονάζοντες πατέρες ἢ παῖδες, οὐκ ἐκβάλλονται τῆς κληρονομίας, δι' αἰτίαν γενομένην πρὸ τῆς καρώσεως τούτους εἰς μοναχούς. Ὅτε ἐκεῖνος μόνον τῶν ἀδελφῶν γενόμενος ἀχάριστος, μετέχειν τοῦ κέρδους τῆς κληρονομίας τῶν ἀδελφῶν οὐ συγχωρεῖται, ὅς ἂν ἢ θάνατον ἐπιβουλεύσει τοῦ ἀδελφοῦ, ἢ ἐγκληματικὴν ἐπανέγκοι τὸ κατ' αὐτοῦ γραφήν, ἢ τῆς οὐσίας αὐτοῦ προθύσει ἐπαγαγεῖν ἀφαίρεσιν· τὸ γὰρ ἐκείνου μέρος, ἔστε τοὺς λοιποὺς ἀδελφούς, καὶ ἀδελφόπαιδας, καὶ τὴν μητέρα ἔρχεται. Καὶ τοῦτο ἡμῖν ἔδοξεν εὐσεβές τι ἅμα καὶ χαρίεν, ἵνα ὁ πλείονα ἄγων ἡλικίαν, μὴ δύνηται τὸν συγγενῆ αὐτοῦ ἐξ ἀδιαθέτου κληρονομεῖν, παρ' οὗ προσκληθεὶς ἐπὶ ἐκδικήσει ἰδίου πράγματος, κατημέλησε χωρὶς εὐλόγου προφάσεως. Ὁ ἀνήλικος ἀνηλίκῳ συζῶν, οὐ δύναται τοῦτον ἐξ ἀδιαθέτου κληρονομεῖν· μὴ διεκδικῶν τὰ αὐτοῦ πράγματα. Ὁ συγγενῆ ἔχων, ἢ κωφόν, ἢ ἄλαλον, ἢ ἄφρονα, ἢ μαινόμενον, εἰ μὴ προμηθούμενος διεκδικεῖ τὰ αὐτοῦ πράγματα, οὐ δύναται τοῦτον κληρονομεῖν, τὰ αὐτὰ καὶ περὶ αἰχμαλώτων.

## ΠΕΡΙ ΛΕΓΑΤΟΥ. Τίτλ. Γ.

Λεγάτον ἄπαν πρᾶγμα ἐστίν, ὃ πλουτῶν τις καταλείψει τινί· οὐ κατὰ λόγον κληρονομίας ἀφεὶς τοῦτο, ἀλλ' εἰς δήλωσιν ἀγάπης, καὶ ἵνα ὁ λαβὼν αὐτὸ ἀνάμνησιν ἔχῃ τοῦ πλουτίσαντος. Λεγάτον ἐστί, δωρεὰ ἐν διαθήκῃ καταλειφθεῖσα, ἢ κατὰ ἄλλους, κληρονομίας μείωσις. Ὁ λεγάτα ταῖς θυγατράσι διδούς, οὐ δοκεῖ διὰ τῶν θυγατέρων καὶ τοὺς υἱοὺς συμπαραδηλοῦν, οὐδὲ ἐν τῷ λέγειν, ἢ γράφειν τῶν θυγατέρων τὸ ὄνομα, σημαίνει καὶ τοὺς υἱούς. ἀλλὰ τοὐναντίον, διὰ τοῦ ὀνόματος τῶν υἱῶν, καὶ θυγατέρες δηλοῦνται, καὶ ὁ εἰπὼν τοῖς ἐμοῖς υἱοῖς ἀφίημι τόδε, καὶ τὰς θυγατέρας κἂν οὐκ εἴπῃ δηλοῖ,

καὶ

καὶ ἁπλῶς πάντας τοὺς παῖδας οὓς ἔχει, οὐ μόνοι ἐπὶ λεγάτων ἀλλὰ καὶ ἐπὶ ἄλλου οἱουδὴ τινὸς πράγματος, τὸ γὰρ πρότιμότερον ὄνομα τὸ υἱός, συμπεριλαμβάνει καὶ τὸ τῶν θυγατέρων ὡς ἔλαττον. τὰ ὑπὸ αἵρεσιν λεγάτα, ἃ καὶ αἱρετικὰ λέγεται, τότε χρεωστοῦνται ὅτε ὁ λεγατάριος πληρώσει τὴν αἵρεσιν· πρὸ δὲ τοῦ πληρωθῆναι τὴν αἵρεσιν, οὔτε ζητοῦνται, οὔτε δίδονται, οὔτε οἱ κατέχοντες αὐτὰ ἀπαιτοῦνται· ὡς οὔπω κεχρεωστημένα γενόμενα. ὁ λεγατάριος, οὐ δύναται μέρος καταδέχεσθαι καὶ μέρος παραιτεῖσθαι. ἀγέλης λεγατευομένης, καὶ τὰ προστεθέντα λαμβάνει ὁ λεγάτωρ· εἰ δὲ μειωθῇ, κἂν εἰς ἕνα οὖν περιστῇ, λαμβάνει αὐτὸ ὁ λεγατάριος, εἰ καὶ ἐπαύσατο εἶναι ἀγέλη. καὶ οἴκου λεγατευομένου καὶ καιομένου, λαμβάνει τὸ ἔδαφος, ἐάν τις κτῆμα κατεξαίρετον τοῖς ἀδελφοῖς αὐτοῦ ὡς λεγάτον καταλιπὼν, μεταταῦτα ἄλλῳ τινὶ τὸ αὐτὸ κτῆμα λεγατεύσει, πάντες ἅμα συνιόντες οἱ λεγατάριοι, τὸ κτῆμα λαμβάνουσιν. ἐλεγάτευσά σοι τὸν ἐμὸν οἰκέτην, μετὰ τοῦ πεκουλίου αὐτοῦ, ἐπιζήσας τῇ ποιήσει τῆς διαθήκης, ἠλευθέρωσα τὸν οἰκέτην, ἢ ἐξεποίησα αὐτὸν, ἢ συνέβη αὐτὸν τελευτῆσαι, οὐ μόνον ἐπ' αὐτῷ, ἀλλὰ καὶ τῷ πεκουλίῳ ἐξασθενεῖ τὸ λεγάτον· τῶν γὰρ πρωτοτύπων μὴ σωζομένων, ὑφεστάναι οὐ δύναται τὰ παρακολουθήματα.

τὸν λεγατευθέντα δοῦλον, μὴ παραδοθέντα λεγαταρίῳ, ἀλλὰ φυγόντα, ἢ ἄλλως μακρὰν ἀποδημήσαντα, ὁ κληρονόμος ἰδίοις δαπανήμασιν ἀναζητεῖν αὐτὸν ἀναγκάζεται, καὶ ἄγειν, καὶ κομίζειν, καὶ διδόναι τῷ λεγαταρίῳ. τοῦ λεγατευθέντος δούλου φυγόντος ἔτι ζῶντος τοῦ διαθεμένου, ὁ λεγατάριος ᾧ τινι ὁ φυγὼν δοῦλος ἀφείθη λεγάτον, ἀλλ' οὐχ ὁ κληρονόμος ἀναζητεῖν αὐτὸν ἀναγκάζεται. δοῦλος ἀπὸ ἰδίου δεσπότου, οὐκ ἀφίεται λεγάτον, εἰ μὴ αὐτῷ ἐλευθερία χορηγηθῇ, κἂν ἀφεθῇ οὐ δίδοται. εἰ μὴ πολλάκις ὕστερον ἐλευθε-

ἐλευθερωθῇ. Ἀνθρώπου μὲν εἰς λεγάτον καταλειφθέντος, ἔξεστι τῷ κληρονόμῳ εἰ βούλεται διδόναι τῷ λεγαταρίῳ τὴν τοῦ ἀνθρώπου τιμήν, καὶ ἔχειν αὐτόν· ἀλλ' οὐ δὲ σκεύους ἢ εἴδους καταλειφθέντος, οὐκ ἔξεστιν, ἀλλ' ἀναγκάζεται αὐτὸ τὸ καταλειφθὲν τῷ λεγαταρίῳ διδόναι. Εἰ ὃ ἐλεγάτευσά σοι ἐκποιήσω, καὶ πάλιν κτήσομαι, οὐκ ἀπαιτεῖς τοῦτο, εἰ μὴ δείξεις τοιαύτην διάθεσιν. Ἐὰν λεγατεύσῃ τις τινὶ ἀλλότριον πρᾶγμα, εἰδὼς ὅτι ἀλλότριόν ἐστιν, ἀναγκάζεται ὁ κληρονόμος, ἢ ἀγοράσαι τοῦτο, καὶ δοῦναι πρὸς αὐτόν, ἢ τὸ τίμημα πρὸς αὐτὸν δοῦναι· εἰ δὲ ἠγνόει ὁ διατιθέμενος ἀλλότριον εἶναι τοῦτο, ἀνυπόστατον τὸ λεγάτον. Τελευτήσαντος τοῦ λεγατευθέντος βοός, δίδοται τῷ λεγαταρίῳ, οὔτε κρέα, οὔτε βύρσα, τελευτήσας γὰρ οὐκέτι ἐστὶ βοῦς· ἔτι δὲ ζῶντα καὶ τελευτῶντα τὸν βοῦν, οὐ δύναται ἀπαιτεῖν καὶ λαμβάνειν ὁ λεγατάριος. Τεθρίππου λεγατευθέντος, καὶ τοῦ ἑνὸς τῶν ἵππων τελευτήσαντος, ὁ κληρονόμος οὐκ ἀπαιτεῖται τὸ τέθριππον· εἰ δὲ ζῶν ὁ διατιθέμενος ἀναπληρώσει τὸ τέθριππον, δίδοται τῷ λεγαταρίῳ· τέθριππον γάρ ἐστιν. Ἐλεγατεύθησαν τινὶ ζῶα, καὶ παρακατετέθησαν παρὰ τῶν ἐπιτρόπων, καὶ ὁ μάγιστρος ἔκρινεν, ἀπολαβεῖν τὸ λεγάτον μετὰ καὶ τῆς ἐπιγονῆς, οὐχ ὑπερβαινόντων τὴν τῶν πρωτοτύπων σωμάτων ποσότητα. Ἐὰν ἑνὶ μέρος τῆς οὐσίας λεγατευθῇ, καὶ ὑφέληται τῆς κληρονομίας πράγματα, ἐκπίπτει τῆς ἁρμοζούσης αὐτῷ τῶν λεγάτων ἀπαιτήσεως, ἐφ' οἷς παρακατέσχε πράγματα· τούτων γὰρ τὸ μέρος ἀπαιτεῖν οὐ δυνάμεθα. Ἐὰν μέρος οὐσίας λεγατευθῇ, ἐπιλογὴν ὁ κληρονόμος ἔχει, ἢ τὸ μέρος τῶν πραγμάτων δοῦναι, ἢ τὴν ἀποτίμησιν αὐτῶν· τῶν μέντοι ἀδιαιρέτων πάντως τὸ τίμημα δίδωσιν. Ἐὰν πολλὰ καὶ διάφορα πράγματα ἔχων, λεγατεύσω τινὶ ἓν ἐξ αὐτῶν, ἢ καὶ πλείω, καὶ μὴ δηλώσω ποῖον ἐξ αὐ-

τὴν, ὁ κληρονόμος ἔχει τὴν αὐτὴν λογὴν, ἐφ᾽ ᾧ μέντοι, μὴ τὸ χεῖρον δυνάσθαι παρὰ λεγατευθέντι, ἀλλὰ τὸ μέσης ὑπάρχον ποιότητος. τῶν κινητῶν λεγατευθέντων, ὁ χρυσὸς ἢ ὁ ἄργυρος οὐ περιέχεται, ἀλλ᾽ ἰδικῶς ταῦτα μνημονεύεται· ὡς μὴ ἐλάχιστα ἀλλὰ μεγάλα. πρόληψις γάρ ἐστιν ἐν νόμῳ, ὡς ὁ διατιθέμενος μετὰ τῶν οἱωνδήποτε κινητῶν, τὰ τιμιώτερα οὐ γενικῶς, ἀλλ᾽ ἰδικῶς αὐτῶν μέμνηται. καὶ ἐν αὐτῇ στολῇ καὶ ἐν οἱῳδήποτε λιβέλλῳ, καὶ ἀγράφως, καὶ νεύματι, λεγάτον καταλιμπάνεται. Ἡ πλαστὴ ἀπαρίθμησις, οὐδέποτε βλάπτει τὰ λεγάτα, εἴθε καὶ εἴ τις λεγατεύων εἴποι, δίδωμι τῷ δεῖνι τοσάδε, ὅτι ἃ χρεωστῶ αὐτῷ, κἂν μὴ χρεωστῇ ἀλλὰ ψευδῶς εἴπῃ, ἔρρωται τὸ λεγάτον. μετὰ τριακονταετίαν τὸ λεγάτον οὐκ ἀπαιτεῖται. Ἀφῆκέ τις καθ᾽ οἱονδή τινα τρόπον πρᾶγμά τινι, συνέβη μετὰ ταῦτα καὶ ἀπέθανεν ὁ ἀνήρ, πρὸς ὃν ἀποδοθῆναι τὸ πρᾶγμα ἔμελλε, καὶ ᾧ τὴν τελείαν δεσποτείαν ὁ λεγατεύσας ἀνέθετο, ζῇ δὲ ἔτι ὁ μέλλων διακομίζειν καὶ ἀποδιδόναι αὐτῷ τὸ τοιοῦτον πρᾶγμα, κερδαίνει ὅς τις ἔφθασε καὶ ἔλαβε τοῦτο, ἵνα φυλάξῃ καὶ μετακομίσῃ πρὸς ἕτερον. καὶ οὐ δύναται τὸ μέρος τοῦ μέλλοντος λαμβάνειν τὸ πρᾶγμα, ζητεῖν καὶ ἀνακαλεῖσθαι αὐτό, εἰ μὴ πολλάκις ὁ πρῶτος τοῦ πράγματος κύριος, ὅς τις ἀφῆκε τοῦτο, ἀλλ᾽ ὅτι ῥητῶς περὶ τούτου διετάξατο.

## ΠΕΡῚ ἈΤΕΛΟΥ͂Σ ΔΙΑΘΗ΄ΚΗΣ.

Τὰ ἐν τῇ ἀτελεῖ διαθήκῃ καταλειφθέντα, τότε ὀφείλουσιν ἐκπληροῦσθαι, ὅτε οἱ ἐξ ἀδιαθέτου τὰ ἐν τῇ διαθήκῃ παρά τινων γένωνται· ἔστι τοῦτο τοιοῦτον. Ἀτελὴς διαθήκη οὐ στέργεται, οἱ ἐξ ἀδιαθέτου δὲ κληρονόμοι, καὶ ἀπὸ τῆς ἀτελοῦς διαθήκης κληρονομοῦσιν, οὐ διὰ τὴν διαθήκην, ἀλλὰ διὰ τὸ φυσικῶς πρὸς αὐτοὺς δίκαιον. ὅταν οἱ ἐξ ἀδιαθέτου κληρονομοῦντες τὰ ἐν τῇ ἀτελεῖ διαθήκῃ φυλάξωσι, τότε καὶ λεγάτα

ἀπ-

ἀποδιδόναι καταναγκάζονται· ἐπειδὴ γὰρ εἰς τἆλλα τὴν διαθήκην οὐκ ἀθετοῦσιν, οὐ δύνανται οὐδὲ τοῖς λεγάτοις αὐτὴν ἀθετεῖν. Ἐὰν λεγατευθῇ ἐμοὶ καὶ κυοφορουμένῳ, μὴ τικτομένου τοῦ κυοφορουμένου, τὸ πᾶν λαμβάνω, εἰ καὶ εἶπεν ὁ διαθέμενος ἀναλογοῦντα μέρη ἡμᾶς λαμβάνειν. Ἐὰν δὲ αὐτὸ πρᾶγμα πολλάκις μοι ἐν τῇ διαθήκῃ λεγατευθῇ, ἅπαξ μόνον ἢ τὸ πρᾶγμα, ἢ τὴν ἀποτίμησιν λαμβάνω· εἰ δὲ ἐν διαφόροις διαθήκαις, ἀπὸ μὲν τῆς μιᾶς τὸ πρᾶγμα, ἀπὸ δὲ τῆς ἄλλης τὸ τίμημα λαμβάνω. Ἐὰν κατὰ μέρος ὅλος λεγατευθεὶς οἶκος ἀνανεωθῇ, ὡς μηδὲν ὑπεῖναι τῆς προτέρας ὕλης, ἔῤῥωται τὸ λεγάτον· εἰ δὲ καταγάγοι αὐτὸν ὁ διαθέμενος, καὶ ἄλλον ἀντ᾽ ἄλλου κτίσει, ἔσβεσται, εἰ μὴ ἐκεῖνον ἀνενέωσεν. Ὅτε διὰ τῆς ἐκ διαθήκης ἀγωγῆς τὸ λεγάτον ἀπαιτεῖται, οἱ μετὰ τὴν κατάρξιν καρποὶ, καὶ τόκοι, καὶ τὰ προσοδευθέντα τῷ λεγατευθέντι δούλῳ, ἀποκαθίστανται τῷ λεγαταρίῳ.

## ΠΕΡΙ ΚΤΗΜΑΤΩΝ ΥΠΟΚΕΙΜΕΝΩΝ.

Ἐὰν κτήματα ὑποκείμενα λεγατευθῶσιν, ὁ κληρονόμος ἀναγκάζεται ἀναῤῥύσασθαι· εἰ δὲ ἐπράθησαν ἤδη παρὰ τοῦ δανειστοῦ, ὁ κληρονόμος ἀναγκάζεται δοῦναι τῷ λεγαταρίῳ, τὴν διατίμησιν αὐτῶν. Ἐὰν γράψῃς πρός με ἐπιστολὴν, ἐφ᾽ ᾧ μετὰ θάνατόν σου ἀνοιγῆναι, ἔχουσαν οὕτως, εἰδέναι σε βούλομαι ὅτι ἐδωρησάμην σοι ρ̄. ῑ, ἔῤῥωται τὸ λεγάτον· εἰ καὶ μὴ πρὸς τὸν κληρονόμον, ἀλλὰ πρὸς ἐμὲ διελέχθη. Ἐὰν λεγατάριος κρύψῃ τὴν διαθήκην, καὶ μετὰ ταῦτα φανῇ τὸ λεγάτον ἐκείνου μὲν ἀφαιρείσθω· μενέτω δὲ παρὰ τῷ κληρονόμῳ, ὡς μὴ γεγραμμένον.

## ΠΕΡΙ ΟΙΝΟΥ.

Οἴνου λεγατευομένου, καὶ τὰ ἀγγεῖα αὐτοῦ περιέχονται, δι᾽ ὧν κέραμοι καὶ κάδδοι· οὐ μὴν οἱ κεχωσμένοι πίθοι, ὅτε οἱ ἀσ-

κοί, καὶ ἁπλῶς ἐκεῖνα τὰ ἀγγεῖα τῷ λεγατάριῳ τοῦ οἴνου παρε-έζονται, ὅσα διὰ τὸ παρὸν ταῦτα χρήσιμ' αὐτὸν ἐστίν.

ΠΕΡῚ ΟἼΝΟΥ. Οἴνου λεγατευομένου, εἰ μὲν κατ' ἰδιολογίαν, καὶ ὄξος εἰ βούλεται λαμβάνει ὁ λεγατάριος· εἰ δὲ μὴ κατ' ἰδιολογίαν, εἰ μὴ πάρεστιν οἶνος, ἀναγκάζεται ὁ κληρονόμος ἀγοράσαι καὶ δοῦναι οἶνον, οὐ μὴν ὄξος ὅπερ εἶχεν ὁ λεγατεύσας, ἐν ἀριθμῷ οἴνου. Ἐάν τις ἔχῃ ἀμπελῶνα καὶ λεγατεύσῃ τινὶ τὸν ἐξ αὐτοῦ γενησόμενον οἶνον τοσόνδε, προσθεὶς ῥητῶς καὶ τοῦ οἴνου τὸ ποσόν· ἔπειτα δὲ ὁ ἀμπελὼν οὐ ποιήσει τόσον οἶνον, ὅσον ὁ διαθέμενος εἶπεν, ἀλλ' ὀλιγώτερον, ὁ λεγατάριος οὐκ ἔχει ἄδειαν ἐξ ὁλοκλήρου ζητεῖν τὴν λεγατευθεῖσαν αὐτῷ τοῦ οἴνου ποσότητα, ἀλλ' ἀναγκάζεται ἀρκεσθῆναι, εἰς ὅσον ὁ ἀμπελὼν ἐξ οὗ ἐτάχθη τὸν οἶνον λαβεῖν κατὰ τὸν χρόνον ἐκεῖνον ἐκαρποφόρησεν.

## ΠΕΡῚ ἈΓΡΟΥ̃.

Ἐὰν λεγατεύσω σοι ἀγρὸν μετὰ τοῦ ἐξοπλισμοῦ, καὶ πωλήσω τὸν ἀγρόν, οὐ δύνασαι διεκδικεῖν τὸν ἐξοπλισμόν. εἰ δὲ οὕτω λεγατεύσω ἀγρὸν καὶ τὸν ἐξοπλισμόν, εἰ ἀγρὸν παρεσκευασμένον, δύνασαι τοῦ ἀγροῦ ἐκποιουμένου, ἀπαιτεῖν ταῦτα. Τῷ ἐξοπλισμῷ τοῦ ἀγροῦ, περιέχονται ὅσα ἰδίᾳ τῷ κεῖσθαι καὶ συλλεχθῆναι καὶ φυλαχθῆναι τοὺς καρποὺς παρεσκεύασται· οἷ γεωργοὶ βόες, τὰ διὰ τὸ κοπρίζειν θρέμματα, καὶ τὰ πρὸς γεωργίαν ἐργαλεῖα καὶ συλλογὴν τῶν καρπῶν, ἔτι δὲ καὶ τὰ πρὸς φυλακὴν αὐτῶν. Εἶχέ τις ἀγροὺς δύο καὶ βόας δύο, ἐν τῷ ἑνὶ μὲν ἀγρῷ μένοντας, ἐν τῷ λοιπῷ δὲ ἐργαζομένους, τελευταῖον ὁ κύριος τῶν ἀγρῶν ἀφῆκε λεγάτα τοὺς τοιούτους ἀγρούς τινὶ μὲν τὸν ἕνα, ἄλλῳ δὲ τὸν ἕτερον· τοὺς δὲ βόας οὐκ ἀφῆκε τινί, λαμβάνει καὶ τούτους ὁ καὶ τὸν ἀγρὸν λαβὼν ἐν ᾧ ἐργάζονται ἰδίᾳ καὶ εἰς τοῦτον, ἀλλ' οὐκ εἰς ἐκεῖνον συμβάλλονται· οὐ γὰρ ἕπονται κατὰ νόμον τῷ ἀγρῷ

ἐν ᾧ ἔμελλον, ἀλλὰ τῷ ἑτέρῳ ἐν ᾧ εἰργάζοντο. Εἶχέ τις ἀγρὸν, καὶ παρ' αὐτοῦ τούτου τοῦ ἔχοντος τὸν ἀγρὸν, ἠξιώθη ἄλλος ὡς λεγατάριος λαβεῖν τὸν ἀγρὸν ὅλον, πλὴν οὕτως, εἰ δώσει διὰ τὴν τοῦ ἀγροῦ κτῆσιν, ι ι'. ὁ δὲ μὴ δυνάμενος τὰ ι' ἀποδοῦναι ι ι, ζητεῖ δοῦναι τὰ ε', καὶ λαβεῖν τὸ ἥμισυ τοῦ ἀγροῦ. ὁ νόμος ὁρίζει, μὴ εἰσακούεσθαι τούτου τὴν ζήτησιν, ἀλλὰ καθ' ὁλοκληρείαν τοῦ ἀγροῦ στερεῖσθαι αὐτόν.

## ΠΕΡῚ ΟἼΚΟΥ.

Τοῦ λεγατευθέντος, ἢ πραθέντος οἴκου ἐστὶν, ἅτινα ἢ ὡς μέρος αὐτοῦ ἐστὶν, ἢ δι' αὐτὸ γίνονται· ὡς τὸ τοῦ φρέατος σκέπασμα, καὶ αἱ δεξαμεναὶ, καὶ οἱ λουτῆρες, καὶ οἱ ἡνωμένοι τοῖς ἀναβρυτοῖς σωλῆνες. εἰ καὶ πόρρω τῆς οἰκίας ἐκτείνονται, καὶ οἱ κάναλοι· οἱ δὲ ἐν ταῖς πισκίναις ἰχθύες, οὐκ εἰσὶ τοῦ οἴκου, οὐδὲ τοῦ ἀγροῦ, ὥσπερ οὐδὲ τὰ λοιπὰ ζῶα, οὐκ εἰσὶ τῆς οἰκοσκευῆς, οὐδὲ λογίζονται πρὸς τὴν τοῦ οἴκου σύστασιν συμβαλλόμενα, ὅσα πρὸς τέρψιν, ἀλλ' οὐ πρὸς χρῆσιν εἰσίν. Ἐὰν Πέτρῳ καὶ Μαρίᾳ λεγατεύσω ϙ ι ι, εἰ συναφθῶσιν ἀλλήλοις πρὸς γάμον, καὶ συμβῇ τὴν μίαν πρὸ τῆς ἀνοίξεως τῆς διαθήκης ἀποθανεῖν, ἀργεῖ τῶν δύο τὸ λεγάτον. εἰ δὲ περίεισι, καὶ ὁ μὲν εἷς παραιτεῖται συναφθῆναι, ὁ δὲ ἄλλος ἕτοιμός ἐστι, μόνου τοῦ παραιτουμένου τὸ μέρος ἀθετεῖ. Ἐὰν μετὰ ψῆφον καὶ τὴν πεπραγμένην ὑπέρθεσιν ποιήσῃ ὁ κληρονόμος περὶ τὴν καταβολὴν τοῦ λεγάτου, τὰ μέχρι ψήφου κέρδη δίδωσι τῷ λεγαταρίῳ.

## ΠΕΡῚ ΕΥ̓ΣΕΒΟΥ͂Σ ΛΕΓΑΤΟΥ.

Ὁ ὑπερτιθέμενος τὸ εὐσεβὲς καταλιπεῖν λεγάτον, ἓξ μῆνας ἀπὸ τῆς ἐμφανείας τῆς διαθήκης καὶ τῆς ἀσφαλείας τοῦ ἰδιοχείρου ἐκείνου, ὅστις ἠσφαλίσατο δοῦναι τι εἰς εὐσεβεῖς αἰτίας, καὶ καρπὸν καὶ τόκους ἀπαιτεῖται. Ἐντὸς ἐνιαυτοῦ, εἰ μὴ δοθῇ τὸ καταλειφθὲν εὐαγεῖ οἴκῳ, διπλοῦν ἀπαιτεῖται.

## ΠΕΡῚ ἘΠΙΤΡΟΠΩΝ. Τίτλ. ια.

ἐπίτροπός ἐστι, δίκαιόν τε καὶ ἐξουσία κατὰ ἐλευθέρας κεφαλῆς διδομένη, καὶ πρὸς ἀσφάλειαν αὐτοῦ ἐπινοουμένη, ἢ διὰ τὸ τῆς ἡλικίας ἀτελές, ἢ διὰ τὸ τῆς εὐπραγίας ἀληθὲς ἐπιτεταγμένη. Ὁ δὲ ἀναζητήσεως ἀρχόντων δοθεὶς ἐπίτροπος, ἢ κουράτωρ, εἴωθε ταῦτα ἐπιζητεῖσθαι, εἰ εὔπορός ἐστιν, εἰ σώφρων τὸν βίον, εἰ ἔχει ἐνέχυρα βίου, τουτέστι παῖδας· ὁ γὰρ παῖδας ἔχων, οἶδεν ὅπως δεῖ προσφέρεσθαι τοῖς ὀρφανοῖς, οὓς εἰς τάξιν δίδονται πατρός, καὶ εἰ στοργὴν ἔχει πρὸς τοὺς ἐγκαταλειμμένους. Ὁ ἐπίτροπος ἢ παρὰ τοῦ δικαστοῦ δίδοται, καὶ δίδοται τότε. ὅταν τελευτήσωσιν οἱ γονεῖς καὶ ἀφήσωσιν ἀνηλίκους παῖδας, καὶ ἐπιτρόπους τούτοις οὐκ ἐπιστήσωσι, καὶ λέγεται ὁ παρὰ τοῦ δικαστοῦ διδόμενος ὡς ἐδηλώθη ἐπίτροπος, λεγίτιμος, ὅπερ ἐστὶ παρὰ τοῦ νόμου δοθείς, ἤγουν τῶν κατὰ νόμους δικαζόντων κριτῶν· λέγουσι δ' οἱ Ῥωμαῖοι, τοὺς νόμους καθονομάζουσι· ἢ γοῦν παρὰ τοῦ δικαστοῦ δίδοται ὁ ἐπίτροπος, ἢ παρὰ τοῦ πατρὸς ἢ τῆς μητρός, ἀλλ' ὁ μὲν πατὴρ εἰς τοὺς γνησίους υἱούς, ὡς κυρίως ἐξουσιαστὴς ὑπάρχων αὐτῶν, δύναται καὶ κληρονόμους ἀποκληρονόμους γράφων τοὺς παῖδας, ἐπιτρόπους τούτων ποιεῖν· ἡ δὲ μήτηρ, ὅτε μὴ κληρονομίαν ἀφήσει τοῖς υἱοῖς τότε μόνον ἄδειαν ἔχει ἀφιέναι τούτοις καὶ ἐπιτρόπους, ἀλλ' οὐδὲ τότε ἁπλῶς, εἰ μὴ ὁ δικαστὴς ἐξετάσει τοῦτο καὶ στέρξει. Καὶ ζῶντος τοῦ ἀνδρός, καλῶς καταλιμπάνει ἡ μήτηρ ἐπίτροπον τῷ κοινῷ τέκνῳ. Κωφὸς καὶ ἄλαλος, οὐκ ἐπιτροπεύει. Προσώπῳ ἡ ἐπιτροπή, καὶ οὐ πράγματι δίδοται.

Ὅτι ἡ ἐπιτροπή, εἰς κληρονόμους οὐ παραπέμπεται.

ΣΧΟΛ. Τοῦτο τὸ κεφάλαιον, οὕτως ὁ Βέστης ἡρμήνευσεν, τὴν μὲν ἐπιτροπὴν τοὺς ἔχουσαν ὀρφανοὺς καὶ ἀποκαταστάτους κληρονόμους, μὴ παραπέμπεσθαι, μετὰ τὸν τοῦ ἐπιτρόπου θάνατον εἰς κληρονόμους· ἀλλ' ἢ εἰς συνεπιτρόπους αὐτοῦ εἰ περίεισιν, ἢ παρὰ τοῦ κοιαίστωρος κουράτωρ τοῖς ὀρφανοῖς δοθήσεται

ται

ται. τὴν δὲ ἐπιτροπὴν τὴν μόνην ψυχικὴν διανομὴν, καὶ ἐλευθερίαν ἔχουσαν καὶ λεγάτα, ταύτην καὶ εἰς κληρονόμους παραπέμπεσθαι, ὥστ᾽ ἐκπληρωθῆναι παρ᾽ αὐτῶν τὰ ἐνδέοντα. Δήλῳ πράγματι ἢ αἰτίᾳ, ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται, ὅτι ὑπεξηρημένων πραγμάτων, ἀλλ᾽ εἰ καὶ οὕτω δοθῇ, πᾶσα ἡ δόσις ἀκυροῦται· προσώπῳ γὰρ καὶ οὐ πράγματι, ἢ αἰτίᾳ δίδοται ὁ ἐπίτροπος. ΣΧΟΛ. τοῦτο τὸ κεφάλαιον οὕτως ἡρμήνευσεν ὁ μαγιστρος, ὁ πάντα τὰ νόμιμα τὰ περὶ ἐπιτρόπων, περὶ ἐκείνων φησὶν, οἵ τινες ἐπίτροποι ἀνήβοις δίδονται, καὶ οὐκ ἔστιν εὑρεῖν ἓν καὶ μόνον νόμιμον, μὴ διαλαμβάνον καὶ περὶ ἀνήβου, καὶ ὅτι ἔστι, καὶ ὑπόκειται ἄνηβος, οὐ δύναται δοθῆναι τούτῳ ἐπίτροπος ἐπὶ αἰτίᾳ. οἷον ἔστω ὁ δεῖνα ἐπίτροπος τοῦ παιδός μου, ἵνα μόνον διδάξῃ αὐτὸν γράμματα. καὶ ἐπὶ τῇδε ἢ τῇδε τῇ δίκῃ, ἢ δικαίῳ πράγματι· οἷον ἔστω ὁ δεῖνα ἐπίτροπος τοῦ υἱοῦ μου ἐπὶ τοῖς κινητοῖς ἢ ἀκινήτοις πράγμασι, ταῦτα γὰρ οὐ κρατοῦσι γινόμενα ὅτι ὑπόκειται ἄνηβος· προσώπῳ γὰρ ἡ ἐπιτροπὴ καὶ οὐ πράγματι δίδοται. οἷον τῷ ἀνήβῳ δίδοται ἐπίτροπος, ὥστε διοικεῖν πάντα τὰ τούτου καλῶς, οὐχὶ τοῖς πράγμασιν αὐτοῦ δίδοται ἐπιτροπὴ, ὥστε τὰ μὲν ἔχειν ἐξουσίαν διοικεῖν, αὐτοῦ δὲ τοῦ ἀνήβου μὴ φροντίζειν. ἔνθα δὲ οὐκ ἔστιν ἄνηβος ἐν διαθήκῃ, οἱ διδόμενοι ἐπίτροποι, κἂν τε μερικοὶ ὦσι, κἂν τε καθόλου, διοικοῦσι καθὼς προσταχθῶσιν· οὐ γὰρ πρόσωπον ὑπόκειται ἐνταῦθα, ἵνα κρατήσῃ τὸ λέγον νόμιμον, προσώπῳ δὲ καὶ οὐ πράγματι δίδοται ἡ ἐπιτροπή. Ἐπιτροπεύονται κατὰ τὸν πολιτικὸν νόμον, ἐλεύθεροι, οἱ διαφενδεύειν ἤτοι ἐκδικεῖν ἑαυτοὺς διὰ τὴν ἡλικίαν μὴ δυνάμενοι. Ἐὰν ἔχῃ δίκην πρὸς τὸν ἐπίτροπον ὁ ὀρφανὸς, ἀναγκάζεται αἰτεῖν ἑαυτοῦ κουράτωρα. Καὶ τῷ ἀλάλῳ δίδοται ἐπίτροπος.

Τῷ υἱῷ τοῦ αἰχμαλώτου, ἐπίτροπος οὐ δίδοται, ἀλλὰ τῇ οὐ-

σίᾳ

σία κουράτωρ ὑποστρέφοντος παρὰ τοῦ πατρὸς, γίνεται αὐτοῦ ὑπεξούσιος, ὡς εἰ μηδέποτε ᾐχμαλωτίσθη. Καὶ τοῖς ἔχουσι ἐπίτροπον νοσοῦντα, ἢ λείποντα, δίδοται κουράτωρ, ἢ ἐξ αἰτήσεως δηλαδὴ τοῦ ἐπιτρόπου, ἢ ἐξ αἰτήσεως τοῦ ἀνήβου, ὅστις κουράτωρ διοικητὴς πραγμάτων ἐστὶ μᾶλλον, καὶ ὁ λειπόμενος βοηθὸς κινδύνῳ τῶν ἐπιτρόπων, ἀλλὰ τοῦ ἄρχοντος προχειρίζεται. Ἰστέον δὲ ὁ ἐπίτροπος, ἀνήβοις μόνον δίδοται, οὐδαμῶς δὲ καὶ ἐφήβοις· ὁ δὲ κουράτωρ ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἐφήβοις, ἔστι δέ ποτε καὶ ἀνήβοις.

## ΠΕΡΙ΄ ΚΟΥΡΑΤΩ΄ΡΩΝ.

Δίδοται κουράτωρ καὶ καθολικῶς χωρὶς τινὸς προσδιορισμοῦ, καὶ ἰδικῶς, ἐπί τινι ὑποθέσει· ὡς ὅταν ἀνήλιξ ἐνάγων ἢ ἐναγόμενος κουράτωρα λάβῃ τινὰ, ἰδικῶς ἀντιλαβέσθαι καὶ βοηθῆσαι αὐτῷ εἰς τὸ δικαστήριον, καὶ ὥσπερ ἀντ' αὐτοῦ κριθῆναι μετὰ τοῦ ἀντιδίκου. Ὁ ἔπαρχος καὶ ὁ ἄρχων, ὁ δὲ ὁ πρὸς καιρὸν ἐπιτραπεὶς ἐπαρχίας διοίκησιν, ἴσως τοῦ ἄρχοντος ἀποθανόντος, ἐπιτρόπους δύνανται διδόναι. Οἱ στρατηγοὶ πάντες, ἐπιτρόπους οὐ διδόασιν, ἀλλὰ μόνον τοὺς ὄντας ἐκ τῶν πόλεων αὐτῶν, ἢ τῶν ὑπ' αὐτὰς ἀγρῶν.

## ΠΕΡΙ΄ ΠΡΟΤΙΜΗ΄ΣΕΩΣ ἘΠΙΤΡΟ΄ΠΩΝ.

Ὅπου ἡ κληρονομία, ἐκεῖ καὶ ἡ ἐπιτροπὴ, πλὴν γυναικός.

ΣΧΟ΄Λ. Τὸ ἐπιτροπεύειν δὲ πάλαι καὶ νῦν, βάρος ἦν, καὶ ἐδίδετο τοῖς ἀνθρώποις κατ' ἀξίαν καὶ οὐχ ὡς ἔτυχεν, ἐπεὶ ἐτελεύτησέ τις τυχὸν ἀδιάθετος, καταλιπὼν ἕνα ἢ δύο παῖδας ἀνήβους, ἤτοι ἐλάττους τῆς ἰδίων ἑαυτῶν· οἱ τοιοῦτοι παῖδες δέονται ἐπιτρόπου, καὶ ζητεῖ ὁ ἄρχων τυχὸν, ἢ ὁ δικαστὴς, ἵνα δώσῃ ἐπίτροπον· καὶ μάνθανε παρὰ τοῦ νόμου ἤτοι τοῦ παρόντος κεφαλαίου, ὅτι ἐκεῖνον ποίησον ἐπίτροπον τῶν παίδων, τὸν προτιμώμενον εἰς τὴν κληρονομίαν αὐτῶν. τέλος ὅστις προτιμᾶται εἰς τὸ λαβεῖν τὴν κληρονομίαν αὐτῶν ἐστὶ

πλου-

τελευτήσωσιν, ἐκεῖνος καὶ τὸ βάρος ἀποδεξάσθω τῆς ἐπιτροπῆς, ὅπου γάρ φησιν ἡ κληρονομία, ἐκεῖ καὶ ἡ ἐπιτροπή. ὅτι ἔχουσιν οἱ παῖδες ἀδελφὴν προδιοικηθέντα παρὰ τοῦ ἰδίου πατρὸς, ἔχουσι καὶ θείους, ὁ ἀδελφὸς αὐτῶν προτιμᾶται καὶ ἐπιτροπεύειν, διότι καὶ προτιμᾶται τῶν ἄλλων πάντων εἰς τὴν κληρονομίαν. ταῦτα δὲ γίνεται, πλὴν γυναικός. εἰ γὰρ καὶ προτιμᾶται γυνὴ εἰς κληρονομίαν, ἀλλ᾽ οὖν εἰς ἐπιτροπὴν οὐ καλεῖται. διότι λέγει ὁ νόμος, γυνὴ πολιτικὸν ὀφφίκιον οὐ μετέρχεται, καὶ ἡ ἐπιτροπὴ δὲ μᾶλλον ἐστὶ πολιτικὸν ὀφφίκιον. ὅτι ἐὰν οἱ παῖδες ἔχωσι τελείαν ἀδελφὴν καὶ προδιοικηθῇ· ἔχωσι δὲ καὶ θείους πρὸς πατρὸς ἢ πρὸς μητρὸς, εἰς μὲν τὴν κληρονομίαν ἡ ἀδελφὴ προτιμᾶται· εἰς δὲ τὴν ἐπιτροπὴν, οὐκ ἀναγκάζεται ὑπεισελθεῖν. γίνωσκε δὲ ὅτι ἐπὶ οἷος θέματος, ἐπιτροπεύει γυνὴ, ὅτι ἐὰν μήτηρ ἔχῃ παῖδας ἀνήβους, καὶ ἀποτάξηται τῇ δευτερογαμίᾳ, ἐπιτροπεύει αὐτῶν. Προτιμῶνται τῶν θηλειῶν οἱ ἄρρενες πρὸς τὰς ἐπιτροπὰς, τελείας ἡλικίας ὑπάρχοντες· εἰ μὴ ἄρα μήτηρ, ἢ μάμμη πρόσκειται, αὗται γὰρ προσκαλοῦνται εἰς τὸ ἐπιτροπεύειν, προτιμώμεναι παντὸς ἐπιτροπεύειν ὀφείλοντος· ἐξῃρημένων μόνων τῶν κατὰ διαθήκην ἐαθέντων. Ὁ πλησιέστερος αὐτῶν συγγενὴς ἐπιτροπεύει· εἰ δὲ πολλοὶ τὸν αὐτὸν ἐπέχουσι βαθμὸν, ὁμοῦ πάντες ἐπιτροπεύουσιν. Ἄδεια ἔσται ταῖς μητράσιν ἐπιτροπεύειν τῶν παίδων· σὺν ἀκριβείᾳ δὲ καὶ αὐτὰς ποιεῖν ἀπογραφὴν, παρόντος καὶ σκρίβα, ᾧ ἡ ἐπὶ τούτων φροντὶς ἐπιτέτραπται.

Ὅτι ἡ ἀπογραφὴ τῶν πραγμάτων τοῦ τελευτήσαντος, παρὰ τοῦ ἐπιτρόπου ἢ τοῦ κληρονόμου ἔσω τριῶν μηνῶν, μετὰ τὴν τελευτὴν ὀφείλει γίνεσθαι.

## ΠΕΡΙ ΚΕΚΩΛΥΜΕΝΩΝ ΕΠΙΤΡΟΠΕΥΕΙΝ.

Ὅτι οἱ ἐπίσκοποι καὶ οἱ μοναχοὶ, οὐ συγχωροῦνται κατά τι-

να φρόντων, ἐπίτροποι ἢ κουράτωρες γίνεσθαι. Ἡ δὲ λδ΄ νεαρὰ τοῦ καίσαρος Λέοντος, τὸ ἐπιτροπεύειν τοὺς μοναχοὺς καὶ κληρικοὺς φησίν, ἀπείργεσθαι δὲ οἰκονομίας καὶ προστασίας ὀρφανῶν· φησὶ γὰρ τοὺς θεοφιλεστάτους ἐπισκόπους ἢ μοναχούς, ἐπιτρόπους ὀρφανικῶν πραγμάτων καὶ ἐξεταστάς, ἢ κουράτωρας οἱουδήποτε προσώπου δι᾽ ἑαυτῶν γίνεσθαι οὐ συγχωροῦμεν. ἐπιτροπεύειν δὲ τῶν ὑπὲρ ψυχῆς ὀφειλόντων δίδοσθαι, καὶ διοικεῖν προσκαλουμένους, οὐ κωλύομεν· καὶ γὰρ τοῖς ἀρχιερεῦσι μᾶλλον ὑπὲρ τῶν πλημμελημάτων, ἱλασμὸς ἀφιέρωται. Οἱ ἀγαθοὶ τρόποι, ἀξιοπιστότεροί εἰσι πρὸς ἐπιτροπὴν, καὶ οὐσίας καὶ ἀξιώματος. Ἄδηλος ἐπίτροπος ἐν διαθήκῃ οὐ δίδοται. Ὁ ἔνοπλον στρατείαν στρατευόμενος, οὐδὲ ἐπίτροπος, οὐδὲ κουράτωρ δύναται δοθῆναι. Ἐπίτροπός ἐστιν, ὁ διδόμενος ἀνήβοις παισί, καὶ διοικεῖ τὰ ἐκείνων, ἄχρις οὗ ἐπιβῶσι τῆς ἐφηβότητος· κουράτωρ δὲ ὁ διδόμενος ἀφήλιξι καὶ πένησι, διοικῶν τὴν περιουσίαν αὐτῶν, ἕως οὗ πληρώσωσι τὸν εἰκοστὸν πέμπτον ἐνιαυτόν. Κωφὸς καὶ ἄλαλος, ἐπίτροπος οὐ δύναται δοθῆναι. Κουράτωρα πατὴρ, οὐ δύναται καταλιπεῖν τοῖς ἑαυτοῦ παισίν. Ὁ προκουράτωρ, μὴ ἔσω ἥττων τῶν ιζ΄ ἐτῶν. Οἱ λόγοι τοῦ κουράτωρος, πρὸ τῶν κε΄ ἐτῶν τοῦ ἀφήλικος, οὐκ ἀπαιτοῦνται ἐφ᾽ ὅσον ἦν κουράτωρ.

Ὁ ἐπίτροπος ἢ κουράτωρ, εἰ μὴ ἔστιν εἴκοσιν ἐτῶν ὁ ἐπιτροπευθείς, οὐχ ὑποδικεῖται αὐτόν. Ἡ διάταξις λέγει, πάντας τοὺς ἐπιτρόπους, μείζονας εἶναι τῶν κε΄ ἐτῶν. Ἐὰν κουράτωρ ὁμολογήσῃ ρ̄ ῑ ὑπὲρ προικὸς τῆς κουρατορευομένης, καὶ χρέος ἀναφαιρέτως, εὑρεθῇ μὴ ἔχουσα ταῦτα ἡ οὐσία, οὐ βοηθεῖται.

Εἴ τις ὑπεύθυνον ἔχει τὸν νέον, ἢ τὰ πράγματα αὐτοῦ, τοῦτον μὴ δεῖ παρεισιέναι παντελῶς εἰς τὴν αὐτοῦ κηδεμονίαν καὶ εἰ παρὰ τῶν νόμων καλεῖται· τί γὰρ ἂν οὐ πράξειεν ὑπὲρ ἑαυτοῦ, κύριος αὐτῶν τε ὤν, καὶ τῶν ἀντιδίκου πραγμάτων γινόμε-

νος. διὰ ταῦτα γὰρ κἀκεῖνο νομοθετοῦμεν· ὥστε εἰ προφανέστατα δῆλος εἴη ὁ γινόμενος κηδεμὼν, αὐτὸς ὑπεύθυνος ὢν τοῖς τοῦ νέου δικαίοις, οὐδὲ ἐκεῖνος κηδεμὼν ἔσται, μή ποτε ἢ γραμματεῖον κλέψειεν, ἢ ἄλλως ἀποδείξεις οὔσας ἀφανίσειε τοῦ νέου, καὶ ἡ κηδεμονία γένοιτο τῶν οἰκείων τούτου πραγμάτων ὄλεθρος. Ὁ ἐπίτροπος, οὐ δύναται ὀρφανικὸν πρᾶγμα ἀγοράσαι· τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων κουράτωρος καὶ προκουράτωρος. Ὁ ἐκ διαθήκης ἐαθεὶς ἐπίτροπος, ἐξκουσατεύων ἑαυτὸν, ἐκπίπτει τῶν ληγατευθέντων τοῦ υἱοῦ αὐτοῦ, ἐὰν πρὸς τὴν τιμὴν αὐτοῦ, καὶ οὐ χάριν τοῦ υἱοῦ καταλειφθῆσαν.

## ΠΕΡΙ' ΤΟ'ΚΟΥ.

Θεσπίζομεν μηδεμίαν ἀνάγκην ἐκ νόμου καθεστάναι τοῖς κηδεμόσι, τὰ τῶν νέων χρήματα δανείζειν, ἀλλ' ἀσφαλῶς ἀποτίθεσθαι καὶ φυλάττειν αὐτὰ, κάλλιον ὂν τὴν ἐπὶ τοῖς ἀρχαίοις αὐτοῖς ἀσφάλειαν μένειν, ἢ τῇ τῶν τόκων ἐφέσει, καὶ τῶν ἀρχαίων ἐκπεσεῖν, καὶ κινδυνεύειν μὲν τὸν κηδεμόνα, ἢ μὴ δανείσει· αὖθις δὲ εἰ δανείσει κινδυνεύειν, ἀποτυχίας ἴσως ἐπὶ τοῖς χρέεσι γινομένης. εἰ μέντοι ὁ κηδεμὼν ἑκὼν δανεῖσαι βουληθείη, ἐχέτω τὸ τῶν δύο μηνῶν καθ' ἕκαστον ἔτος ἐνδόσιμον, ἴστω δὲ τὸν τοῦ δανείσματος κίνδυνον, ἐφ' ἑαυτὸν πάντα ἐλευσόμενον. Ἐὰν ὁ ἐπίτροπος οἰκείῳ ὀνόματι δανείσῃ τὰ ὀρφανικὰ χρήματα, τόκους οὓς ἔλαβεν ἀναγκάζεται παρασχεῖν, ἐὰν καὶ τῶν λοιπῶν πραγμάτων ὁ ἀνήβος, ἐπιγινώσκῃ τὸν κίνδυνον. Εἴ τι οἰκείῳ ὀνόματι, ἔτι τοῦ ἀνήβου δανείσει ὁ ἐπίτροπος τὰ ὀρφανικὰ πράγματα, τῆς ἀγωγῆς τῆς κατὰ τῶν ἐπιτρόπων κινουμένης, ἐπιλογὴ δίδοται τῷ νέῳ, ἢ πάντα καταδέξασθαι τὰ γραμματεῖα, ἢ πάντων ἀποστῆναι. Οἱ ἐπίτροποι ἐξ μῆνας ἔχουσιν ἐν τῷ πρώτῳ ἐνιαυτῷ προθεσμίαν, εἰς τὸ

διανεῖμαι τὰ χρήματα τῶν ὀρφανῶν· τὸ δὲ εἰρημένον περὶ τῶν δύο μηνῶν, νόησον περὶ ἑκάστου τῆς κηδεμονίας. Ὁ ἐπίτροπος καὶ ὁ φροντιστὴς καταβάλλοντες οὐκ ἀναλαμβάνουσιν, εἴτε οἴκοθεν, εἴτε τῶν ἀνήβων, εἴτε τῶν δαπανῶν καταβάλλουσιν.

Ἡ κατὰ τῶν ἐπιτρόπων ἀγωγὴ, καὶ κληρονόμοις καὶ κατὰ κληρονόμων ἁρμόζει.

ΠΕΡΙ ἘΚΠΟΙΗΣΕΩΣ.

Τὰ ἀκίνητα τῶν νέων, κἂν πρᾶσιμα ἦσαν παρὰ τῷ πατρὶ αὐτῶν, οὐκ ἐκποιεῖται· εἰ μὴ ἐκτὸς ὁ πατὴρ ἐν διαθήκῃ ἢ κωδικίλλοις τὴν ἐκποίησιν ἐπέτρεψεν, ἢ χρέος εἴη ἐπικείμενον, καὶ τότε ψήφῳ τῶν πραίτωρος. Ἡ διάταξις κελεύει, μηδένα πιπράσκειν τὸν ἐπίτροπον· εἰ μὴ ἄρα εὔλογος εἴη αἰτία, ἐξ ἧς δυνατὸν καὶ ἀκίνητα πράγματα πραθῆναι, μηδεὶς οὖν τῶν κηδεμόνων, ἐκποιείτω πράγματα ἀφηλίκων, δίχα ἀποφάσεως κριτοῦ, ἐξηρημένης ἐσθῆτος παλαιᾶς καὶ φυλαχθῆναι μὴ δυναμένης, καὶ ζώων περιττῶν τῇ χρείᾳ τῶν ὀρφανῶν. Τὰ παρὰ τοῦ ἐπιτρόπου γινόμενα, βέβαια εἰσί, καὶ τὰ παρ' αὐτοῦ νομίμως πραθέν, εἴτε εὐτρεπὲς εἴτε μὴ, οὐκ ἐκδικεῖ ὁ νέος· ἡ δὲ κακῇ πίστει γενομένη πρᾶσις, οὐκ ἔρρωται.

Εἴτε ποιήσει ἅπερ οὐκ ἔχρην ὁ ἐπίτροπος, εἴτε μὴ ποιήσει ἅπερ ἔδει, ἐνέχεται τῇ κατὰ τῶν ἐπιτρόπων ἀγωγῇ· χρεωστεῖ δὲ ῥᾳθυμίαν καὶ δόλον, καὶ ἐπιμέλειαν, οἵαν ἐν τοῖς ἰδίοις πράγμασιν, ἐνέχεται δὲ συναινῶν τῷ ὀρφανῷ ποιοῦντι ἁπλῶς δωρεὰν, ἢ θανάτου αἰτίᾳ. Εἰ μὴ πιστῶς διοικήσουσιν οἱ ἐπίτροποι καταδικάζονται, κἂν εἶπεν ὁ πατὴρ, ἀλογοθετήτους αὐτοὺς εἶναι· διὰ γὰρ τῶν τοιούτων, οὐκ ἐναλλάσσεται τὸ κοινὸν νόμιμον. Ἐὰν πολλοὺς ἐπιτρόπους ἐάσῃς, εἰ ἐξ αὐτῶν ἀπ᾽ ἑνὶ ὄντι διαθέμενος, συγχωρήσω τὴν λογοθεσίαν τῆς αὐτοῦ διοικήσεως, μόνα τὰ ἐξ ἀμελείας δοκῶ συγχωρεῖν αὐτῷ, οὐ μὴν καὶ εἴτι ἐκ τῆς ἐπιτροπῆς ἔχει, ἢ κατὰ δόλον ἐπλημμέλησεν.

περὶ

## ΠΕΡΙ ΜΗΤΡΟΣ ΕΠΙΤΡΟΠΕΥΟΥΣΗΣ.

Ἀκωλύτως αἱ μητέρες, τῶν παίδων ἐπιτροπεύουσιν, ἅμα μέντοι τοῖς δευτέροις αὐτὰς ὁμιλῆσαι γάμοις, εὐθὺς ἐξωθοῦνται τῆς ἐπιτροπῆς. Ἐὰν μήτηρ ἐπιτροπεύουσα παιδὸς, καὶ ὑπερβᾶσα τὴν ἐπαγγελίαν δευτερογαμήσῃ, μὴ αἰτήσασα αὐτοῖς πρότερον ἐπίτροπον, καὶ τοὺς λογισμοὺς παραδοῦσα, οὐδὲν ἧττον ὑπόκειται καὶ τὰ τοῦ ἑτέρου ἀνδρὸς πράγματα διὰ τοῦτο.

Ἐὰν γυνὴ μετὰ θάνατον τοῦ ἀνδρὸς, τὰ τῆς θυγατρὸς αὐτῆς διοικοῦσα πράγματα, τινὰ δι' ἀργυροπράτου πωλήσῃ, καὶ τὸ τίμημα λάβῃ, εἰ ἄπορός ἐστιν, οὐκ ἐλευθεροῦνται οἱ ἀργυροπράται, ἐὰν εἰδότες τῆς κόρης εἶναι τὰ πράγματα, δεδώκασι τὰς τιμάς· εἰ καὶ τὰ μάλιστα πολλὺν χρόνον διῴκησεν τὰ πράγματα αὐτῆς, καὶ ἀνδρὶ ταύτην κατηγγύησεν. Εἴτε εὔπορος ἐστὶν ὁ ἐπίτροπος, εἴτε ἄπορος, ὁ δόλος αὐτοῦ τὸν ὀρφανὸν οὐ καταβλάπτει. Ὅτι ἐὰν ἐπίτροπος φθείρῃ τὴν ἐπιτροπευομένην παῖδα, ἵνα πρὸς τῇ ἄλλῃ ποινῇ τῇ παρὰ τῶν νόμων ὡρισμένῃ, λαμβάνηται καὶ ἡ περιουσία αὐτοῦ πᾶσα, καὶ δίδωται πρὸς τὴν παῖδα κατὰ δεσποτείαν, καὶ οὐχὶ πρὸς τὸ δημόσιον, ὡς οἱ πρότερον διωρίζοντο νόμοι.

## ΠΕΡΙ ΔΙΟΙΚΗΤΩΝ.

Τῶν γενομένων ἀναλωμάτων ἐπὶ διοικήσει πραγμάτων ἀλλοτρίου, τόκους παραδέχεσθαι, εἰ καλῇ πίστει συνεβάλλοντο

Τὸ χρησίμως διοικηθὲν, ἀναγκάζεται δεκτὸν ἡγεῖσθαι ὁ δεσπότης· καὶ ὅπερ δεκτὸν ἡγήσεται ὁ δεσπότης, ἔρρωται κἂν κακῶς διῳκήθη. Εἰ καὶ ἀγνοοῦντος τοῦ δεσπότου, τὰ πράγματα αὐτοῦ διῴκησέ τις, ἑκατέρωθεν ἁρμόζει ἀγωγὴ, καὶ ὁ μὲν διοικήσας χρησίμως ἀπαιτεῖ ὅσα ἐδαπάνησεν, ἢ μέλλει τισὶ διδόναι· δίδωσι δὲ, ὅσα ἐκ τῶν πραγμάτων ἔσχεν, εἰ μὴ κατὰ τὸ δέον διῴκησεν. Ἀπαιτήσας τὸ μὴ κεχρεωστημένον ὁ διοικητὴς, τῷ δεσπότῃ δίδωσιν. Ὁ πλέον τοῦ δέοντος δαπα-

νήσας, τὸ δεδοκιμασμένον λαμβανέτω. καὶ τόκους οὓς ἔλαβε καὶ λαβεῖν ἠδύνατο ὁ διοικητὴς, δίδωσι, καὶ λαμβάνει οὓς δέδωκε, καὶ οὓς ἠδύνατο λαβεῖν, ὑπὲρ ὧν αὐτὸς οἴκοθεν ἐδαπάνησεν. Ὁ διοικητὴς τῶν πλεοναζόντων χρημάτων, μετὰ τὴν ἀναγκαίαν δαπάνην, δίδωσι τόκον.

## ΠΕΡΙ ΤΟΥ ποτὲ δεῖ ἐνάγειν τοὺς δανειστὰς κατὰ τῶν κληρονόμων τοῦ τελευτήσαντος. Τίτλ. ιβ.

Θεσπίζομεν μηδενὶ παντελῶς ἐξεῖναι ἢ τοὺς κληρονόμους τοῦ τελευτήσαντος, ἢ τοὺς γονεῖς, ἢ τοὺς παῖδας, ἢ γαμετὴν, ἢ συγγενεῖς, ἢ ἄλλους αὐτοῦ προσγενεῖς, ἢ ἐγγυητὰς, πρὸ τῆς τῶν ἐννέα ἡμερῶν προθεσμίας, ἐν αἷς πενθεῖν δοκοῦσιν, αἰτιᾶσθαι, ἢ καθ' οἱονδήτινα τρόπον παρενοχλεῖν, ἢ τινὰ ὑπόμνησιν αὐτοῖς ἐπιφέρειν, ἢ ἐν δικαστηρίῳ αὐτοὺς καλεῖν, ἔτι ὀνόματι χρέους παρὰ τοῦ τελευτήσαντος καταγομένου, ἔτι ἄλλης οἱασοῦν αἰτίας χάριν, εἰς τὰ μνημονευθέντα ἰδικῶς ὁρώσης πρόσωπα. εἰ δὲ ἐντὸς τῶν ἐννέα ἡμερῶν τολμήσει τις τινὰ τῶν εἰρημένων προσώπων κρατῆσαι, ἢ μεταδοῦναι τινὰ ὁμολογίαν, ἢ ἀπόχεσιν, ἢ ἐγγύην παρ' αὐτοῦ κομίσασθαι, πάντα ταῦτα ἄκυρα εἶναι θεσπίζομεν. μετὰ δὲ τὴν τῶν ἐννέα ἡμερῶν παραδρομὴν, εἴ τις κατὰ τῶν τοιούτων προσώπων τινὰς ἔχειν νομίσειεν ἀγωγὰς, ταύτας κατὰ νόμους ἐγγυμναζέτω, μηδενὸς δηλαδὴ τοῖς ἐνάγουσι προκρίματος ἐκ ταύτης τῆς προθεσμίας περὶ χρονίαν παραγραφὴν, ἢ ἐν ἄλλῃ οἱᾳδήποτε δικαιολογίᾳ, παντελῶς γινομένου. ΝΟΜΟΣ τὰ παρ' ἑτέρων πραχθέντα, ἑτέρους οὐ βλάπτει, διὰ τοῦτο ἐὰν πολλῶν ὄντων κληρονόμων τοῦ χρεώστου, τινὲς ἐξ αὐτῶν καταβάλωσιν, οἱ ἕτεροι εἰ μὴ βουληθῶσιν, οὐ καταδικάζονται.

ΣΗΜΕΙΩΣΑΙ ΤΗΝ ΠΑΡΟΥΣΑΝ ΔΙΑΤΑΞΙΝ. ΣΧΟΛ.

Κανονικῶς γὰρ καὶ καθολικῶς παραδίδωσι τοῦτο· τὰ πραττόμενα παρ' ἄλλων, ἄλλους οὐ βλάπτει, καὶ αὐτίκα ἐπιφέ-

ρει σοι καὶ τὸν θεματισμὸν λέγουσα, ὅτι ἐάν τις χρεωστῶν λόγου χάριν ν̄ ῑ πλουτήσῃ ἐπὶ κληρονόμοις τέσσαρσι· καὶ τούτων οἱ δύο εὐγνωμονοῦντες χωρὶς δικαστηρίου καταβάλλωσι τῷ δανειστῇ, τὰ ἀνήκοντα αὐτοῖς ἀπὸ τοῦ χρέους σ̄ ῑ· οἱ δὲ ἕτεροι δύο, χρῶνται ἀρνήσει, καὶ ζητῶσι δικαστήριον, καὶ ἀπαιτῶσι τὸν δανειστὴν δεῖξαι ὅτι ἐδάνεισε τῷ διαθεμένῳ τὴν τοσαύτην ποσότητα, οὐκ ἔσται τῷ δανειστῇ προφέρειν εἰς ἀπόδειξιν τοῦ ὅτι ἐδάνεισε, καὶ ἔλεγχον τῆς ἀγνωμοσύνης τῶν δύο κληρονόμων τῶν ζητούντων τὸ δικαστήριον, τὴν τῶν ἑτέρων δύο συγκληρονόμων αὐτῶν εὐγνωμοσύνην, καὶ αὐτοπροθετον καταβολήν, ἀκούσει γὰρ ὅτι τὰ παρ' ἄλλων γινόμενα ἄλλους οὐ βλάπτει.

τέλος τοῦ πέμπτου.

# ΠΕΡΙ ΖΗΜΙΑΣ

## ΤΙΤΛΟΣ Α'.

Τῶν περὶ ζημίας νόμων, ὁ ἀκουΐλιος ἐστὶ πάντων ἐπικρατέστερος, παρακαλεῖται δὲ καὶ οὗτος, καὶ περὶ τῶν ἄλλων μὲν· ἐξαιρέτως δὲ περὶ τῶν ἀρνουμένων εἰς τὸ διπλάσιον. Ὁ ζῶον ἄγριον βλαπτικὸν, ἤτοι κύνα, κάπρον, λέοντα, λύκον, καὶ ἕτερα τῶν ὁμοίων ἔχων λελυμένον, ἢ μὴ οὕτω δεδεμένον, ὥστε μὴ δύνασθαι βλάπτειν, ἔχων ἐν δημοσίᾳ παρόδῳ, εἰ ἄνθρωπος ἐκ τούτου τελευτήσει, διακόσια νι δίδωσιν· εἰ δὲ μὴ ἀπέθανεν, ἀλλ᾽ ἐβλάβη, εἰς τὸ φαινόμενον τῷ δικαστῇ καταδικάζεται. τῶν δὲ λοιπῶν πραγμάτων, διπλῆν δίδωσι τὴν ζημίαν. Ἐὰν τετράποδον ζημιώσῃ τινὰ, δίδοται ἀγωγὴ ἤτοι ἐκδόσει τοῦ ζώου, ἢ τῇ ἀποτιμήσει τῆς ζημίας. ἡ ἁρμόζει ἡνίκα τὸ ζῶον ἀγριότητι κινηθὲν, ἔβλαψεν, οἷον λακτιστὴς ἵππος, ἐλάκτισεν, ἢ βοῦς εἰωθὼς κερατίζειν, ἐκεράτισε. Κυρίως γὰρ τότε ἁρμόζει ἡ κατὰ τοῦ ζώου τοῦ βλάψαντος ἀγωγὴ, ὅτε παρὰ τὴν φύσιν κινηθὲν τὸ θηρίον ἔβλαψεν. εἰ γὰρ ἀπὸ πόνου ὁ ἵππος λακτίσει, ἀργεῖ ἡ τοιαύτη ἀγωγὴ, καὶ ὁ τύψας ἢ τραυματίσας τὸν ἵππον, ἐνάγεται τῇ τοῦ διπλοῦ ἀπαιτήσει· ἐπειδὴ μὴ τῷ ἰδίῳ σώματι ἐζημίωσεν. Ἐὰν ἵππος ὀσφρανθῇ μούλαν· ἡ δὲ, λακτίσῃ, ἢ κλάσῃ τινὰ, ὁ δεσπότης ἐνάγεται.

Ἐὰν βλαβῇ σῶμα ἐλεύθερον, ἡ καταδίκη γίνεται εἰς τὴν δαπάνην τῆς ἰατρείας, καὶ τὴν ἀπώλειαν τῆς ἐργασίας· οὐ μὴν τῆς ἀμορφίας. σῶμα γὰρ ἐλεύθερον οὐ διατιμᾶται. ὁ δὲ σῶμα δοῦλον βλάψας, ἀπαιτεῖται πρὸς τοῖς εἰρημένοις, καὶ εἰς ὅ τι ἠλαττώθη ἡ διατίμησις αὐτοῦ.

## ΝΕΑΡΑ ΤΟΥ ΚΑΙΣΑΡΟΣ ΛΕΟΝΤΟΣ.

Εἴ τις δή τινα εἰς ὀφθαλμὸν ἐπενέγκοι τινὶ ζημίαν, τοῦτον κελεύομεν· εἰ μὲν ἕνα, τὸν ἕνα καὶ αὐτὸν ζημιοῦσθαι, τὴν ἴσην ὑπέχοντα δίκην· εἰ δὲ δύο, θατέρου μὲν τῶν ὀφθαλμῶν καὶ αὐτὸν ἀποστερεῖσθαι, ὡς ἂν ἔχῃ σημεῖον φέρων τοῦ οἰκείου πονηρεύματος. ἐπειδὴ δὲ καὶ χειρὸς ὀφείλει τῆς ἀνοσίου τὴν ἐκτομήν, ἀντὶ τῆς ζημίας τῆς χειρός, τῶν ὑπαρχόντων ζημιούσθω τὴν διμοιρίαν. καὶ ταῦτα εἰς παραμυθίαν τοῦ βίου ὁ ὑπ' αὐτοῦ ἐκκοπεὶς τοὺς ὀφθαλμοὺς λαμβανέτω· ἀλλ' εἰ μὲν τῶν εὐπόρων εἴη, οὕτως ἡ ζημία προβαινέτω, εἰ δὲ τῶν ἀπόρων, γινέσθω καὶ οὗτος τῆς παραπλησίου συμφορᾶς, καὶ κοινωνός, καὶ μεριστής, καὶ τὸν βίον ἐχέτω ἐν σκότει τῇ ἀμφοτέρων τῶν ὀφθαλμῶν ἐκκοπῇ. καὶ εἴ τινες δὴ τῷ κακουργήσαντι πρὸς τὴν πρᾶξιν συνήργαντο· εἰ μὲν αὐτόχειρες γεγόνασι τοῦ κακοῦ, συνεξορύξαντες τοὺς ὀφθαλμοὺς παραπλησίως καὶ αὐτοὶ κολαζέσθωσαν· εἰ δὲ ἀπέσχοντο μὲν τοῦ τὰς χεῖρας τοῖς ὀφθαλμοῖς συνεπιβαλεῖν, ἄλλην δέ τινα συνεργίαν παρέσχον τῷ πονηρεύματι· τοῖς μὲν ὁρίζεσθαι τὴν ποινήν, μέχρι τῶν εἰς τὸ σῶμα πληγῶν, καὶ τῆς ἐν χρῷ κουρείας, καὶ τῷ τρίτῳ μέρει τῆς τῶν ὑπαρχόντων ζημίας, τὴν δὲ αὐτουργοὺς τῆς τυφλώσεως, τοῖς προειρημένοις ὑπάγεσθαι.

## ΠΕΡΙ' ΕΜΠΡΗΣΜΟΥ.

Ὁ τὸν ἴδιον οἶκον, ἐμπρησμοῦ γινομένου σπουδάζων σῶσαι, καὶ διὰ τοῦτο τὸν οἶκον καταστρέφων τοῦ γείτονος· ἵνα μὴ ἐξ ἐκείνου τὸ πῦρ εἰς τὸν οἶκον αὐτοῦ καταβιβασθῇ, οὐ κρίνεται ὡς ἄδικον ζημίαν ποιῶν, οὐδὲ τῷ ἀκυϊλίῳ νόμῳ ὑπόκειται.

## ΠΕΡΙ' ΜΟΙΧΩ͂Ν. Τίτλ. Β΄.

Μοιχεία λέγεται μὲν καταχρηστικῶς, καὶ ἡ τῆς παρθένου, ἢ τῆς χήρας φθορά· κυρίως δὲ ἡ τῆς ὑπάνδρου. Μοιχεία καὶ ἐπὶ ἀνδρὸς λέγεται, ὅταν γὰρ ὁ ἀνὴρ ὁ ἔχων γυναῖκα πρὸς ἄλλην παίζῃ, μοιχεία τοῦτο καλεῖται, τὴν οὖν τοιαύτην μοι-

χείαν τὴν ἐκ τοῦ ἀνδρὸς, οὔτε οἰκεία γυνὴ, οὔτε δημοσία δύναται ὡς ἔγκλημα ἐπὶ δικαστηρίων κινεῖν· οὐδὲ ἐὰν εἰς αὐτὴν ἁμαρτάνειν λέγηται ὁ ἀνήρ. Ἡ περὶ μοιχείας ἀγωγὴ, ἐντὸς πέντε ἐνιαυτῶν κινεῖται. Τὸ τῆς μοιχείας ἔγκλημα, οὐ πᾶσι κινεῖν ἁπλῶς παρακεχώρηται, ἵνα μὴ παρὰ τῶν βουλομένων ὁ γάμος ὑβρίζηται, ἀλλὰ μόνοις τοῖς ἐγγὺς οὖσι καὶ οἰκειοτάτοις προσώποις πάππῳ, ἤγουν πατρὶ, ἀδελφῷ, θείῳ πρὸς πατρὸς, ἢ πρὸς μητρός· πάντων δὲ μάλιστα τῷ ἀνδρί. Συνεστῶτος τοῦ γάμου, οὐδεὶς ἄλλος παρὰ τὸν ἄνδρα τῆς γυναικὸς, κατηγορεῖν αὐτῆς δύναται· εἰ μὴ πρότερον κατηγορήσει τοῦ ἀνδρὸς ὡς προαγωγοῦ. Τὸν νόμον τὸν περὶ μοιχείας, οὐ δύναται κινεῖν γυνή, οὐδὲ ἐὰν αὐτὴ λέγῃ τι ἡμαρτῆσθαι· τουτέστιν οὐδὲ ἐὰν αὐτὴ ἡ βουλομένη κινεῖν τὴν ὑπόθεσιν, λέγῃ ἐν ἑαυτῇ γενομένην τὴν ἁμαρτίαν, καὶ αὐτὴν εἶναι, μεθ' ἧς τὸ τῆς ἁμαρτίας πταῖσμα τετέλεσται. Ὁ ἐλάττων τῶν κε ἐτῶν ὤν, οὐ δύναται ἔγκλημα κινεῖν μοιχικὸν, περὶ ἀλλοτρίου γάμου· εἰ μὴ ἄρα ὁ τὸν γάμον ἔχων δικαίῳ ἐκείνου προβαλεῖται αὐτὸν ἐγκαλεῖν, τότε γὰρ καὶ ὁ τῶν κε χρόνων ἐλάττων, τὸ ἔγκλημα τῆς μοιχείας δύναται καὶ ὑπὲρ ἀλλοτρίου γάμου κινεῖν. ὑπὲρ δὲ τοῦ ἰδίου γάμου, τοῦ ἐννόμως δηλονότι γεγονότος, ὁποίων ἂν εἴη χρόνων, τὸ περὶ μοιχείας ἔγκλημα κινεῖν οὐ κωλύεται. Τὸ συνεζευγμένον τῇ μοιχείᾳ ἀθέμιτον, οὐ σβέννυται τῇ πενταετίᾳ. Πενταετίᾳ σβέννυται τὸ ἔγκλημα τῆς μοιχείας ἀλλ' ἁπλῶς λέγομεν, περὶ τῶν ἑκουσίως ἡμαρτηκότων. Ἐφεῖται τῷ πατρὶ, οὐ μὴν τῷ ἀνδρὶ πάντα μοιχὸν φονεύειν, πολλῷ δὲ μᾶλλον καὶ ἐνυβρίζειν· φονεύειν δὲ ἐν τῷ οἴκῳ ἐν ᾧ μένει, κἂν μὴ συνοικῇ αὐτῷ ἡ θυγάτηρ, καὶ ἐν τῷ οἴκῳ τοῦ γαμβροῦ· ἐὰν ἐν αὐτῷ τῷ ἔργῳ τῆς μοιχείας αὐτὸν καταλάβῃ, ἀλλαχοῦ δὲ φονεύειν, οὐ δύναται, ἅμα δὲ τοὺς δύο φονεύειν ὀφείλει, οὐ μὴν δὲ τὸν μὲν, νῦν τὸν δὲ, μεθ' ἡμέρας. Τῷ δὲ ἀνδρὶ ἔξεστιν

ἐν μόνῳ τῷ ἰδίῳ οἴκῳ φονεύειν τὸν μοιχὸν, ἀλλ' οὐ πάντα, ἀλλὰ τὸν προαγωγὸν καὶ τὸν ἐπιδεξάμενον πρώην παιγνιωτικὴν τέχνην, καὶ τὸν ἐν σκηνῇ προελθόντα, ἐπὶ τῷ ᾆσαι ἢ ὀρχήσασθαι, καὶ τὸν ἐν δημοσίῳ δικαστηρίῳ καταδικασθέντα, καὶ μὴ ἀποκαταστάντα, καὶ τὸν ἀπελεύθερον αὐτοῦ, ἢ τῆς γυναικὸς, ἢ τῶν γονέων, ἢ παίδων αὐτῶν, καὶ δοῦλον. κελεύει δὲ ὁ νόμος τὸν φονεύοντα τινὰ τῶν εἰρημένων, λύειν τὸν γάμον τὸν πρὸς τὴν γαμετὴν, κἂν ὁποῖος δὲ εἴη ὁ πατὴρ, ἄδειαν ἔχει τοῦ φονεύειν, κἂν ἄρχων ἐστὶν ὁ μοιχὸς, ἐπὶ μέντοι τῶν γάμων ἐκείνων, ἐφ' ὧν δικαίῳ ἀνδρὸς δύναται κινεῖν· ὅτι ἐὰν ὑπεξουσίαν τὴν ἑαυτοῦ κέκτηται θυγατέρα. Ἐὰν ὁ ἀνὴρ συσχῇ μοιχὸν ὃν οὐκ ἐφεῖται φονεύειν, ἢ οὐ θέλει, δύναται παρακρατεῖν αὐτὸν ἐπὶ εἴκοσιν ὥρας συναπτὰς, καὶ μάρτυρας εἰσάγειν τοὺς ὀφείλοντας ἐν τῇ κατηγορίᾳ μαρτυρῆσαι, ὡς ἐν τῇ μοιχείᾳ συνεσχέθη· εἰ δὲ ἀπολύσει αὐτὸν, οὐκέτι δύναται αὖθις κρατεῖν· εἰ δὲ ἀποφύγοι, δύναται ἐπαναλαβέσθαι καὶ φυλάττεσθαι τὰς εἴκοσιν ὥρας.

ταῦτα μὲν περὶ μοιχῶν οἱ ἀκριβέστεροι νομοθέται· ἕτεροι δὲ, ἐνδιδόασι τῷ ἀνδρὶ πανταχοῦ καὶ πάντα ὃν ἂν καταλάβοι μοιχὸν, ἀκωλύτως φονεύειν. Ὁ τὸν μοιχὸν μετὰ τῆς ἰδίας γυναικὸς ἐν συμπλοκῇ καταλαβὼν, εἰ συμβῇ αὐτὸν ἀνελεῖν, οὐκ εὐθύνεται ὡς ἀνδροφόνος. εἰ δέ τις ὡς εἰκὸς ὑποπτεύσῃ τινὰ βούλεσθαι τῇ τῆς ἰδίας γαμετῆς συμπλέξαι σωφροσύνῃ, καὶ παραγγελίας αὐτῷ ἐγγράφους τρεῖς ἐκπέμψει, ἐχούσας μαρτυρίας ἀνδρῶν ἀξιοπίστων, καὶ μετὰ ταύτας τὰς τρεῖς ἐγγράφους μαρτυρίας εὕροι αὐτὸν συντυγχάνοντα τῇ ἰδίᾳ αὐτοῦ γαμετῇ, εἰ μὲν εἰς τὸν ἴδιον οἶκον, ἢ τὸν ταύτης τῆς γυναικὸς, ἢ τοῦ μοιχοῦ, ἢ ἐν προπιναῖς, ἢ ἐν προαστείοις, εἶναι ἄδειαν τῷ ἀνδρὶ ταῖς οἰκείαις χερσὶ τοῦτον ἀνελεῖν, οὐδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ. εἰ δ' ἐν ἄλλῳ τόπῳ τὸν τοιοῦτον εὕροι μετὰ τῆς ἑαυτοῦ γαμετῆς διαλεγόμενον, ἢ ἐν

ἐκκλησίᾳ, οὐκ ἐλαττόνων τριῶν μαρτύρων ἀξιοπίστων συγκαλουμένων, δι' ὧν ἀποδεῖξαι δύναται ὅτι παρ' αὐτὸν μετὰ τῆς ἑαυτοῦ γαμετῆς εὗρε, τῷ ἄρχοντι παραδιδόναι, οὗ τὰ ἐγκλήματα ἐξετάζονται. ἐκεῖνο δὲ ταῖς ἀληθείαις γινώσκοντα, μετὰ τὰς τρεῖς ἐγγράφους διαμαρτυρίας τῇ τοιαύτῃ γυναικὶ ὁμοῦ συνελθόντα, τὸν μὲν κύριον τὸν ὡς ἐκ μόνου τούτου τῷ τῆς μοιχείας ἐγκλήματι ὑποπεσόντα, μηδεμιᾶς ζητουμένης ἀποδείξεως τιμωρεῖσθαι· ἄδειαν δὲ εἶναι τῷ ἀνδρὶ, ὡς ἂν βούληται τῆς ἰδίας γαμετῆς κατηγορεῖν, καὶ κατὰ νόμους τῷ ἐγκλήματι ἐπεξιέναι. καὶ ἡ ιθ´ νεαρὰ τοῦ καίσαρος λέοντος περὶ τοῦ ἐπ' αὐτοφώρῳ ἁλόντος μοιχοῦ ἢ μοιχαλίδος, ὥστε τοὺς ἀμφοτέρους ῥινοκοπεῖσθαι φησὶ, καὶ τὸν ἄνδρα ἀντὶ τῆς τοσαύτης ἀδικίας παραμυθίαν ἔχειν, ἐκ τοῦ τὴν προῖκα λαμβάνειν, τῆς ἐφθείσης ἀδίκου εἶναι τὰ γαμικὰ δίκαια γυναικὸς, αὐτὴν δὲ ἐν μοναστηρίῳ περιορίζεσθαι ὑπὲρ ἧς παρανομίας τετόλμηκε.

Ὁ δὲ μάγιστρος ἔλεγε, γυναικὸς μοιχαλίδος, μὴ κερδαίνειν τὴν προῖκα τὸν ἄνδρα, ἀλλ' εἰ μὲν παῖδας αὐτῇ ἔχει, τὸ δίμοιρον λαμβάνειν τούτους τῆς προικός· τὸ δὲ τρίτον, τὸ μοναστήριον ἐν ᾧ ἐμβάλλεται. εἰ δὲ μὴ παῖδας ἔχει, τὸ μὲν δίμοιρον λαμβάνειν τὸ μοναστήριον· τὸ δὲ τρίτον τοὺς ἀνιόντας, εἴγε μὴ συνέπλεξαν τῷ ἀσεβήματι. ταῦτα δὲ πάντα γίνεσθαι, μετὰ τὸ ἐμβληθῆναι τὴν γυναῖκα εἰς μοναστήριον, καὶ παρελθεῖν διετίαν, καὶ μὴ βουληθῆναι τὸν ἄνδρα ἀναλαβεῖν αὐτήν.

Ὅτι τὴν μοιχευθεῖσαν εἰ ἔσω διετίας ἀναλαβεῖν ὁ ἀνὴρ βουληθείη, ἔξεστιν αὐτῷ τοῦτο ποιῆσαι, μηδένα κίνδυνον ἐντεῦθεν εὐλαβουμένῳ, μήτε διὰ τῶν ἐν τῷ μέσῳ γενομένων ἐλαττουμένου τοῦ γάμου. Ἐπὶ τῆς μοιχευθείσης, διετία δίδοται· ὥστε μήπω κειρομένην ἐνδιατρίβειν τῷ μοναστηρίῳ, τὸν δὲ ἄνδρα εἰσέρχεσθαι πρὸς αὐτὴν, καὶ κολακεύειν τοῖς λόγοις, τοῦ παραιτεῖσθαι αὐτῇ φράττεσθαι, καὶ πάντα τρόπον ποιεῖν, ὥστε

ὥστε τὸν πάλαι πόθον ἀνάψαι, χωρὶς μέντοι βίας καὶ χειρῶν ἐπιβολῆς, μή τινος ἔχοντος ἐξουσίαν τῶν τοῦ γυναικὸς, κωλύειν τὸν ἄνδρα εἰσέρχεσθαι πρὸς τὴν γυναῖκα αὐτοῦ. Τῇ δὲ ἀποτασσομένῃ γυναικὶ τῷ γάμῳ τοῦ ἀνδρὸς, ἓξ μῆνες δίδονται παρὰ τῶν δικαστῶν, καὶ εἰ μὲν τούτων ἐντὸς ἀσπάσηται τὸν γάμον καὶ συνέλθοι τῷ ἀνδρὶ. ἐφεῖται αὐτῇ πράττειν τὰ ἀπ' ἀρχῆς, καὶ συμβιοῦν τῷ ἀνδρὶ· εἰ δὲ ἀπελῇ τὴν ἔνστασιν καὶ ἀκλινῆ πρὸς τὸν ἄνδρα ἐνδείξεται, τότε μετὰ τὸν ἑξαμηνιαῖον καιρὸν, λαμβάνουσαν τὴν προῖκα, τὸν μονήρη μετέρχεσθαι βίον. Εἴσω ἑξήκοντα ἡμερῶν μετὰ τὸ ῥεπούδιον, τουτέστι μετὰ τὴν διάζευξιν τοῦ γάμου, κατηγορῶν μοιχείας ὁ ἀνὴρ τῆς γυναικὸς, οὐκ ἀπαιτεῖται συκοφαντίας τιμωρίαν· μετὰ δὲ τὰς ἑξήκοντα κατηγορῶν, ὑπόκειται τῇ τιμωρίᾳ.

Οἱ μοιχοὶ τυπτόμενοι καὶ κουρευόμενοι, ῥινοκοπείσθωσαν, οἱ δὲ μέσοι καὶ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβήματι γεγονότες, τυπτόμενοι καὶ κουρευόμενοι, διηνεκῶς ἐξοριζέσθωσαν. Εἴ τις μοιχείαν ἁμάρτοι πρὸς ἐκείνην, πρὸς ἣν ἤδη πολλοὶ ἐπόρνευσαν, οὐκ ἐγκαλεῖται μοιχείαν. Τὴν ἐν ἐργαστηρίῳ προσεχθεῖσαν, τουτέστιν εἰς τὸ προΐστασθαι ἐργαστηρίου τεταγμένην γυναῖκα μοιχεύων τις, εἰ μὲν αὐτὴ κυρία τοῦ ἐργαστηρίου ἦν, καὶ δούλους εἶχεν ὑπηρέτας καὶ ὑπουργοὺς, τῇ τοῦ μοιχοῦ τιμωρίᾳ μετὰ ταύτης ὑπόκειται. εἰ δὲ αὐτὴ δι' ἑαυτῆς ὑπηρέτει εἰς τοὺς εἰσερχομένους ἐν τῷ ἐργαστηρίῳ αὐτῆς, οὔτε ὁ ἀνὴρ, οὔτε αὐτὴ τιμωρεῖται, τῶν γὰρ εὐπολήπτων γυναικῶν φροντίζειν οἱ νόμοι προσήκουσι· τῶν δὲ εὐτελῶν καὶ χαμηλῶν, καταπεφρονήκασιν. Οὐ καλῶς ὁ μοιχὸς ἀντιπίπτει τῷ ἀνδρὶ, ὡς προαγωγοῦ γενομένου αὐτοῦ, τὴν μοιχείαν ἥμαρτεν· ἡ δὲ γυνὴ κατηγορουμένη καὶ ἀντιτεθεῖσα τῷ ἀνδρὶ τὴν τῆς προαγωγίας παραγραφὴν, ἑαυτὴν μὲν οὐκ ἐλευθεροῖ· δύναται δὲ ὁ δικαστὴς ὁρίζειν κατ' αὐτοῦ ὡς προαγωγοῦ, καὶ χωρὶς κα-

τῆ γὰρ. εἰ περὶ μοιχείας ὁ ἀνὴρ νομίσει δύνασθαι τὴν ἑαυτοῦ γαμετὴν ἐλέγξασθαι, προσήκει πρότερον τὸν ἄνδρα ἐγγράφεσθαι τὴν γυναῖκα, ἢ καὶ τὸν μοιχόν, καὶ εἴπερ ἡ τοιαύτη κατηγορία ἀληθὴς ἀποδειχθῇ, τηνικαῦτα χωρισμοῦ γινομένου, ἔχειν τὸν ἄνδρα πρὸς τῇ προγάμου δωρεᾷ, καὶ τὴν προῖκα, καὶ πρὸς τούτοις, εἰ παῖδας μὴ ἔχει, τοσοῦτον λαμβάνειν ἐκ τῆς ἄλλης τῆς γυναικὸς περιουσίας, ὅσον τῆς προικὸς τὸ γ' μέρος εἶναι γινώσκεται· ὥστε τῇ αὐτοῦ δεσποτείᾳ, καὶ τὴν παρ' ἡμῶν ὁρισθεῖσαν ποινὴν προσκυροῦσθαι. εἰ γὰρ παῖδας ἔχει ἐκ τοῦ αὐτοῦ συνοικεσίου, κελεύομεν καὶ τὴν προῖκα καὶ τὴν ἄλλην τῆς γυναικὸς περιουσίαν, κατὰ τοὺς ἔμπροσθεν ὡρισμένους νόμους, τοῖς παισὶ φυλάττεσθαι, καὶ οὕτω τὸν μοιχὸν νομίμως ἐλεγχόμενον, ἅμα τῇ γυναικὶ τιμωρεῖσθαι. καὶ εἰ μὲν ἔχει ὁ μοιχὸς γυναῖκα, λαμβάνειν αὐτὴν τὴν ἰδίαν προῖκα, καὶ τὴν διὰ τοὺς γάμους δωρεάν, ὥστε εἰ παῖδας ἔχοιεν, μόνης τὴν γυναῖκα τῆς χρήσεως ἀπολαύειν τῆς δωρεᾶς, τῆς δεσποτείας κατὰ νόμους τοῖς παισὶ φυλαττομένης. τὴν δὲ ἄλλην τοῦ ἀνδρὸς περιουσίαν, τοῖς αὐτοῦ παισὶ δωρούμεθα. παίδων δὲ μὴ ὑπόντων, τὴν μὲν τῆς προγαμιαίας δωρεᾶς δεσποτείαν, τῇ γυναικὶ διαφέρειν θεσπίζομεν· τὴν δὲ ἄλλην πᾶσαν τοῦ ἀνδρὸς περιουσίαν, τῷ φίσκῳ κατὰ τοὺς παλαιοὺς προσκυροῦσθαι νόμους.

## ΠΕΡΙ' ΤΗ͂Σ ΜΟΙΧΕΥΘΕΙ'ΣΗΣ ΤΩ͂ ἰδίῳ δούλῳ.

Γυνὴ ὕπανδρος τῷ ἰδίῳ μοιχευθεῖσα δούλῳ, αὐτὴ μὲν τυπτομένη καὶ κουρευομένη, ῥινοκοπείσθω· ἀπελαυνομένη δὲ καὶ τῆς πολιτείας. ἐν ᾗ κατῴκει, καὶ πάσης τῆς οἰκείας ἐκπιπτέτω περιουσίας, ὁ μέντοι μοιχεύσας δοῦλος, ξίφει τιμωρείσθω.

Γυνὴ μὴ ἔχουσα ἄνδρα τῷ ἰδίῳ δούλῳ μιγεῖσα, εἰ μὲν μὴ ἔχουσα παῖδας τοῦ βίου διαπράξεται, τυπτέσθω καὶ κουρευέσθω, καὶ ὁ τοιοῦτος δοῦλος τυπτόμενος καὶ κουρευόμενος, πιπρασκέσθω, καὶ ἡ τιμὴ αὐτοῦ εἰσκομιζέσθω. εἰ δὲ ἤδη παισὶ τοῦ

δια-

διαπραχθῇ, καὶ ἡ ὑπόστασις αὐτοῦ πᾶσα κατὰ δεσποτείας τρόπον παραυτίκα τοῖς παισὶν ἀνεκποιήτως φυλαττέσθω, τῆς χρήσεως μόνης παρ' αὐτῇ μενούσης, καὶ ἡ τιμὴ δὲ τοῦ πραθέντος δούλου, τοῖς παισὶν ἀνήκει. Ὁ μοιχείαν τῇ ἰδίᾳ συνειδὼς γυναικὶ καὶ παραχωρῶν, τυπτόμενος ἐξοριζέσθω· ὁ δὲ μοιχὸς καὶ ἡ μοιχαλὶς, ῥινοκοπείσθωσαν. Ἐὰν ἐπὶ μοιχείᾳ γυναικὸς καταδικασθεὶς ἀγάγηται αὐτὴν, εἰ καὶ μὴ αὐτὴ κατεδικάσθη, οὔτε ὁ γάμος ἔρρωται. ἀλλ' εἰ καὶ κληρονόμους αὐτὴν γράψω, ἢ αὐτὴ ἐμὲ, δημεύεται ἡ κληρονομία. Ὁ γήμας τὴν ἐπὶ μοιχείᾳ καταδικασθεῖσαν, ὑπόκειται τῷ περὶ μοιχείας ἐγκλήματι, οὐ μὴν ὁ παλλακευόμενος αὐτήν.

## ΠΕΡΙ ΠΟΡΝΩΝ ΚΑΙ ΤΩΝ ἘΚΒΙΑζόντων παρθένους. τίτλ. γ΄.

Ὁ ἔχων γυναῖκα καὶ πορνεύων, διὰ δώδεκα ἀλλακτῶν σωφρονιζέσθω, καὶ ὁ μὴ ἔχων δὲ, καὶ τῇ αὐτῇ ἁμαρτίᾳ περιπίπτων, δι' ἓξ ἀλλακτῶν σωφρονιζέσθω.

## ΠΕΡΙ ΔΟΥΛΗΣ.

Ὁ μέντοι γυναῖκα ἔχων, καὶ τῇ ἰδίᾳ δούλῃ μιγνύμενος, καὶ διαγινωσκομένης τῆς πράξεως, οὗτος μὲν τυπτόμενος σωφρονιζέσθω· ὁ δὲ κατὰ τόπον ἄρχων ἀναλαμβανέτω τὴν δούλην, ὑπὲρ ἐπαρχίαν αὐτὴν πιπρασκέτω, τῆς τιμῆς αὐτῆς τῷ μέρει τοῦ δημοσίου εἰσκομιζομένης. ὁ δὲ εἰς ἀλλοτρίαν δούλην πορνεύων, τὴν μὲν εὔπορον ὑπάρχων, παρεχέτω ὑπὲρ τοῦ πταίσματος τῷ δεσπότῃ τῆς δούλης, νι λς΄· εἰ δὲ εὐτελὴς εἴη, τυπτέσθω, καὶ καθόσον εὐπορεῖ, κατ' ἀναλογίαν τῶν λς΄ νι διδότω. Οἱ ταῖς μοναζούσαις, ἢ ταῖς ἀσκητρίαις, ἢ ταῖς διακονίσσαις ἐνασελγαίνοντες, ὡς εἰς τὴν νύμφην Χριστοῦ ἐκκλησίαν ἐνυβρίζοντες, ῥινοκοπείσθωσαν· καὶ αἱ οὕτω συνεφθάρησαν.

## ΠΕΡΙ ΣΥΝΤΕΚΝΟΥ.

Ὁ τῇ ἰδίᾳ συντέκνῳ, ἢ ὀνόματι γάμου ἀγόμενος, ἢ καὶ

ἄλλως

ἄλλως σαρκικῶς συμπλεκόμενος, ἅμα αὐτῇ ῥινοκοπείσθω, δηλονότι πρότερον ἀπ' ἀλλήλων διισταμένων. εἰ μέν τοι εἰς ὕπανδρον συνήπικνον τοῦτο διαπλέξει, ἡ μὴ ποινὴ ὡσαύτως προβαινέτω, σὺν τούτοις δὲ καὶ τυπτέσθωσαν. Ὁ παρθένῳ κόρῃ μιγνύμενος, ἐκείνης μὲν προαιρέσει, ἀγνοούντων δὲ τῶν γονέων, τῆς πράξεως διαγινωσκομένης, εἰ μὲν θέλει λαβεῖν αὐτὴν εἰς γυναῖκα, καὶ συναινέσωσι καὶ οἱ γονεῖς, τὸ συνάλλαγμα γινέσθω· εἰ δὲ ἐν μέρος τῶν γονέων τοῦτ' ἐστὶν ἑκατέρου προσώπου οὐ θελήσει· εἰ μὴ εὔπορος ἐστὶν ὁ φθορεὺς, τῇ φθαρείσῃ κόρῃ διδότω χρυσίου λίτραν μίαν· εἰ δὲ ἐνδεέστερος εἴη, τὸ ἥμισυ τῆς αὐτοῦ ὑποστάσεως. εἰ δὲ παντελῶς εἴη ἄπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω.

## ΠΕΡΙ ΒΙΑΣ ΠΑΡΘΕΝΟΥ.

Ὁ βιαζόμενος κόρην καὶ φθείρων αὐτὴν, ῥινοκοπείσθω, διδοὺς αὐτῇ, τὸ τῆς ὑποστάσεως αὐτοῦ τρίτον. Τὸν τοιοῦτον ἀφορίζει καὶ ὁ ξζ' κανὼν τῶν ἁγίων ἀποστόλων, καὶ λαβεῖν ταύτην εἰς γυναῖκα κελεύει, κἂν εἴη πενεστάτη. Ἡ δὲ νεαρὰ τοῦ πατριάρχου καίσαρ. Ἀθανασίου, οὕτω φησὶν, ἵνα προκηρυχθῇ καὶ στερηθῇ, γυναῖκα μὴ ἐπιρρίπτειν αὐτοῦ τῆς τιμῆς, καὶ μᾶλλον παρθένον τὴν βουλομένην· ἀλλ' εἰ βιάσεταί τις ἐν ἐρημίᾳ αὐτὴν, ἐκδικεῖσθαι κατὰ τοὺς νόμους δοκεῖ. εἰ δὲ ἐκδῶ ἑαυτὴν ἀβιάστως, κουρᾷ καὶ πομπῇ σωφρονίζεσθαι, καὶ μὴ δὲ τῷ φθορεῖ κατ' ἄμφω προσῇ τὸ ἀζήμιον, ἀλλὰ καὶ μάλλα ἀποπληροῦν τῷ δημοσίῳ τὸ ἔννομον. Ὁ φθείρων κόρην πρὸ τῆς ἥβης, ἤγουν πρὸ τοῦ τρισκαιδεκάτου χρόνου, ῥινοκοπείσθω, καὶ τὸ ἥμισυ τῆς ὑποστάσεως, παρεχέτω τῇ φθαρείσῃ κόρῃ.

## ΠΕΡΙ ΜΝΗΣΤΗΣ ἈΛΛΟΤΡΙΑΣ

Ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων· εἰ μὴ προαιρέσει τῆς κόρης, ῥινοκοπείσθω· εἰ δὲ ἀπροαιρέτως αὐτῆς, μετὰ ταύτην τῆς ποινῆς, καὶ τὸ τρίτον τῆς ὑποστάσεως παρεχέτω τῇ φθαρείσῃ κό-

ρῃ.

ρκ. ΠΕΡΙ ΑἹΜΟΜΙΚΤΩΝ. Τίτλ. δ΄.

Οἱ αἱμομίκται, εἴτε γονεῖς πρὸς τέκνα, εἴτε τέκνα πρὸς γονεῖς, εἴτε ἀδελφοὶ πρὸς ἀδελφάς, ξίφει τιμωρείσθωσαν· οἱ δὲ κατ' ἄλλην συγγένειαν πρὸς ἀλλήλους συμφθειρόμενοι, τουτέστιν υἱὸς εἰς γυναῖκα πατρός, ἤτοι μητρυιάν, ἢ πατὴρ εἰς γυναῖκα υἱοῦ, ἢ πατρωὸς εἰς πρόγονον, ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ πατρῴου, ἢ θεῖος εἰς ἀνεψιάν, ἢ ἀνεψιὸς εἰς θείαν, ἢ εἰς δύο ἀδελφὰς ἢ εἰς μητέρα ξένην καὶ τὴν αὐτῆς θυγατέρα ἐν εἰδήσει μιγνύμενος, οἱ τοιοῦτοι τυπτόμενοι καὶ κουρευόμενοι, ῥινοκοπείσθωσαν.

Οἱ πρὸς γάμον συναπτόμενοι, ἢ ἄλλως σαρκικῶς συμπλεκόμενοι ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνοι, ἢ πατὴρ καὶ υἱὸς πρὸς θυγατέρα καὶ μητέρα, ἢ δύο ἀδελφοὶ εἰς δύο ἀδελφάς· ἢ ἀνεψιὸς εἰς τὴν τοῦ θείου γυναῖκα, ἢ δύο ἀδελφοὶ εἰς μητέρα καὶ θυγατέρα, ἢ θεῖος εἰς τὴν γενομένην τοῦ ἀνεψιοῦ γυναῖκα, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν.

ΠΕΡΙ ΑΣΕΛΓΩΝ

Οἱ ἀσελγεῖς, ἤτοι ὁ ποιῶν καὶ ὁ πάσχων, ξίφει τιμωρείσθωσαν· εἰ μὴ ἄρα ὁ πεπονθὼς ἐλάττων ἦν τῶν δώδεκα χρόνων, τότε γὰρ τὸ ἀτελὲς τῆς ἡλικίας αὐτὸν ἀπαλλάττει ποινῆς.

ΠΕΡΙ ΑΛΟΓΕΥΟΜΕΝΩΝ.

Οἱ ἀλογευόμενοι, ἤτοι οἱ κτηνοβάται, καυλοκοπείσθωσαν.

ΠΕΡΙ τῶν ἐχόντων δύο γυναῖκας.

Ὁ δύο γυναῖκας ἔχειν πειραθείς, οὐ νόμῳ, ἀλλ' ἀφελκτῷ καὶ προαιρέσει καλῶς ὑποστήσεται τὸ τῆς μοιχείας ἔγκλημα· ἡ δὲ ὕστερον αὐτῷ γαμηθεῖσα, εἰ ἠγνόει αὐτὸν ἔχειν νόμιμον γαμετήν, συγγνωμονηθήσεται.

ΠΕΡΙ ΚΛΕΠΤΩΝ, ἈΓΕΛΑΤΩΝ, ΤΥΜΒωρύχων, καὶ ἱεροσύλων. Τίτλ. ε΄.

Ἡ μὲν περὶ κλοπῆς ἀγωγή, κατὰ κληρονόμων οὐ παραπέμπεται· ἡ δὲ ἀγωγὴ ἡ ἀπαιτοῦσα τὸ κλαπὲν πρᾶγμα, κατὰ

παντὸς νεμομένου ἁρμόζει. Ὁ ἐν ἡμέρᾳ κλέπτων, εἰ μὲν φανερὸς κλέπτης ἐστὶν, εἰς τὸ τετραπλάσιον ἐνάγεται· εἰ δὲ ἀφανὴς, εἰς τὸ διπλάσιον. Τὸν νυκτερινὸν κλέπτην, τὸν ἔξω τῆς πόλεως, ἔξεστι φονεύειν, κἂν στρατιώτης ἐστί· τὸν δὲ ἐν πόλεσιν, οὐκ ἔξεστι φονεύειν, εἰ μὴ ἀκόντιον ἐπιφέρεται. Πάντα δὲ τὰ βλάπτοντα, ἀκόντια λέγεται. Ἐπὶ ἑκατέρου δὲ, δεῖ μετὰ κραυγῆς διαμαρτύρασθαι. Ἐὰν τὸν ἐν νυκτὶ κλέπτοντα φονεύσῃ τις, τότε ἀτιμώρητος μένει, ὅτε μὴ ἠδύνατο δίχα κινδύνου ἰδίου, φείσασθαι αὐτοῦ. Ἐὰν κλέψωσί τινες ἀλλότριον πρᾶγμα, ἢ ἄλλως ἀφέλωνται καὶ πωλήσωσιν αὐτὸ, εἶτα ὁ δεσπότης βούληται ἀνακαλέσασθαι τὸ οἰκεῖον, οὐκ ἀναγκάζεται διδόναι τὸ ὑπὲρ αὐτοῦ καταβληθὲν τίμημα, ἀλλὰ καὶ χωρὶς τοῦ τιμήματος λαμβάνει αὐτό. Ὅταν τι πρᾶγμα ἐν πανδοχείῳ ἢ ἐν καπηλείῳ κλαπῇ, ἄδειαν ἔχει ὁ τοῦ πράγματος κύριος, εἰ μὲν θέλει κατὰ τοῦ κλέψαντος τὸ πρᾶγμα κινεῖν καὶ ποιεῖν τὴν ἐν διπλῷ ἀγωγὴν ἢ τὴν ἐν τετραπλῷ, εἰ μεῖζον εἴη τὸ πρᾶγμα, εἰ δὲ βούλεται κατὰ τοῦ προεστῶτος τοῦ καπηλείου ἢ τοῦ πανδοχείου ἐγκαλεῖν, καὶ ποιεῖν τὴν εἰς τὸ ἁπλοῦν ἀγωγήν. Ὁ καπηλείου ἢ πανδοχείου τινὸς προεστάμενος, ἐάν τινος ἐλθόντος ἐκεῖσε ἀναδέξηται φυλάττειν τὸ πρᾶγμα αὐτοῦ, εἶτα τὸ τοιοῦτον πρᾶγμα κλαπῇ, αὐτὸς μὴ ὡς κλέπτης ἔχει τὴν περὶ κλοπῆς τῶν ἄλλων ἀγωγὴν, καὶ αὐτὸς μὲν ἀπαιτεῖται ἱκανῶσαι τῷ δεσπότῃ τὸ πρᾶγμα, τὴν δὲ περὶ κλοπῆς ἀγωγὴν, αὐτὸς κατὰ τῶν ἐνοικουμένων ἐν τῷ καπηλείῳ λοιπῶν κινεῖ. Τῆς γυναικὸς κλεψάσης, ὁ ἀνὴρ κατακρίνεται, ἁμάρτημα γάρ ἐστι καὶ ἡ κλεψία· καθολικῶς δὲ τὰ ἁμαρτήματα, τῇ κεφαλῇ ἕπονται. Τοὺς ἐν φοσσάτῳ κλέπτοντας, εἰ μὲν ὅπλα, σφοδρῶς προστάττομεν τύπτεσθαι· εἰ δέ τι τῶν ὑποζυγίων, χειροκοπεῖσθαι. Τὸ κλοπιμαῖον ξύλον ἐμβληθὲν οἴκῳ, ἢ ἀμπελῶνι, οὐκ ἀποσπᾶται, ἀλλ' ὁ ἐμβα-

λὼν

λῶν εἰς τὸ διπλοῦν ἐνέχεται· τῷ δὲ ὀνόματι τῶν ξύλων πᾶσα ὕλη ἐπιτηδεία πρὸς οἰκοδομὴν, ἢ ἀμπελῶνα περιέχεται.

Τοὺς ἐν οἱᾳδήποτε πολιτείᾳ κλέπτοντας, ἅπαξ μὲν τοῦτο ποιοῦντας, διατάζομεν εὐπόρους μὲν καὶ ἐλευθέρους ὑπάρχοντας, πρὸς τῇ ἀποκαταστάσει τοῦ κλαπέντος, καὶ διπλῆν ποσότητα καταβαλεῖν τῷ τὴν κλοπὴν ὑπομένοντι. εἰ δὲ ἄποροι εἶεν οἱ τοῦτο πεπραχότες, τυπτόμενοι ἐξοριζέσθωσαν· ἐὰν δὲ οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις ἁλῶσι, χειροκοπείσθωσαν. Ὁ τοῦ κλέπτου δούλου δεσπότης, ἢ τὸ ἀζήμιον τῷ τὴν κλοπὴν ὑποστάντι περιποιεῖται, ἢ εἰ μὴ βούλοιτο τοῦτο ποιεῖν, τὸν δοῦλον εἰς τελείαν δεσποτείαν παραδίδωσι, τῷ τὴν κλοπὴν ὑπομένοντι.

ΠΕΡΙ ἈΠΕΛΑΤΩ͂Ν.

Τὰς ἀλλοτρίας ἀγέλας οἱ ἀπελαύνοντες, ἅπαξ μὲν τοῦτο ποιοῦντες, τυπτέσθωσαν, ἐκ δευτέρου δὲ διαπλεκόμενοι ἐξοριζέσθωσαν, εἰ δὲ καὶ τρίτον φωραθεῖεν τοῦτο ποιοῦντες, χειροκοπείσθωσαν, τῆς ἀπελαθείσης ἀγέλης δηλονότι, τῇ ἰδίᾳ δεσποτείᾳ παρ' αὐτῶν ἀποκαθισταμένης.

ΠΕΡΙ ΤΥΜΒΩΡΥΧΩΝ.

Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες, χειροκοπείσθωσαν.

ΠΕΡΙ ἹΕΡΟΣΥΛΩΝ.

Ὁ ἐν θυσιαστηρίῳ ἐν ἡμέρᾳ, ἢ ἐν νυκτὶ εἰσιὼν, καὶ τῶν εἰς αὐτῷ ἱερῶν τι ἀφελόμενος, τυφλούσθω. ὁ δὲ ἔξω τοῦ θυσιαστηρίου, ἢ ἐκ τοῦ ἄλλου ναοῦ ἀφελόμενος, τυπτόμενος καὶ κουρευόμενος, ἐξοριζέσθω.

ΠΕΡΙ ΦΟΝΕΩΝ, Τίτλ. ϛ.

Φονεύς ἐστιν, ὁ σκοπὸν ἔχων φονεῦσαι, κἂν φονεύσῃ, κἂν μὴ φονεύσῃ, ἀλλὰ τυχὸν τραυματίσῃ, ἢ πλήξῃ μετρίως ὡς φονεῦσαι ἐβούλετο· ὡσαύτως καὶ ἐκ τοῦ ἐναντίου, οὐκ ἔστι φονεὺς ὁ μὴ θελήσας φονεῦσαι, εἰ καὶ φονεύσει. Ὁ περὶ ἀνδροφόνων νόμος δόλον ἐπιζητεῖ, ἀλλ' οὐ μεγάλην ἀμέλειαν, δι' ὅπερ εἴ γέ τις ἑαυτὸν ἐκ τοῦ τείχους, ἢ διὰ τὸ φυγεῖν, ἢ δι' ἑτέραν χρεί

αν ἀναγκαίαν τινά, εὑρέθη τις κάτω, ἔπεσεν ἐπ' αὐτὸν ὁ καταφερόμενος, καὶ ἔπληξεν εἰς μέρος τι καίριον, καὶ ἀπέκτεινεν· ἐνταῦθα οὐκ ἔστι δόλος, ἀλλ' ἀμέλεια, καὶ διὰ τοῦτο ὁ φονεύσας, οὐ κρίνεται φόνου. Ὁ φονεύων ἑκουσίως, οἵας ἂν εἴη ἡλικίας, ξίφει τιμωρείσθω. Ἡ δὲ νεαρὰ δευτέρα νομοθεσία τοῦ καίσαρος κωνσταντίνου τοῦ πορφυρογεννήτου, τὸν ἑκουσίως φονεύοντα δεξαμένη, κατὰ συμπάθειαν παρὰ τὴν δύναμιν τῆς πρώτης, ἀειφυγίᾳ τοῦτον καταδικάζει, καὶ τῆς οἰκείας περιουσίας ἐκπτώσει· οὐ τῷ δημοσίῳ δὲ ταύτην προσκυροῦσθαι φησί, ἀλλὰ μετὰ τὸ ἱκανωθῆναι τὴν τούτου γαμετὴν κατὰ νόμους. εἴς τε τὴν προῖκα καὶ τὴν προγάμου δωρεὰν καὶ τὰ θεώρητρα, εἰ ὕπεισι παῖδες τοῦ φονέως, τὸ τρίτον τῆς καθαρᾶς ἐναπολειφθείσης τούτῳ περιουσίας, τοῖς παισὶν αὐτοῦ προσκυροῦσθαι, τὸ ἕτερον τρίτον τῷ μοναστηρίῳ, εἰ μοναχὸς ἐθελήσει γενέσθαι καὶ τὸ ἕτερον τρίτον, τῇ γυναικὶ καὶ τοῖς τέκνοις τοῦ τελευτήσαντος. εἰ δὲ οὐχ ὕπεισι παῖδες τῷ πεφονευμένῳ, τῇ γυναικὶ καὶ τοῖς ἀνιοῦσιν ἐξ ἴσου τὸ τοιοῦτον διαιρεῖσθαι τρίτον. τῆς γυναικὸς δὲ τοῦ βίου προαπελθούσης, καὶ παίδων ὄντων, τούτοις προσνέμεσθαι τῶν ἀνιόντων. εἰ δὲ μήτε παῖδες, μήτε γυνὴ μήτε ἀνιόντες εἰσὶ τῷ ἀναιρουμένῳ, τοὺς ἄλλους ἐκ νόμου καλουμένους συγγενεῖς, καὶ πρὸς τὴν δίκην μὴ ῥαθυμήσαντας τοῦ ἀδικήσαντος, λαμβάνειν τὸ τρίτον. εἰ δὲ μὴ πρὸς τὸν μοναδικὸν βίον ὁ φονεὺς μετέλθοι, οὐ τὸ τρίτον, ἀλλὰ τὸ δίμοιρον τῆς ἐλευθέρας αὐτοῦ περιουσίας κατὰ τὴν εἰρημένην διάταξιν, τῷ τοῦ πεφονευμένου κληροδοτεῖσθαι μέρει, καὶ πρὸς τούτῳ μηδένα μηδέποτε τοιούτῳ ἐγκλήματι ἑαλωκότα, ἢ πολιτικὴν ἢ ἄλλην τινὰ οἱανοῦν πρᾶξιν μεταχειρίζεσθαι· μὴ δὲ θείας ἀντιγραφῆς ἀξιούμενον, ἀλλ' εἶναι παντοίως ἄτιμον, ᾧ τὸ ζῆν μόνον φιλανθρώπως συγκεχώρηται. Καὶ ἡ νεαρὰ τοῦ καίσαρος Μανουὴλ τοῦ βασιλέως, ἀειφυγίᾳ τὸν τοιοῦτον καταδικάζει, οὐκ ἀναγκά-

ναγκάζουσα καὶ ἀποκείρεσθαι. φησὶ γάρ, ἄτοπον ἀναγκάζειν τὸν φονέα καὶ μὴ θέλοντα ἀποκείρεσθαι, ὁπότε καὶ τοὺς ἑκουσίως ἐρχομένους ἀποκαρῆναι, οὐχ ἑτοίμως οὐδ' εὐχερῶς. ἀλλὰ μετὰ δοκιμασίας τῆς προσηκούσης παραδέχεσθαι διορίζονται. Ἡ δὲ τοῦ πατριάρχου καίσαρος Ἀθανασίου νεαρά, τὸν φόνου ἁλόντα, αὐτὸν μόνον τιμωρεῖσθαι κελεύει κατὰ τοὺς νόμους· τοὺς δὲ παῖδας αὐτοῦ μὴ δημεύεσθαι, τῇ μιαιφονίᾳ μὴ συμπράξαντας. μεριζομένης δὲ τῆς αὐτοῦ περιουσίας κατὰ τὸν ἀριθμὸν τῶν οἰκείων παίδων, ἀπονέμειν μίαν καὶ τῷ φονευθέντι μοῖραν, καὶ μάλιστα εἰ πενίᾳ συζῶν ἦν, καὶ αὐτῇ γυναικὶ καὶ παισὶν ἀπῆλθε· μόνην δὲ τὴν τοῦ φονέως μερίδα, προσκυροῦσθαι τῷ δημοσίῳ. Οὔτε ὁ ἴμφας, τουτέστιν ὁ ἑπταετής, οὔτε ὁ μαινόμενος φονεύων, ὑπόκειται τῷ θανάτῳ. Ὁ μετὰ ξίφους πλήττων τινά, ἐὰν φονεύσῃ, ξίφει τιμωρείσθω. εἰ δὲ ὁ πληγεὶς οὐ τελευτήσει, ὁ τὴν πληγὴν δεδωκώς, χειροκοπείσθω, διότι ὅλως μετὰ ξίφους δοῦναι ἐτόλμησεν. Μάχης μεταξὺ τινῶν γινομένης, ἐὰν συμβῇ θάνατον προελθεῖν, τηρείσθωσαν τὰ ὄργανα οἱ ἀκροαταὶ δι' ὧν ἐπηκολούθη ὁ θάνατος, καὶ εἰ εὕρωσι διὰ ξύλων τελείων ἢ λίθων μεγάλων, ἢ λακτισμάτων τὸν φόνον γεγενημένον, τὸν τοῦτον διαπραξάμενον χειροκοπείτωσαν· εἰ δὲ δι' ἐλαφροτέρων πληγῶν συμβῇ γενέσθαι τὸν θάνατον, τυπτέτωσαν τοῦτον καὶ ἐξοριζέτωσαν. Ἐὰν ἐν μάχῃ μετὰ χειρὸς τύψῃ τις καὶ φονεύσῃ, τυπτόμενος ἐξοριζέσθω· εἰ δὲ μὴ ἀποθάνῃ, τυπτέσθω. Ἐάν τις τὸν ἴδιον οἰκέτην λώροις ἢ ῥάβδοις τύψῃ, καὶ ἐκ τούτων συμβῇ ἐκεῖνον τελευτῆσαι, οὐ κατακρίνεται ὡς ἀνδροφόνος· εἰ δὲ ἀμέτρως αὐτὸν ἐβασάνισεν, ἢ φαρμάκῳ ἀνεῖλεν, ἢ προσέκαυσεν, ὡς φόνον πεποιηκὼς τιμωρεῖται. Ὁ ἀκουσίως φόνον ποιήσας, ἐξορίζεται. Ὁ τὸ νήπιον φονεύσας, τιμωρίᾳ φόνου ὑπόκειται, καὶ ὁ ἐλάττων τῶν κ' ἐτῶν φονεύσας, ἀνάγεται ὡς φονεύς.

φονεύει τίς τὸ τικτόμενον, οὐ μόνον ὁ πνίγων, ἀλλὰ καὶ ὁ ῥίπτων, καὶ ὁ μὴ τρέφων, καὶ ὁ ἐν δημοσίοις τόποις ἐκτιθέμενος, ὅθι ἐλεημοσύνην αὐτὸς οὐκ ἔχει. Ὁ ἀνελὼν ἄτε ὄντα ἢ καλοῦντα ἢ συγγενῆ, πυρὶ παραδιδόσθω. Ὁ δ' ἐπελθόντα φονεύσας, ἐν ᾧ περὶ ζωῆς ἐκινδύνευεν, ἀνεύθυνος ἔσται. Ὁ ἐντειλάμενος τινὶ φονεῦσαι, ὡς φονεὺς κρίνεται.

Ὁ συγκλητικὸν ἢ στρατιώτην τινὰ φονεύσας, κρινέσθω καθοσιώσεως τουτέστι καταδικαζέσθω καὶ τιμωρείσθω, καθὼς οἱ ἐν τῷ ἐγκλήματι τῆς καθοσιώσεως ἐνεχόμενοι. Ὁ φονεύσας τινὰ βιαζόμενον πρὸς ἀσέλγειαν, ἀνεύθυνος.

ΝΕΑΡᾺ ΚΑΊΣΑΡΟΣ βασιλέως τοῦ πορφυρογεννήτου.

Ὅτι κολάζεσθαι δεῖ καὶ τὸν ἐν ἀξιώματι φονέας καὶ ἀποθνήσκειν, καὶ μηδὲν ἐκ τοῦ ἀξιώματος ὠφελεῖσθαι, εἰ μόνους προδήλους φανεῖεν δόλους ἢ συνωμοσίας, ἢ συσκευάς, ἢ ἐπιθέσεις πρὸς τὸ μίσους ἄξιον τοῦτο ποιοῦντες ἔργον· ἢ τοὺς ὑπηρετοῦντας αὐτοῖς παραπείθοντες, τὸ πονηρὸν ἐκπληρεῖν τοῦτο.

Ὁ θάπτων ἔγγυον πρὶν ἢ τὸ βρέφος δι' ἀνατομῆς ἐκβληθῇ, φονεύειν δοκεῖ. Ἐὰν πατὴρ κατηγορήσῃ τινὸς περὶ φόνου τοῦ ἰδίου παιδός, καὶ ἀποφανθῇ κατὰ συκοφαντίαν κινήσας, οὐκ ἀτιμοῦται.

ΠΕΡῚ ΛΗΣΤΩ͂Ν.

Τὸν λῃστὴν, ἔξεστιν ἑκάστῳ ἀκινδύνως φονεύειν. Οἱ ἐπίσημοι λῃσταὶ ἐν τοῖς τόποις ἐν οἷς ἐπλημμέλησαν, φουρκίζονται, καὶ χρὴ ἵνα διὰ τῆς θέας καταπτοηθῶσιν οἱ ἐγχειροῦντες τοῖς τοιούτοις, καὶ ἵνα γένηται παραμυθία τοῖς συγγενέσι τῶν ἀναιρεθέντων.

ΠΕΡῚ ΤΩ͂Ν ἉΡΠΑΖΌΝΤΩΝ ΓΥΝΑῙΚΑΣ. Τίτλ. ζ.

Οἱ ἁρπάζοντες γυναῖκας, ἢ μεμνηστευμένας, ἢ ἀμνηστεύτους, ἢ χήρας, εἴτε εὐγενεῖς οὖσιν, εἴτε δούλη εἴτε ἀπελευθέρος, καὶ μάλ-

σα εἰ τῷ θεῷ εἰσὶ γυναῖκες καθιερωμέναι, κἂν τὴν ἰδίαν τις μνηστὴν ἥρπασεν, εἰ μὲν μεθ' ὅπλων, εἴτε ξιφῶν, ἢ ῥοπάλων τὴν ἁρπαγὴν ἐποιήσατο, οἱ τοιοῦτοι ξίφει τιμωρείσθωσαν. οἱ δὲ συναιρόμενοι τούτοις, ἢ συνειδότες, ἢ ἑκόντες ὑποδεξάμενοι, ἢ οἱανδήποτε σπουδὴν εἰσενεγκόντες, τυπτόμενοι καὶ κουρευόμενοι, ῥινοκοπείσθωσαν. εἰ δὲ χωρὶς οἱωνδήποτε ὅπλων τὴν ἁρπαγὴν ἐποιήσατο, ὁ μὲν τὴν ἁρπαγὴν ποιήσας, χειροκοπείσθω. οἱ δὲ βοηθήσαντες τοῖς τοιούτοις ἐν τῇ ἁρπαγῇ, ἢ συνειδότες καὶ ὑπηρετήσαντες, ἢ ἑκόντες ὑποδεξάμενοι, ἢ οἱανδήποτε σπουδὴν αὐτοῖς εἰσενεγκόντες, τυπτόμενοι καὶ κουρευόμενοι ἐξοριζέσθωσαν. ὁ δὲ παρθένον ἢ χήραν ἁρπάσας εἰ καὶ μνηστὴν, οὐ δύναται ταύτην γαμεῖν, οὐδὲ συναινοῦντος τοῦ ταύτης πατρὸς καὶ συγχωροῦντος τὸ ἔγκλημα. εἰ δὲ ἡ ἁρπαγεῖσα κόρη εἰς γάμον αὐτῷ τάχα συναφθῆναι θελήσει, μετὰ θάνατον τούτου κἂν παῖδας ἐξ αὐτοῦ ἔχῃ, κἂν ἐκεῖνος τελευτῶν διατάξηται, οὐ διαδέχεται τοῦτον· ἐὰν δὲ μὴ συναφθῇ τούτῳ, λαμβάνει τὴν οὐσίαν αὐτοῦ, ἀλλ' οὐδὲ ἀπὸ τῆς πατρικῆς περιουσίας αὐτῆς κερδαίνει τι, ἀλλὰ τὰ μὲν τοῦ πατρὸς πρὸς τοὺς ἄλλους κληρονόμους καταλιμπάνεται· τὰ δὲ τοῦ ἅρπαγος, εἰς τὸ δημόσιον εἰσκομίζεται. Ὅταν μετὰ πλήθους ἀφίκηταί τις εἰς οἰκίαν τινὸς, καὶ εἴτε ἄκουσαν, εἴτε ἑκοῦσαν ἁρπάσῃ γυναῖκα, ἁρπαγὴν πλημμελεῖν δοκεῖ, καὶ τιμωρεῖται. ὅταν δὲ μόνος ἀπέλθῃ μετά τινας ἔχων τοὺς συνυπουργοῦντας, καὶ ἀφανῶς τὴν γυναῖκα ἑαυτὴν προδεδωκυῖαν ἀνελέσθαι θαῤῥήσῃ, οὐχ ἁρπαγὴν, ἀλλὰ φθορὰν παρθένου ἁμαρτάνει. Τὴν ἁρπαγὴν τῆς βιασθείσης γυναικὸς, ἐκδικοῦσιν οἱ ἀδελφοὶ καὶ γονεῖς καὶ ἐπίτροποι καὶ κουράτωρες. Δοῦλος συνειδὼς καὶ συμπράξας τῇ ἁρπαγῇ τῆς ἰδίας δεσποίνης καίεται. Ἐὰν χωρὶς δικαστικῆς ἀσφαλείας ἐπιβατικῶς ἀφέληταί τις πρᾶγμα, εἰ μὲν ἴδιον αὐτοῦ, ἐκπί-

πτει

πτει τῆς αὐτοῦ δεσποτείας, εἰ δὲ δημότειον, ἐπεχέτω αὐτὸ τὸ πρᾶγμα καὶ τὴν διατίμησιν αὐτῶν.

## ΠΕΡΙ ΤΩΝ ἘΞ ἘΜΠΡΗΣΜΟΥ ἉΡΠΑγῶν καὶ τῶν ἐκ ναυαγίου.

Ὁ ἁρπάζων τι ἀπὸ ἐμπρησμοῦ ἢ ναυαγίου, ἢ καταπτώσεως, ἔσω μὲν ἐνιαυτοῦ συναπτοῦ, εἰς τετραπλοῦν· μετὰ δὲ τὸν ἐνιαυτόν, εἰς τὸ ἁπλοῦν κατέχεται, πρὸς τῇ ὡρισμένῃ ποινῇ. Ὁ ἅρπαξ οὐκ ἀπαλλάττεται τῆς ποινῆς, πρὸ τῆς δίκης προσάγων τὸ πρᾶγμα. Ὅμοιόν ἐστι τῷ ἁρπάσαι, καὶ τὸ ὑποδέξασθαι τὰ ἁρπαγέντα ἐν εἰδήσει.

## ΠΕΡΙ ΝΕΩΤΕΡΙΚΩΝ.

Οἱ βουλόμενοι θόρυβον ἢ στάσιν ποιῆσαι, καὶ οἱ ἔχοντες ἐνόπλους ἐλευθέρους ἢ δούλους, καὶ ὁ ἔφηβος δημοσίᾳ ξίφος ἐπιφερόμενος, καὶ οἱ μετὰ ἐφόδου ἀγροῖς ἐπιόντες, καὶ ἁρπάζοντες πράγματα, τῷ περὶ βίας δημοσίας νόμῳ κατέχονται.

Οἱ λεγόμενοι νεωτερικοί, καὶ οἱ θορύβους ἐν τῷ δήμῳ ποιοῦντες, εἰ μὲν ὑπομνησθέντες παρὰ τῶν ἀρχόντων, τοῖς αὐτοῖς ἐπιμένειεν, ἐξορίζονται. εἰ δὲ πολλοὺς θορύβους, καὶ ἀταξίας ἐποίησαν, καὶ πολλάκις κρατηθέντες καὶ πρότερον κολασθέντες, ἐπὶ τῆς αὐτῆς ἐπέμειναν προπετείας, τυπτόμενοι καὶ κουρευόμενοι διηνεκῶς ἐξοριζέσθωσαν. εἰ δὲ καὶ οὐχ ὑπομνησθῆσαν παρὰ τῶν ἀρχόντων, ῥοπαλίζονται μόνον καὶ ἀπολύονται.

## ΠΕΡΙ ΤΩΝ ὍΡΙΑ ΜΕΤΑΤΙΘΕΝΤΩΝ

Ὁ μετατιθεὶς ὅρια, εἰ μὲν νεώτερος εἴη, εἰς χρόνον μακρότερον ἐξορίζεται· εἰ δὲ γέρων εἰς ἧττονα. ὁ δὲ ἑτέρῳ ὑπουργήσας τύπτεται, καὶ ἐπὶ διετίαν εἰς ἔργον δημόσιον πέμπεται. ὁ δὲ κατὰ ἄγνοιαν ἢ τυχηρῶς τοὺς ὁριαίους λίθους μεταθείς, μαστιγοῦται μόνον. Ὁ ὅρους δόλῳ μεταθείς, καθ' ἕκαστον ὁροθέσιον, τῷ μέρει τῶν δημοσίων πεντήκοντα ζημιοῦται

τι. εἰ δὲ δοῦλος ἢ δούλη πλημμελήσωσι ταῦτα, κεφαλικῶς τιμωρεῖται· εἰ μὴ ὁ δεσπότης τὴν ὑπὲρ τούτων τιμὴν καταβάλλεται. Ὁ τὸν ὅρον τοῦ ἔτι ἀμφισβητησίμου πρὸ δίκης τελείας κατασχὼν, εἰς τὸ διπλοῦν αὐτὸν ζημιοῦται· καὶ δίδωσιν αὐτόν τε τὸν τόπον τῷ νενικηκότι, καὶ ἕτερον τοσοῦτον· εἰ δὲ ἴδιος ἦν αὐτοῦ ὁ τόπος, ἀρκεῖ πρὸς τιμωρίαν τὸ ἐκπεσεῖν αὐτοῦ.

## ΠΕΡΙ ΑΥΤΟΜΟΛΩΝ ΚΑΙ ΑΝΔΡΑποδιστῶν. Τιτλ. η΄.

Τοὺς ἐκ τῶν ῥωμαίων πρὸς τοὺς πολεμίους φεύγοντας, ὡς πολεμίους ἔξεστιν ἑκάστῳ ἀκινδύνως φονεύειν. Οἱ πρὸς τοὺς πολεμίους αὐτομολοῦντες, καὶ τὰς ἡμετέρας βουλὰς ἀπαγγέλλοντες, εἰς φοῦρκαν ἀναρτῶνται, ἢ καίονται. Οἱ πολέμιοι καὶ οἱ πρὸς αὐτοὺς αὐτομολοῦντες, ξίφει τιμωρείσθωσαν.

Εἴ τις αὐτόμολος εἰς τὴν πατρίδα ἐπαναδράμοι, ἅπαξ μὲν τοῦτο ποιήσας, συγγνώμης τυγχανέτω· δεύτερον δὲ, εἰς τριετῆ δουλείαν διαπωλείσθω. ἐκ τρίτου δὲ ποιησάμενος τὴν αὐτομολίαν, εἶτα ἐπαναζεύξας, εἰς διηνεκῆ καὶ ἀΐδιον οἰκετείαν πιπρασκέσθω, εἰ δὲ ληφθεὶς ὑφ᾽ ἑτέρων εἰς τὴν πατρίδα ἐπαναχθῇ, καὶ μάλιστα εἰ αἵματος ἐμφυλίου τὴν δεξιὰν ἔχει μεμολυσμένην, τοῦτον θανάτῳ κολάζειν οἷα δὴ πολέμιον, οὔτε ἄδικον, οὔτε ἄτοπον. Ὁ ἐρεθίζων τοὺς πολεμίους, ἢ παραδιδοὺς πολεμίοις ῥωμαίους, κεφαλικῶς τιμωρεῖται.

Ὁ διδάσκων τοὺς βαρβάρους, ναῦς κατασκευάζειν, κεφαλικῇ τιμωρίᾳ ὑπόκειται. Δοῦλοι ἢ ἐλεύθεροι ἀνδραποδίζοντες ἐλευθέρους, δαιρόμενοι καὶ κουρευόμενοι, χειροκοπείσθωσαν.

## ΠΕΡΙ ΣΥΚΟΦΑΝΤΩΝ ΚΑΙ τῶν φλυαρίαν ἐπεισαγόντων. Τιτλ. θ΄.

Ἡ διάταξις βούλεται τὸν συκοφαντήσαντα ἐπὶ δημοσίῳ ἐγκλήματι, καὶ ἀτιμοῦσθαι καὶ περιορίζεσθαι, μόνον μέντοι

ἐὰν δημοτείαν κατηγορίαν κινήσῃ, ὡς ἰδίαν αἰτίαν. ὁ συκοφαντήσας ἐγκληματικῶς ἐπὶ σκοπῷ, τεσσαράκοντα χρυσίου λίτρας προστιμάσθω τῷ δημοσίῳ. ὁ συκοφαντήσας τῇ αὐτῇ τιμωρίᾳ ὑπόκειται. ὁ συκοφάντης κατ' οὐδένα τρόπον κερδαίνει· οὔτε ἐὰν λάβῃ, ἵνα συκοφαντήσῃ· οὔτε ἐὰν λάβῃ, ἵνα μὴ συκοφαντήσῃ τινά. ὁ εὑρίσκων φλυαρίαν ἐσφραγισμένην ἢ ἀσφράγιστον, καὶ μὴ παραχρῆμα καίων, ἀλλ' ἀναγινώσκων, ὑποκείσθω τῇ τιμωρίᾳ, ᾗ τινι ὑπόκειται καὶ ὁ συντεθεικὼς τὴν φλυαρίαν. φλυαρία δέ ἐστιν ὁ ῥιπτόμενος χάρτης καὶ κατηγορίας ἔχων κατά τινος. ὁ εὑρίσκων φλυαρίαν, μηδενὶ ἑτέρῳ λεγέτω τὴν δύναμιν αὐτοῦ, ἀλλὰ διαῤῥήξει ἢ καύσει αὐτήν· ὁ δὲ μὴ ταῦτα ποιήσας, κεφαλικῇ τιμωρίᾳ ὑπόκειται.

## ΠΕΡῚ ΦΑΡΜΑΚΩ͂Ν ΓΟΉΤΩΝ ΚΑῚ ΜΆΝΤΕΩΝ. τίτλ. γ.

Τῷ περὶ ἀνδροφόνων νόμῳ κατέχεται, ὁ ποιήσας φάρμακον, ἐπὶ ἀναιρέσει ἀνθρώπου, ἢ ἐωνηκὼς ἢ πωλήσας. Εἴ τις ἐλεύθερος, ἢ δοῦλος ἐπὶ οἱαδήποτε προφάσει δώσει ποτὸν, εἴτε γυνὴ ἀνδρί, εἴτε ἀνὴρ γυναικί, εἴτε δοῦλος δεσπότῃ, ἢ δὴ τοῦ τοιαύτης προφάσεως ἀσθενείᾳ περιπέσοι ὁ τὸ ποτὸν ἐκπιὼν, καὶ συμβῇ ἐκ τούτου καταῤῥεῦσαι καὶ ἀποθανεῖν, ξίφει τιμωρείσθω.

## ΠΕΡῚ ΓΟΉΤΩΝ.

Οἱ τὰ λεγόμενα ποιοῦντες φυλακτὰ ἐπὶ φιλίᾳ τῶν δοκούντων ἀνθρώπων, δημευόμενοι ἐξοριζέσθωσαν. ὁ συνειδὼς τινὶ γοητείαν, κατασχὼν αὐτὸν, τῇ δημοσίᾳ ὄψει παραδιδότω· εἰ δέ τις οἱοσδήποτε ἄνθρωπος συλλαβόμενος τοῦτον μὴ παραδώσει, ἐσχάτην ὑπομενέτω τιμωρίαν. Οἱ διὰ γοητείας σώφρονας λογισμοὺς πρὸς ἔρωτας στρέφοντες, δημεύσει καὶ ἐξορίᾳ καθυποβάλλονται· εἰ δὲ καὶ πρὸς πρόσωπον ὑπερέχον τοῦτο τολμήσοιεν, τὴν διὰ ξίφους τιμωρίαν ὑποστήσονται.

τὸ διὰ θυσιῶν μαντεύεσθαι κεκώλυται. ὁ δὲ τοιοῦτος, ξίφει τιμωρείσθω. οἱ τὰ φίλτρα ποιοῦντες, δημευόμενοι τὸν βίον καὶ πᾶσαν τὴν περιουσίαν, ἐξορίζονται. φίλτρα δέ εἰσι, τὰ φιλίας καὶ ἀγάπης ποιητικά, δι' ὧν ὡς φλυαροῦσί τινες, δύναταί τις ἕλκειν τινὰ πρὸς τὸ ἀγαπᾷν αὐτόν.

οἱ εἰς βλάβην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι, εἰ μὴ κατὰ ἄγνοιαν τοῦτο πράξουσι, ξίφει τιμωρείσθωσαν.

Ἀπαγορεύει ἡ διάταξις ἀμφοτέρας τὰς χεῖρας, καὶ τοὺς πόδας τέμνεσθαι.

ΠΕΡΙ' ἙΛΛΗΝΙΖΟΝΤΩΝ ΚΑΙ' ΑἹΡΕΤΙΚΩ͂Ν τίτλ. ια΄.

Ὁ ἀπὸ χριστιανῶν ἰουδαῖος γενόμενος, δημευέσθω.

Ἐὰν ἰουδαῖος χριστιανὸν ἀνδράποδον κτήσηται καὶ περιτέμῃ, κεφαλικῶς τιμωρεῖται. Ἐὰν ἰουδαῖος τολμήσῃ διαστρέψαι χριστιανικὸν λογισμόν, ὑπόκειται κεφαλικῇ τιμωρίᾳ. οἱ ἀξιωθέντες τοῦ ἁγίου βαπτίσματος, καὶ πάλιν ἑλληνίζοντες, ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται. οἱ ἀποστάντες ἐκ τῆς τῶν ὀρθοδόξων πίστεως καὶ αἱρετικοὶ γενόμενοι, ἢ θύσαντες, ἢ θῦσαι τινὶ ἐπαγγελλόμενοι, οὐ δύνανται διατίθεσθαι ἢ δωρεῖσθαι, οὔτε ἐκ διαθήκης, οὔτε ἐκ ἀδιαθέτου λαμβάνειν τι δύνανται. Ὁ τιμῶν ἑλληνικὰς θυσίας, ἢ τιμῶν εἴδωλα, ἢ θυσιάζων, ἢ λίβανον αὐτοῖς καίων, ἐσχάτῃ τιμωρίᾳ ὑποβάλλεται· ὁμοίως δὲ τιμωροῦνται, καὶ οἱ συνίστορες αὐτοῦ, καὶ οἱ ὑπηρέται τῶν θυσιῶν. οἱ μανιχαῖοι χριστιανοὶ γενόμενοι, μετὰ ταῦτα τὰ τῶν μανιχαίων διαπραττόμενοι, ἢ τοῖς τοιούτοις ἐντυγχάνοντες, καὶ μὴ παραδιδόντες τοῖς ἄρχουσιν, ἐσχάτῃ τιμωρίᾳ ὑπόκεινται. καὶ οἱ ἐν ἀξίαις ἢ στρατηγίαις ἢ συστήμασιν ὄντες ὀφείλουσι φροντίζειν, μή τις αὐτῶν ἐστι τοιοῦτος· ἐπεὶ τοί γε εἰ ἴσασιν αὐτὸν καὶ μὴ παραδιδόασι, κἂν ὀρθόδοξοι ὦσιν, ἐσχάτῃ τιμωρίᾳ ὑποβάλλονται. οἱ μανιχαῖοι καὶ μετὰ θάνατον ἐλέγχονται. καὶ ὅτι οὐδεὶς

αὐτοῦ κληρονομεῖ ἐκ διαθήκης, ἢ ἐξ ἀδιαθέτου, κἂν συγγενεῖς ὦσιν ὀρθόδοξοι, πλὴν παίδων, δὴ εἰσκομίζονται τὰ πράγματα αὐτῶν. μόνοι γὰρ παῖδες αὐτῶν ὀρθόδοξοι ὄντες, κληρονομοῦσιν αὐτούς.

## ΠΕΡΙ ΔΟΥΛΩΝ ΚΑΙ ΤΩΝ ἘΜΠΡΗΣμοὺς ποιούντων. Τίτλ. ιβ.

Δοῦλος συνειδὼς καὶ συμπράττων τῇ ἁρπαγῇ τῆς ἰδίας δεσποίνης, καίεται. Πυρὶ παραδίδονται οἱ δοῦλοι, οἵ τινες τῇ σωτηρίᾳ τῶν οἰκείων δεσποτῶν ἐπιβουλεύουσιν. κἀκεῖνοι τιμωρείσθωσαν τῶν οἰκετῶν ἀναιρεθέντος τοῦ δεσπότου, ὅσοι τῆς φωνῆς αὐτοῦ, ἢ τῆς κατ᾽ αὐτοῦ ἐπιβουλῆς αἰσθόμενοι, μὴ συνέδραμον, εἴτε ἐν οἴκῳ, εἴτε ἐν ὁδῷ, ἢ ἀγρῷ τοῦτο συνέβη. Ἐάν τις οἰκειακὸς, ἢ δοῦλος ἐγκληματικῶς κατηγορῇ τοῦ ἔχοντος αὐτὸν, ἀποτεμνέσθω ἐξηρημένου τοῦ ἐπὶ καθοσιώσει κατηγοροῦντος, καὶ ὁ ἀπελεύθερος ἐγκλήματα ἐπιφέρων τῷ πάτρωνι ἢ τῷ κληρονόμῳ αὐτοῦ, τὴν αὐτὴν ὑποφερέτω τιμωρίαν τοῖς δούλοις, καὶ τοῖς οἰκειακοῖς. Ἐάν τις εἰδὼς οἰκήματα ἐμπρήσῃ, ἢ σωρὸν σίτου πλησίον οἰκήματος κειμένου ἐλεγχόμενος, πυρὶ παραδίδοται· εἰ δὲ ἔξω πόλεως τὸ τοιοῦτον διαπράξεται, χειροκοπείσθω. Εἴ τις τὴν καλάμην τοῦ ἰδίου χωραφίου βουλόμενος καῦσαι, ἔβαλε κατ᾽ αὐτοῦ πῦρ, τὸ δὲ πῦρ ἀρθὲν, τὰ ἀλλότρια κατέκαυσε χωράφια, ἢ καὶ ἀλλότριον ἀμπελῶνα, δεῖ τὸν ἀκροατὴν ἐξετάζειν. καὶ εἰ μὲν ἀπειρίᾳ ἢ ῥαθυμίᾳ τοῦ ἀνάψαντος τὸ πῦρ ἀνῆψεν, εἰ μὴ παρεφυλάξατο δυνάμει τοῦ μὴ προελθεῖν τὴν φλόγα περαιτέρω, ὡς ἀμελήσας ὁ τοιοῦτος καταδικάζεται. εἰ δὲ πάντα μὲν ἐκεῖνος παρεφυλάξατο, ἀθρόον δὲ πνεῦμα προσπεσὸν, τὴν τοῦ πυρὸς φλόγα ἐπὶ τὸν βλαβέντα μετεκόμισεν, ἀνεύθυνος ὁ τὸ πῦρ ἀνάψας διαμένει. Ἐὰν ἀπό τινος τύχης οἶκος τινὸς ἐμπρησθῇ, κἀκεῖθεν τὸ πῦρ ἐκδραμὸν τὰ παρακείμενα ἐμπρήσῃ, οὐ

δὲν

δὴ ἀπόκειται ὁ καταρχὰς ἐμπρησθείς.

ΠΕΡΙ͂ ΤΩ͂Ν ἈΛΛΟΤΡΙΟΥΣ ἀποδεχομένων δούλους, καὶ τῶν ἐκποιούντων ἐλευθέρους. τίτλ. ιγ΄.

Ὁ τὸν ἀλλότριον δοῦλον ἀποδεξάμενος, καὶ ἀποκρύψας, οὐκ ἐκφεύγει τὴν ποινὴν, προφάσει τοῦ δικάζεσθαι περὶ τῆς αὐτοῦ δεσποτείας, ἀλλὰ δίδωσιν αὐτὸν μετὰ ἑτέρου ὁμοίου.

Ὁ τὸν φυγόντα δοῦλον ἀποδεξάμενος, δίδωσιν αὐτοῖς μεθ' ἑτέρου ὁμοίου, ἤτοι εἴκοσι νομισμάτων, ὁσάκις δὲ αὐτὸν ἀποδέξεται, τοσαυτάκις αὔξεται ἡ ποινή. Ὁ τὸν ἐλεύθερον ἐν εἰδήσει μὴ βουλόμενον πιπράσκων, ἀνδραποδιστής ἐστιν. Ἐάν τις εἰδὼς ἐλεύθερόν τινα ἀγοράσῃ ἢ πωλήσῃ αὐτὸν, ἢ δωρήσηται, ἢ εἰς προῖκα δώσῃ, ἢ ἀνταλλάξῃ, μιᾶς τούτων τῶν αἰτιῶν ἀποδεικνυμένης, ὁ τοιοῦτος χειροκοπείσθω.

ΠΕΡΙ͂ ΔΙΑΦΟΡΩΝ ΠΟΙΝΩ͂Ν τίτλ. ιδ΄.

Ἐάν τις κακῶς μνημονεύσῃ τοῦ βασιλέως, οὐκ ἀπόκειται εὐθὺς τιμωρία· ἐξ ἀνάγκης δὲ ἔχουσιν οἱ ἀκούσαντες, μηνύσαι τῷ βασιλεῖ, καὶ ὁ βασιλεὺς ἐπ' ἀδείας ἔχει, ὃ βούλεται ἐπ' αὐτῷ διοικήσασθαι· πλὴν καὶ ταῦτα περὶ τῶν τοιούτων ὁ νόμος διακελεύεται. εἰ μὲν ἀπὸ κουφότητος εἶπε, καταφρονητέος, εἰ δὲ ἀπὸ μανίας καὶ παραφροσύνης, ἐλέους δεῖται. εἰ δὲ ἐξ ἀκακίας, ἄξιός ἐστι συγχωρήσεως. εἰ δὲ παρὰ τοὺς τρεῖς τρόπους τούτους δι' ἄλλην αἰτίαν εἴρηκεν, ὑπομενέτω τὴν τιμωρίαν, τῇ δυνάμει τῶν παρ' αὐτοῦ λεχθέντων λόγων, ἀνάλογον πρὸς τὴν φλυαρίαν. Ὁ κατὰ τῆς σωτηρίας τοῦ βασιλέως μελετήσας, φονεύεται καὶ δημεύεται.

ΠΕΡΙ͂ ΜΟΝΙΤΑΣ.

Ὁ πλαστὴν μονίταν ποιῶν, μετὰ τῶν ὑπουργησάντων αὐτῷ χειροκοπείσθω· ὁ δὲ τοῦ ἀγροῦ διοικητὴς ἐν ᾧ γέγονεν ἡ πλαστὴ μονίτα, εἴτε γεωργὸς, εἴτε δοῦλος, εἴτε ἔνοικος, εἴτε ἐργαστηριακὸς ὑπηρετήσας τῷ τοιούτῳ ἁμαρτήματι, καὶ αὐτὸς χει-

πείθω. Μονίτα δὲ καλεῖται, τὸ ἀρχέτυπον σφραγιστήριον, ἢ βουλλωτήριον μεθ' ὧν ὁ τοῦ ῑι τύπος διαχαράττεται. Ὁ δὲ χαράκωμα παρεξιὼν, ἢ διὰ τῶν τειχῶν εἰς τὸ κάστρον εἰσιὼν, κεφαλικῶς τιμωρεῖται· ὁ δὲ τὴν τάφρον ὑπερπηδῶν, ἀποστρατεύεται. Ὁ τραχεῖαν ἐρεθίζων στρατιωτῶν στάσιν, κεφαλικῶς τιμωρεῖται· εἰ δὲ μέχρι φωνῆς ἢ ψιλῆς μέμψεως ἡ στάσις ἐστὶ, τοῦ βαθμοῦ ἐκβάλλεται. Πᾶσα προπέτεια κατὰ τοῦ δουκὸς ἢ ἄρχοντος τῶν στρατιωτῶν, κεφαλικὴν ἐπάγει τιμωρίαν.

## ΠΕΡῚ ἸΔΙΩΤΙΚΩ͂Ν ΦΥΛΑΚΩ͂Ν.

Ἡ διάταξις κελεύει, μὴ γίνεσθαι ἰδιωτικὰς φυλακάς· τοὺς δὲ τοῦτο ποιοῦντας, ὑποκεῖσθαι καὶ ἐπιτιμίῳ, καὶ διάγειν ἐν τῇ δημοσίᾳ φρουρᾷ τοσαύτας ἡμέρας, ὅσας δήποτ' ἂν γέγονεν ὁ ἐγκλεισθεὶς ἐν τῇ γενομένῃ παρ' αὐτῶν φυλακῇ, ὁποίας ἂν εἴησαν τύχης ἢ ἀξίας, ἐκπίπτειν δὲ καὶ τῆς δίκης τῆς ἁρμοζούσης αὐτοῖς κατὰ τῶν ἐγκλεισθέντων προνοίᾳ τοῦ ἐπισκόπου καὶ τοῦ ἄρχοντος· εἰ δὲ ῥαθυμήσει ὁ ἄρχων, ὑφίστασθαι κίνδυνον καὶ περὶ τὴν οὐσίαν καὶ τὴν στρατείαν. Ὁ φυλακῆς προεστὼς ἐὰν διὰ τὸ λαβεῖν χρήματα δίχα δεσμῶν τοὺς φυλαττομένους ἐάσῃ, ἢ ἀνάσχηται καὶ παραχωρήσῃ σίδηρον ἢ φάρμακον ἐν τῇ φυλακῇ εἰσαχθῆναι, τιμωρεῖται· εἰ δέ τι τοιοῦτον γένηται κατὰ ἄγνοιαν τοῦ προεστῶτος τῆς φυλακῆς, ἀποκινεῖται ὡς ῥᾴθυμος, ἤγουν ὡς ἀμελὴς τῆς ἐπὶ τῇ φυλακῇ προστασίας, ἐκβάλλεται.

Οἱ φυγόντες ἐκ φυλακῆς, εἰ μὲν συντρίψαντες τοὺς δεσμοὺς ἢ μέρος τῆς φυλακῆς χαλάζοντες, ἢ μὴν ἄλλως κατὰ τῶν φυλάκων δολιευσάμενοι, τὴν τοιαύτην φυγὴν ἐργάσωνται, κεφαλικῶς κολάζονται· εἰ δὲ κατὰ ῥαθυμίαν τῶν τὴν φυλακὴν ἐμπεπιστευμένων ἐκφύγωσι, μετριώτερον τιμωροῦνται.

## ΠΕΡῚ ΧΡΉΣΕΩΣ ἽΠΠΟΥ.

Ὁ κεχρημένος ἵππῳ ἕως ὡρισμένου τόπου τινὸς, τὸν δὲ ὁρισθέντα τόπον ὑπερβιβάσας, τοῦ ὡς εἰκὸς γενομένης ἐπ' αὐ-

τῆς βλάβης ἢ τοῦ θανάτου, αὐτὸς τὸν λόγον ὑπέχων, τὸ ἀζήμιον τῷ ἵππῳ τοῦ κυρίου περιποιεῖται. ἐὰν μέντοι γε ἐντὸς τοῦ ὁρισθέντος τόπου βλάβη ἐπιγένηται τοῦ ἵππου ἢ θάνατος, ἀζήμιος ὁ κεχρημένος διατηρεῖται· εἰ μὴ ἄρα ἐξ ἀμελείας, ἢ καὶ ἐξ ἐπιβουλῆς, τὸ περὶ τὸν ἵππον ἐργάσεται πάθος. Εἴ τις φωραθῇ ἐργαστήριον ἐπαύξων, ἢ ἑτέραν πραγματείαν ὑπεισερχόμενος, καὶ ταύτην ἀποδεεστέραν τοῦ στοιχήματος ποιῶν καὶ ἐξωνούμενος, εἴτε ἕτερος εἰς ἑτέραν ἐπιστήμην εἰσερχόμενος ἐν ἀμφοτέραις ἐνεργεῖ, μὴ τὴν ἑτέραν καταλιμπάνων οἵαν ἂν βουληθῇ εἰδήσει τοῦ ἐπάρχου, ὁ τοιοῦτος τὴν διὰ δαρμοῦ καὶ κουρᾶς, καὶ θριάμβου, καὶ διηνεκοῦς ἐξορίας, ὑπομενέτω τιμωρίαν. Ὀφείλει ὁ λεγατάριος ἐπειδὰν ἐφεύρῃ τινὰς ἀποθησαυρίζοντας τὰ εἰσερχόμενα ἤδη εἰς καιρὸν ἐνδείας, καὶ καταπραγματευομένους τοῦ κοινοῦ, ἐμφανίζειν αὐτοὺς τῷ ἐπάρχῳ, ὡς ἂν τυπτομένων καὶ κουρευομένων, τὰ ἀποτεθέντα εἰς κομίζωνται. Ὁ ἐναποκλείσας ἀλλότρια θρέμματα καὶ τροφαῖς ἐνδιαφθείρων, ἢ ἄλλως πως ἀνελὼν, εἰς τὸ διπλάσιον καταδικάζεται. Κοινῶν βοῶν, ἵππων ἢ χοίρων, ἢ ἄλλων τινῶν θρεμμάτων συνελθόντων, εἰ μὲν ἐπιθέτως ἐπελθὼν τοῖς ἄλλοις ἀναιρεθῇ, ἀνεύθυνος ἐστὶν ὁ τοῦ ἀνελόντος δεσπότης· εἰ δὲ ἀνέλῃ ὁ ἐπελθὼν, ὑπεύθυνος γίνεται ὁ δεσπότης, καὶ ἢ ἐκδίδωσι τὸ ζῶον τῷ δεσπότῃ τοῦ ἀναιρεθέντος, ἢ τὸ ἀζήμιον αὐτῷ περιποιεῖται. Ὁ δόλον ποιῶν εἰς ἀσήμιον καὶ ἐξ αὐτοῦ ἐργαζόμενος καὶ πιπράσκων, χειροκοπείσθω.

ΠΕΡΙ ΤΟΥ ΤΙΝΕΣ ΑΤΙΜΟΥΝΤΑΙ. Τίτλ. ΙΕ

Ἐάν τις ὑβρείσῃ τὸν δικαστὴν, ἐγκαλούμενος ἀτιμοῦται.

Ἐάν τις κριθῇ παρά τινι, εἶτα καὶ ἐπ' ἄλλῳ κριθῆναι βουληθεὶς, τὸν πρότερον ὑβρείσῃ κριτὴν, καὶ αὐτὸς ἀτιμοῦται· οὐ γὰρ ἔχουσιν οἱ ἐγκαλούμενοι ἄδειαν τοὺς δικαστὰς ὑβρείζειν, παρ' οἷς ἐκρίθησαν πρότερον. Πάντες οἱ διὰ πόρον

εἰς ἀγῶνα καταπόντες, ἄτιμοί εἰσι, καὶ οἱ διὰ φιλοτιμίαν ἤδη σκηνῆς προϊόντες, ἀτιμοῦνται· ἀτιμοῦνται δὲ καὶ οἱ προαγωγοὶ, καὶ οἱ συκοφάνται, καὶ ἡ πρὸ τοῦ πενθίμου γαμηθεῖσα, καὶ ὁ ἐν εἰδήσει ἀγόμενος αὐτὴν, καὶ ἡ μνηστευομένη ἑτέρῳ, καὶ ἄλλῳ γαμηθεῖσα, καὶ ὁ καταδικασθεὶς διὰ στελιονάτον, καὶ ἡ πλασαμένη ἐγκυμονεῖν. Ἐπὶ τῇ τῆς ὕβρεως ἀγωγῇ, οὐ μόνος ὁ καταδικαζόμενος ἀτιμοῦται· ἀλλὰ καὶ ὁ διαλυόμενος ἀτιμοῦται, ὅταν ἤδη χρήμασι διαλύσηται. δοκεῖ γὰρ ἐκ τῆς συνειδήσεως ἑαυτοῦ ὡς ἁμαρτήσας παρασχεῖν τὰ χρήματα. Οἱ ἀναισχύντως τοκίζοντες, καὶ τόκους ἀπαιτοῦντες τόκων, ἀτιμοῦνται. Ὁ τὴν πίστιν ῥηγνὺς τῆς κοινωνίας, καὶ ἀτιμοῦται, καὶ εἰς τὸ ποιῆσαι τὸ ἱκανὸν τῷ κοινωνῷ συνελαύνεται. Οἱ τῇ εὐθηνίᾳ ἤδη βουλεύοντες, διὰ τοῦ ἀγοράζειν τὰ φορτία, ἢ ἀποτίθεσθαι, καὶ καιρὸν ἀφορίας ἐκδέχεσθαι· πραγματευταὶ μὲν ὄντες, εἴργονται τῆς πραγματείας, ἢ ἐξορίζονται. εἰ δὲ εὐτελεῖς, εἰς δημόσιον ἔργον καταδικάζονται

# ΝΟΜΟΙ ΓΕΩΡΓΙΚΟΙ ΚΑΤ' ἘΚΛΟΓῊΝ ΒΙΒΛΙΟΥ

τοῦ τῆς θείας λήξεως Ἰουστινιανοῦ βασιλέως

## ΠΕΡῚ ΓΕΩΡΓΙΚΩ͂Ν. Α.

Χρὴ τὸν γεωργὸν, ἐργαζόμενον τὸν ἴδιον ἀγρὸν, εἶναι δίκαιον, καὶ μὴ παρορίζειν αὔλακας τοῦ πλησίον· ἐὰν δέ τις παρορίζων παρορίσῃ, καὶ κολοβώσῃ μερίδα τὴν ἔγγιστα αὐτοῦ, εἰ μὲν ἐν νεατῷ τοῦτο πεποίηκεν, ἀπόλλυ τὴν νέωσιν αὐτοῦ· εἰ δὲ καὶ ἐν σπόρῳ ταύτην τὴν παρορίαν ἐποιήσατο, ἀπόλλυ καὶ τὸν σπόρον καὶ τὴν γεωργίαν αὐτοῦ, καὶ τὴν ἐπικαρπίαν ὁ παρορίσας γεωργός. Ἐάν τις γεωργὸς ἄνευ εἰδήσεως τοῦ κυρίου τῆς χώρας, εἰσελθὼν ἐν αὐτῇ, νεάσῃ ἢ σπείρῃ, μὴ λαμβανέτω, μήτε ὑπὲρ τῆς ἐργασίας αὐτοῦ, μήτε ὑπὲρ τῆς νεάσεως, μήτε ἐπικαρπίαν ὑπὲρ τοῦ σπόρου· ἀλλ' οὐδὲ τὸν κόκκον τὸν καταβληθέντα. Ἐὰν συμφωνήσωσι δύο γεωργοὶ μετ' ἀλλήλων καταλλάξαι χώρας πρὸ καιροῦ τοῦ σπεῖραι, καὶ διαστρέψῃ τὸ ἓν μέρος· εἰ μὲν ὁ κόκκος καταβλήθῃ, μὴ διαστρέφωσιν· εἰ δὲ ὁ διαστρέφων οὐκ ἐνέασεν, ὁ δὲ ἕτερος ἐνέασεν, νεάσει καὶ ὁ διαστρέφων καὶ διαστρεφέτω. Ἐὰν συμφωνήσωσι δύο γεωργοὶ μετ' ἀλλήλων καταλλάξαι χώρας, ἀναμεταξὺ δύο καὶ τριῶν μαρτύρων, καὶ εἰς τὸ διηνεκὲς συνεφώνησαν, μενέτω ἡ τούτων καταλλαγὴ, κυρία καὶ βεβαία καὶ ἀσάλευτος. Ἐὰν δύο γεωργοὶ καταλλάξωσι χώρας, εἴτε πρὸς καιρὸν, εἴτε εἰς τὸ διηνεκὲς, καὶ εὑρεθῇ τὸ ἓν μέρος κολοβὸν ὑπὲρ τὸ ἄλλο, καὶ οὐ συνεφώνησαν οὕτως, δότω ἀντοπίαν ὁ πλέον ἔχων, τῷ ὀλίγον ἔχοντι· εἰ δὲ οὕτω συνεφώνησαν, μὴ ἀντιδιδότωσαν.

Ἐὰν γεωργὸς ἔχων δίκην ἐν ἀγρῷ, εἰσέλθῃ παρὰ γνώ-

μὴν τοῦ σπείραντος, καὶ ἀνάρχως θερίσῃ· εἰ μὲν ἔχει δίκαιον, μηδὲν ἐχέτω ἐξ αὐτοῦ· εἰ δὲ καὶ εἰκῇ ἐδικολόγησε, διπλῆν ποσότητα παρεχέτω τὰς ἐπικαρπίας τὰς θερισθείσας. Ὁ κόπτων δημοτείαν ὕλην ἄνευ εἰδήσεως τοῦ κυρίου αὐτοῦ, εἶτα ἐργασάμενος καὶ σπείρας ταύτην, μηδὲν ἐχέτω ἐκ τῆς ἐπικαρπίας. Ἐὰν μερισμὸς γενόμενος, ἠδίκησε τινὰς ἐν σκάφαις, ἢ ἐν τόποις ἄδειαν ἐχέτωσαν ἀναλύειν τὴν γενομένην μέρισιν. Ἐὰν δύο χωρία μάχωνται περὶ ὅρου ἢ περὶ ἀγροῦ, τηρείτωσαν οἱ ἀκροαταί, καὶ τοῖς διακρατήσασιν ἔτη πλείονα, ἀποδιδότωσαν τὸ δικαίωμα. εἰ δὲ καὶ ὅρος ἀρχαῖος ἐστίν, ἡ ἀρχαία διακράτησις ἀπαρασάλευτος ἔστω. Ἐάν τις λαβὼν γῆν παρὰ ἀπορήσαντος γεωργοῦ, τοῦ σπεῖραι, καὶ στοιχήσας ἐστοίχησε τοῦ νεῶσαι μόνον καὶ μερίσασθαι, κρατείτωσαν τὰ σύμφωνα. εἰ δὲ συνεφώνησαν, καὶ σποραί, καὶ περὶ τούτου κρατείτωσαν τὰ σύμφωνα. Ἐὰν γεωργὸς ἐκλαβόμενος γεωργίαν ἀμπελῶνος ἢ χώρας, στοιχήσας μετὰ τοῦ κυρίου αὐτοῦ, καὶ ἀρραβῶνα λαβὼν ἀπάρξηται, καὶ διαστρέψας, ἀμελήσῃ τούτων, τὴν ἀξίαν τοῦ ἀγροῦ τιμὴν ἢ τοῦ ἀμπελῶνος, δότω, καὶ τὸν ἀγρὸν ἢ τὸν ἀμπελῶνα, ἐχέτω ὁ κύριος αὐτοῦ. Ἐὰν γεωργὸς εἰσελθὼν ἐργάσηται ἔνυλον χώραν δίχα γεωργοῦ, ἀλλὰ τελείας ἀποδώσει πάλιν ταύτην τῷ κυρίῳ αὐτοῦ.

Ἐὰν ἀπορήσας γεωργὸς πρὸς τὸ ἐργάζεσθαι τὸν ἴδιον ἀγρόν, καὶ ξενιτεύσῃ καὶ διαφύγῃ, οἱ τὰ δημόσια ἀπαιτούμενοι, τρυγείτωσαν τὸν ἀγρόν, μὴ ἔχοντος ἄδειαν ἐπανερχομένου τοῦ γεωργοῦ, ζημιοῦν ἢ ζητεῖν αὐτοὺς τὸ οἱονοῦν. Ἐὰν γεωργὸς ἀποδράσῃ ἐκ τοῦ ἰδίου ἀγροῦ, τελείτωσαν κατ' ἔτος ἐκτραόρδινα τοῦ δημοσίου λόγῳ, οἱ τρυγῶντες καὶ νεμόμενοι τὸν ἀγρόν. Οἱ τόκου χάριν λαβόντες ἀγρούς, εἰ πλέον τῶν ἑπτὰ χρόνων φανῶσι καρπιζόμενοι, ψηφισάτω ὁ ἀκροατὴς ἀπὸ τῆς ἑπταετίας καὶ τὴν ἄνω, καὶ πᾶσαν κατὰ τὴν ἡμίσειαν

εἰς

εἰσφορὰμ, στοιχησάτω εἰς τὸ κεφάλαιομ. Ἐὰμ διέρχηταί τις ἐν ὁδῷ καὶ εὕροι κεκλασμένομ κτῆνος καὶ σπλαγχνισθεὶς μηνύσῃ, ὁ δὲ κύριος τοῦ κτήνους ὑποψίαν ἔχῃ τὸμ μηνυτὴν πεπονηρεῦσθαι, ὀμοσάτω περὶ τῆς κλάσεως, περὶ δὲ τῆς ἀπωλείας, μηδὲμ ἐνεχέσθω. Μηδεὶς ἀλλότριομ γεωργὸμ ὑποδεχέσθω· εἰ δὲ ὑποδέξεται, ἀποδότω αὐτὸμ τῷ χωρίῳ πάλιμ ὅπερ κατέλιπεν. εἰ δὲ παραβῇ, δότω εἰς τὸ ταμεῖομ δώδεκα ἀργυρίου λίτρας, καὶ οὕτως ὑπὸ τοῦ ἄρχοντος ἀναγκαζόμενος ἀποδοῦναι τὸμ γεωργόμ, μετὰ πάσης ζημίας καὶ βλάβης καὶ τοῦ πεκουλίου αὐτοῦ. Ἐάν τις λάβῃ βοῦν πρὸς ἐργασίαν καὶ ἀποθάνῃ, τηρείτωσαν οἱ ἀκροαταί· καὶ εἰ μὲν ἐν ᾧ ἔργῳ ὑπελάβετο, ἐν ἐκείνῳ καὶ ἀπέθανεν, ἀζήμιος ἔστω· εἰ δὲ ἐπ' ἄλλῳ ἔργῳ ἀπέθανε, δώσει τὸμ βοῦν ὁλοκλήρως. Ἐάν τις βοῦν ἢ ἄλλο κτῆνος τὸ οἱονοῦν, ἀγνοοῦντος τοῦ κυρίου αὐτοῦ ἄρῃ, καὶ ἐν πραγματείᾳ ἀπέλθῃ, δότω τὸμ μισθὸμ αὐτοῦ ἐν διπλῇ ποσότητι· εἰ δὲ ἀποθάνοι ἐν τῇ ὁδῷ, δώσει δύο ἀντὶ ἑνὸς, ἔτι ἂμ εἴη.

## ΠΕΡΙ ΜΟΡΤΗΣ.

Ἐὰμ γεωργὸς μορτίτης θερίσας ἄνευ γνώμης τοῦ χωροδότου κουβαλήσῃ τὰ δράγματα αὐτοῦ, ὡς κλέπτης ἀλλοτριωθήσεται πάσης τῆς ἐπικαρπίας αὐτοῦ. Μορτίτου μέρος, δεμάτια θ´· χωροδότου μέρος, δεμάτιομ ἕν· ὁ δὲ ἐκτὸς τούτωμ μεριζόμενος, θεοκατάρατος.

## ΠΕΡΙ ΕΦΗΜΙΣΕΙΑΣ.

ʼὰμ γεωργὸς λαβὼμ χώραμ ἐφημισείας, καὶ τοῦ καιροῦ καλοῦντος μὴ νεώσῃ, ἀλλ' εἰς ὄψιμ ῥίψῃ τὸμ κόκκομ, μηδὲμ ἐκ τῆς ἐπικαρπίας λαμβανέτω, ὅτι ψευσάμενος, διεχλεύασε τὸμ τοῦ τόπου κύριομ. Ἐὰμ γεωργὸς λάβῃ παρά τινος γεωργοῦ ἀπορήσαντος τῇ ἡμισείᾳ ἀμπελῶνα πρὸς ἐργασίαν, καὶ οὐ κλαδεύσῃ κατὰ τὸ πρέπομ, ἤγουν σκάψῃ, χαρακώσῃ,

καὶ διασκαφήσῃ αὐτὸν, μηδὲν ἐκ τῆς ἡμικαρπίας λαμβανέτω.

Ἐὰν ὁ τὴν ἡμίσειαν τοῦ ἀπόρου λαβὼν ἀγροῦ γεωργὸς, πρὸ καιροῦ τῆς ἐργασίας, μεταμεληθεὶς μηνύσῃ τῷ κυρίῳ τοῦ ἀγροῦ ὡς ἀδυνατῶν· ὁ δὲ κύριος τοῦ ἀγροῦ ἀμελήσῃ, ἀζήμιος ἔστω ὁ ἡμισειαστής. Ἐὰν ὁ τὴν ἡμίσειαν λαβὼν τοῦ ἀγροῦ τοῦ ἀποδημήσαντος ἀπόρου γεωργοῦ, μεταμεληθεὶς οὐκ ἐργάσηται τὸν ἀγρὸν, ἐν διπλῇ ποσότητι τὰς ἡμικαρπίας διδότω.

ΠΕΡΙ ΚΛΟΠΗΣ. β.

Ἐὰν γεωργὸς κλέψῃ ἐν σκαφῇ, λίσγον ἢ δίκελλαν, καὶ μετὰ χρόνον διαγνωσθῇ, παρεχέτω ὑπὲρ αὐτοῦ ἡμερήσιον καρπὸν ἐν, ἤγουν φόλας δώδεκα, ὁμοίως καὶ ὁ κλέπτων ἐν καιρῷ δρέπανον, ἢ κλαδευτήριον, ἢ πέλεκυν ἐν καιρῷ ὑλοκοπίου, καὶ τὰ ὅμοια. Ἐάν τις κώδωνα ἐκ βοὸς ἢ προβάτου, ἢ ἐξ ἄλλου οἱουδήποτε ζώου κλέψῃ καὶ γνωσθῇ, ὡς κλέπτης μαστιγωθήτω· εἰ δὲ καὶ τὸ ζῶον ἀφανὲς γένηται, δότω αὐτὸ ὁ κλέπτης τοῦ κώδωνος. Ἐὰν εὑρεθῇ ὀπωροφύλαξ κλέπτων ἐν ᾧ φυλάττει τόπῳ, στερείσθω τοῦ μισθοῦ αὐτοῦ, καὶ σφοδρῶς τυπτέσθω. Ἐὰν εὑρεθῇ ποιμὴν ἀμέλγων τὰ πρόβατα λάθρα τοῦ κυρίου αὐτοῦ καὶ πιπράσκων, τυπτόμενος τοῦ μισθοῦ αὐτοῦ στερείσθω. Ἐὰν εὑρεθῇ τις κλέπτων ἀλλοτρίαν καλάμην, ἐν διπλῇ ποσότητι παρεχέτω αὐτήν. Ἐάν τις κλέψῃ βοῦν ἢ ὄνον, καὶ ἐλεγχθῇ, ἐν διπλῇ ποσότητι παρεχέτω αὐτὸν, μαστιγωθεὶς, ἀλλὰ καὶ τὴν ἐργασίαν αὐτοῦ πᾶσαν. Ἐάν τις κλέψαι θέλων βοῦν ἐξ ἀγέλης· ἀπελαθεῖσα δὲ ἡ ἀγέλη, θηριόβρωτος γένηται, τυφλούσθω. Ὁ τῷ καιρῷ τοῦ θέρους εἰσερχόμενος κλέπτειν δεμάτια ἢ ὄσπρεια, τοῦ χιτῶνος στερείσθω μαστιζόμενος. Οἱ ἐν ἀμπέλοις ἢ κήποις εἰσερχόμενοι βρώσεως ἕνεκα ὀπωρῶν, ἀθῷοι ἔστωσαν· εἰ δὲ κλοπῇ φωραθεῖεν, τυπτόμενοι τῶν χιτώνων στερείσθωσαν. Οἱ κλέπτον-

τες ἄροτρον, ἢ ὕννειον, ἢ ζυγοὺς, ζημιούσθωσαν κατὰ τὴν ποσότητα τῶν ἡμερῶν, ἀφ' ἧς τὸ κλέμμα ἐγένετο, καθ' ἑκάστην ἡμέραν ιβ' φόλας. Οἱ κλέπτοντες ἅμαξαν ἀλλοτρίαν ἢ καίοντες, ἐν διπλῇ ποσότητι ἀποδότωσαν αὐτήν. Οἱ ἐν χωρίοις εἰσερχόμενοι κλέπτοντες, τυπτόμενοι, ἀζήμιον ποιείτωσαν τὸν κλαπέντα· εἰ δὲ ἐν δευτέρῳ φανῶσι, τυπτόμενοι, ζημιούσθωσαν κατὰ τὸ διπλοῦν· εἰ δὲ ἐκ τρίτου τυφλούσθωσαν. Ὁ ἐν νυκτὶ κλέπτων ἐκ πίθου οἶνον ἢ ἔλαιον, τῇ τῶν κλεπτῶν ὑποβληθήσεται ποινῇ.

## ΠΕΡΙ ἈΓΕΛΑΡΙΩΝ.

Ἐὰν ὁ ἀγελάριος βοῦν παραλαβὼν ἀπολέσῃ, καὶ τῇ αὐτῇ ἡμέρᾳ ἐν ᾗ ὁ βοῦς ἀπώλετο, οὐ καταμηνύσῃ τῷ κυρίῳ αὐτοῦ, ὅτι τὸν βοῦν ἕως ὧδε ἑώρακα, τί δὲ γέγονεν οὐκ οἶδα, μὴ ἀζήμιος ἔστω· εἰ δὲ καταμηνύσει, ἔστω ἀζήμιος. Ἐὰν ἀγελάριος βοῦν ἕωθεν παρὰ τοῦ γεωργοῦ λάβῃ, καὶ συγκαταμίξῃ αὐτὸν μετὰ τῆς ἀγέλης, καὶ συμβῇ λυκωθῆναι τὸν βοῦν, δειξάτω τὸ πτῶμα τῷ κυρίῳ αὐτοῦ, καὶ αὐτὸς ἀνέγκλητος ἔστω. Ἐὰν ἀγελάριος βοῦν λαβὼν ἀπὸ γεωργοῦ ἕωθεν, καὶ χωρισθῇ ὁ βοῦς τοῦ πλήθους τῶν βοῶν, καὶ ἀπελθὼν εἰσέλθῃ ἐν χωραφίοις, ἢ εἰς ἀμπέλους, καὶ πταῖσιν ποιήσῃ, τὴν μὲν πταῖσιν διδότω πᾶσαν ὁ ἀγελάριος· τὸν δὲ μισθὸν αὐτοῦ, μὴ στερείσθω. Ἐὰν ἀγελάριος λάβῃ βοῦν παρὰ γεωργοῦ, καὶ ἀφανὴς γένηται ὁ βοῦς, ὀμοσάτω ἐν ὀνόματι κυρίου μὴ αὐτὸν πεπονηρεῦσθαι, καὶ ὅτι οὐκ ἐκοινώνησε τῇ ἀπωλείᾳ τοῦ βοός, καὶ ἀζήμιος ἔστω. Ἐὰν ἀγελάριος ἕωθεν λάβῃ βοῦν παρὰ γεωργοῦ μὴ κεκλασμένον, ἀλλ' ὑγιῆ, καὶ συμβῇ αὐτὸν κλασθῆναι ἢ τυφλωθῆναι, ὀμοσάτω μὴ αὐτὸν πεπονηρεῦσθαι καὶ ἀζήμιος ἔστω. Ἐὰν ἀγελάριος περὶ ἀπωλείας βοῶν, ἢ περὶ κλάσεως ἢ τυφλώσεως ὀμόσας, ὕστερον ἐλεγχθῇ περὶ δύο ἢ τριῶν μαρτύρων ἀξιοπίστων, ὅτι ἐπιώρκησε, γλωσσοκοπείσθω, καὶ

τὸ ἀζήμιον τοῦ βοὸς ποιούμενος. Ἐὰν ἀγελλάριος μετὰ τοῦ ἐν χερσὶν αὐτοῦ ξύλου, ἀπελάσῃ καὶ κλάσῃ βοῦν, ἢ ἐκτυφλώσῃ, οὐκ ἔστιν ἀθῷος, ἀλλὰ ζημιωθήτω· εἰ δὲ μετὰ λίθου κρούσει, ἀζήμιος ἔστω.

ΠΕΡῚ ΠΡΑΪ́ΔΑΣ ΖΩ͂ΩΝ, δʹ.

Ἐάν τις εὕρῃ βοῦν ἐν ἀμπελῶνι ἢ ἀγρῷ, ἢ ἑτέρῳ τόπῳ πραίδαν ποιοῦντα, καὶ οὐ παραδώσῃ αὐτὸν τῷ κυρίῳ αὐτοῦ, ὡς μέλλων αὐτὸν ἀπαιτεῖν τὴν γινομένην ἀπώλειαν, ἀλλὰ φονεύσῃ ἢ κλάσῃ, δότω βοῦν ἀντὶ βοὸς, ἢ ὄνον ἀντὶ ὄνου. Τὴν φορβάδα μου, βοσκομένην εὑρὼν ἐν τῷ σῷ τόπῳ, ἀπήλασας καὶ ἤμβλωσεν, ἐὰν ἔπληξας ἢ ἐδίωξας σφοδρῶς ἐλάσας, ἔχει τὴν ἀκουιλίαν. ὁ γὰρ ἀλλότριον ἄλογον βοσκόμενον ἐν τοῖς ἰδίοις εὑρὼν, οὔτε ἀπελαύνειν αὐτὸ, οὔτε σφοδρῶς ἐλαύνειν ὀφείλει, ἀλλ' ὡς ἴδιον· ἔχει γὰρ ἀγωγὴν κατὰ τοῦ δεσπότου, περὶ ὧν ὡς εἰκὸς ἐζημίωται. Ἐὰν εὑρεθῇ βοῦς πραιδεύων, καὶ οὐ παραδώσει αὐτὸν ὁ εὑρὼν τῷ κυρίῳ αὐτοῦ, ἀλλ' ὠτοκοπήσῃ ἢ τυφλώσῃ, ἢ οὐροκοπήσῃ, οὐκ αἴρῃ αὐτὸν ὁ κύριος αὐτοῦ, ἀλλὰ λάβῃ ἄλλον ἀντ' αὐτοῦ ὑγιῆ. Ἐάν τις εὕρῃ χοῖρον ἢ πρόβατον, ἢ κύνα ἐν πραίδᾳ, καὶ παραδώσῃ αὐτὸν ἐν πρώτοις εἶτα δευτερώσας καὶ παραγγείλας, τὸ τρίτον οὐροκοπήσῃ ἢ τοξεύσῃ, ἀζήμιος ἔστω. Ἐάν τις βοῦς εἰσελθὼν ἐν ἀμπελῶνι, ἢ ἐν κήπῳ, ἐμπέσῃ εἰς τὸν τοῦ ἀμπέλου διώρυγον, ἢ τοῦ κήπου τὸν φραγμὸν, καὶ ἀποθάνῃ, ἀζήμιος ἔστω ὁ τοῦ κήπου κύριος καὶ τοῦ ἀμπελῶνος. Ἐάν τις βοῦς ἢ ὄνος θέλων εἰσελθεῖν ἐν ἀμπελῶνι ἢ κήπῳ, ἐμπαρῇ ἐν τοῖς τοῦ φραγμοῦ πάλοις, ἀζήμιος ἔστω ὁ τοῦ ἀμπέλου καὶ τοῦ κήπου κύριος. Ἐάν τις ἐκ μιᾶς ἢ δευτέρας καταβολῆς πραίδας φονεύσῃ, καὶ οὐ παραδώσῃ τὸ ζῶον τῷ κυρίῳ αὐτοῦ, ἵνα λάβῃ τὴν πραίδαν, δότω ὅπερ ἐφόνευσεν. Ἐὰν γεωργὸς εὕρῃ βοῦν ἀλλότριον εἰς τὸν αὐτοῦ ἀμπελῶνα πραίδας

ποιοῦντα

ποιοῦντα, καὶ οὐ καταμηνύσῃ τῷ κυρίῳ αὐτοῦ, ἀλλὰ διώξαι βουληθεὶς, φονεύσῃ ἢ κλάσῃ, ἢ πάλῳ ἐμπαρῇ, ζημιωθήτω αὐτὸν ὁλόκληρον.

ΠΕΡΙ ΖΗΜΙΑΣ. ε.

Ἐάν τις θερίσας τὴν ἑαυτοῦ μερίδα, τῶν πλησίον αὐτοῦ μερίδων μὴ θερισθεισῶν, εἰσαγάγῃ τὰ κτήνη αὐτοῦ, καὶ βλάβην τοῖς πλησίον ἐργάσηται, τυπτέσθω μάστιγας λ', καὶ τὸ ἀζήμιον τῷ βλαβέντι ποιείτω. Ἐάν τις τρυγήσῃ τὸν ἴδιον ἀμπελῶνα, καὶ οὔσων ἀτρυγήτων μερίδων τινῶν, εἰσαγάγῃ τὰ ἴδια κτήνη, καὶ ζημίαν ἐργάσηται τοῖς πλησίον, τυπτέσθω μάστιγας λ'. καὶ τὸ ἀζήμιον τῷ βλαβέντι ποιείτω. Ὁ βόσκων ἐν ἀλλοτρίᾳ γῇ θρέμματα, τῷ ἀκουιλίῳ ἕπεται, τουτέστιν εἰς τὸ διπλοῦν. Οἱ μέτρα σίτου ἢ οἴνου κολοβὰ ἔχοντες, μὴ ἀκολουθοῦντες τῇ ἀρχαιοπαραδότῳ μετρήσει, τυπτέσθωσαν ἰσχυρῶς ὡς ἀσεβεῖς.

ΠΕΡΙ ΦΟΝΩΝ ΖΩΩΝ. ϛ.

Ἐάν τις κόπτων ἐν δρυμῶνι ξύλα, οὐ προσέξῃ καὶ ἀποκτήνῃ βοῦν ἢ ὄνον, ἢ ἄλλο τὸ οἱονοῦν, δότω ψυχὴν ἀντὶ ψυχῆς.

Ἐάν τις κόπτων δένδρον, ἄνωθεν ῥίψῃ ἀγνωσίᾳ τὸν πέλεκυν, καὶ φονεύσῃ ἀλλότριον κτῆνος, δότω αὐτό. Ἐάν τις ἀπέλθῃ πρὸς συγκομιδὴν τοῦ ἰδίου βοὸς, ἢ τοῦ ὄνου, καὶ διώκων τὸ ἴδιον συνδιώξῃ μετ' αὐτοῦ καὶ ἕτερα, καὶ οὐκ εὐθὺ συνάξῃ μετὰ τοῦ ἰδίου. ἀλλ' ἀπόλλυται ἢ λυκωθῇ, διδότω ἀντίψυχον τῷ κυρίῳ αὐτοῦ, βοῦν ἢ ὄνον. εἰ δὲ μηνύων ἐμήνυσε, καὶ τὸν τόπον ὑπέδειξεν, ἀπολογησάμενος ὡς ἀδυνάτως ἔχειν ἐπικρατεῖς αὐτοῦ γενέσθαι, ἀζήμιος ἔστω. Ἐάν τις εὑρὼν ἐν ὕλῃ βοῦν σφάξῃ αὐτὸν καὶ ἄρῃ τὰ κρέα, χειροκοπείσθω.

Ἐάν τις στήσῃ μάγγανον ἐν καιρῷ τῶν καρπῶν, καὶ ἐμπέσῃ ἐν αὐτῷ χοῖρος κυρίων καὶ ἀποθάνῃ, ἀζήμιος ἔστω ὁ τοῦ μαγγάνου κύριος.

περὶ

ΠΕΡΙ` ΜΑ´ΧΗΣ δύο ζώων, ἤγουν ὠθήσεως καὶ βλάβης.

Ἐὰν ζῶον, ἕτερον ζῶον ἐρεθίσῃ, καὶ παροξύνῃ καὶ παρακινήσῃ, καὶ ἐκ τούτου, ἢ ἓν ἀπὸ τῶν δύο ζώων τελευτήσῃ, ἢ γένηται βλάβη ἄλλῳ τινὶ, ἀπολέσαντι τυχὸν τι τῶν οἰκείων ἐκ τῆς τῶν ζώων μάχης, ὁ δεσπότης τοῦ ἐρεθίσαντος ζώου ἐνέχεται.

Ἐὰν ζῶον ἑτέρῳ ζώῳ πρὸς μάχην συμβάλλῃ· εἰ μὲν τὸ κατὰ τοῦ ἄλλου ὁρμῆσαν τελευτήσει, οὐδεμία ἀγωγὴ κινεῖται· εἰ δὲ τὸ ἕτερον ἀπολεσθῇ, κινεῖ ὁ δεσπότης αὐτοῦ κατὰ τοῦ ἔχοντος τὸ ζῶον, τὸ πρώτως εἰς τὴν μάχην ὁρμῆσαν. καὶ ἢ αὐτὸ τὸ πρώτως κινῆσαν ζῶον ἀντ᾽ ἐκείνου λαμβάνει, ἢ ἄλλοτρόπως ἐπὶ τῇ γενομένῃ ζημίᾳ, τὴν θεραπείαν ἀνάλογον δέχεται. Ἐὰν μαχομένων δύο κυνῶν, ὁ τοῦ ἑνὸς κύριος διώσῃ τὸ ἀλλότριον μετὰ ξίφους, ἢ μετὰ ῥάβδου, ἢ μετὰ λίθου, καὶ ἀπὸ τούτου συμβῇ αὐτῷ τὶ πάθος, τὸ ἀζήμιον τῷ κυρίῳ αὐτοῦ ποιείτω. Ἐάν τις ἔχων δυνατὴν κύνα κατεπαιρόμενον εἰς τοὺς συννομεῖς αὐτοῦ. καὶ ὑπαγγείσῃ τὸν κύνα τὸν δυνατὸν κατὰ τοῦ ἀσθενεστέρου, καὶ συμβῇ αὐτὸν κηλωθῆναι καὶ ἀποθανεῖν, τὸ ἀζήμιον τῷ κυρίῳ αὐτοῦ ποιείτω, λαμβάνων καὶ μάστιγας ιβ΄. Ἐάν τις κύνα ποιμαίνοντα φονεύσῃ, καὶ οὐχ ὁμολογήσῃ αὐτὸν, ἀλλὰ γένηται θηρίων ἔφοδος ἐν τῇ μάνδρᾳ· εἶτα διαγνωσθῇ ὁ φονεὺς τοῦ κυνὸς, πᾶσαν τὴν ἀπώλειαν τῆς ποίμνης, μετὰ καὶ τῆς τιμῆς τοῦ κυνὸς διδότω.

Ὁ διαφθείρων κύνα ποίμνης ἐπιτηδειότητι φαρμάκων, λαμβανέτω μάστιγας ρ΄. καὶ τὸ διπλάσιον τῆς τιμῆς τοῦ κυνὸς, διδότω τῷ κυρίῳ αὐτοῦ· εἰ δὲ καὶ ἀπώλεια τῆς ποίμνης γέγονε, πᾶσαν τὴν ζημίαν ὁ φονεύσας τὸν κύνα διδότω· ὡς αἴτιος διαφθορᾶς τῆς φυλακῆς τοῦ κυνὸς γεγονώς, μαρτυρείσθω δὲ ὁ κύων, καὶ εἰ θηριομάχος ἦν, καὶ ἔστω ὡς προείρημεν. εἰ δὲ ἁπλῶς καὶ ὡς ἔτυχεν, τυπτόμενος, τὴν τιμὴν καὶ μόνον τοῦ κυνὸς εἰς τὸ διπλοῦν διδότω. Ὁ διαφθείρων

ἀλλό-

ἀλλότριον κτῆνος, ἐξ οἱασδήποτε προφάσεως, διαγινωσκόμενος, τὸ ἀζήμιον ποιείτω τῷ κυρίῳ αὐτοῦ.

## ΠΕΡΙ ΔΕΝΔΡΩΝ. ζ.

Ἐὰν δένδρον ἀνατραφῇ ὑπό τινος ἐν τόπῳ ἀμερίστῳ, ὁ μετὰ ταῦτα μερισμοῦ γινομένου, ἔλαχεν εἰς μέρος ἄλλου, μὴ ἐχέτω τὴν ἐξουσίαν τοῦ δένδρου, ἀλλ᾽ ὁ ἀναθρέψας αὐτὸ ἐχέτω. εἰ δὲ καταβοᾷ ὁ τοῦ τόπου κύριος ὅτι ἀδικεῖται, ὑπὲρ τούτου ἕτερον δότω δένδρον τῷ ἀναθρεψαμένῳ, καὶ ἐχέτω αὐτό. Ἐὰν δένδρον ἵσταται ἐν μερίδι χωραφίου· εἰ μὲν ἐστὶ κῆπος σύνεγγυς καὶ ὑποσκιάζεται ὑπὸ τοῦ ἐκεῖσε δένδρου, κλονοκοπήσει αὐτὸ ὁ κύριος αὐτοῦ· εἰ δὲ οὐκ ἔστι κῆπος, μὴ κλονοκοπείσθω. Ἐάν τις ἀνάρχως δίκην ἔχων μετά τινος κόψῃ ἄμπελον, ἢ ἄλλο δένδρον τὸ οἱονοῦν, χειροκοπείσθω. Ὁ κόπτων ἀμπέλους ἐγκάρπους ἀλλοτρίας ἢ ἀνασπῶν, χειροκοπείσθω ζημιούμενος. Οἱ τέμνοντες τὰ δένδρα καὶ τὰς ἀμπέλους, ὡς λῃσταὶ κολάζονται. Οἱ δένδρα καὶ μάλιστα ἀμπέλους τέμνοντες, ὡς λῃσταὶ κολάζονται· δένδρον δὲ λέγεται, καὶ ἡ ἄμπελος καὶ ὁ κισσὸς, καὶ ὁ κάλαμος, καὶ ἡ ἰτέα· τὸ δὲ μήπω ῥιζωθὲν, οὐκ ἔστι δένδρον, οὐ δὲ οὗ τινος αἱ ῥίζαι ἐξηράνθησαν καὶ ἵσταται. εἰ δὲ ἐκριζωθὲν δύναται φυτευθῆναι, δένδρον λέγεται, καὶ αἱ ῥίζαι τῆς ἐλαίας, καὶ ἐὰν αὐτὰς τέμνωσιν· ἕκαστος αὐτῶν ἐνάγεται εἰς ὁλόκληρον.

Σημείωσαι δὲ ὅτι οὐ μόνον ὁ ἐν χερσὶ τέμνων οἰκείαις ἐνέχεται, ἀλλὰ καὶ ὁ ἐπιτρέπων τινὶ, εἰς τὸ διπλοῦν καταδικάζεται.

## ΠΕΡΙ ΕΜΠΡΗΣΜΟΥ. η.

Ἐάν τις πῦρ ἐμβάλῃ πρὸς ὕλην ἐν ἀγρῷ, καὶ συμβῇ διαδραμεῖν καὶ καῦσαι οἴκους, ἢ ἐγκάρπους ἀγροὺς, οὐ καταδικάζεται· ἐὰν οὐκ ἐν σφοδρῷ ἀνέμῳ τοῦτο πεποίηκεν. Ὁ

καίων ὄρος ἀλλότριον, ἢ κόπτων δένδρα ἀλλότρια, σφραγιζέσθω ἡ χεὶρ αὐτοῦ· καὶ ζημιούσθω τὴν βλάβην διπλῆν.

Ὁ καίων ἀμπέλου φραγμὸν, τυπτόμενος, σφραγιζέσθω ἡ χεὶρ αὐτοῦ· καὶ ζημιούσθω τὴν βλάβην διπλῆν. Οἱ ἐν ἀλωνίῳ ἐν θημωνίᾳ βάλλοντες πῦρ, πρὸς ἄμυναν ἐχθρῶν, πυρικαυστοὶ ἔστωσαν. οἱ ἐν οἴκῳ ἀχύρου ἢ χόρτου βάλλοντες πῦρ, χειροκοπείσθωσαν.

## ΠΕΡῚ ΔΟΎΛΩΝ. θ.

Ἐάν τις δοῦλος σφάξῃ βοῦν, ἢ κριὸν, ἢ χοῖρον ἐν ὕλῃ, ὁ τούτου κύριος ἀποδώσει αὐτόν. Ἐάν τις δοῦλος θέλων ἐν νυκτὶ κλέψαι, ἀπελάσῃ ἐκ τῆς μάνδρας τὰ θρέμματα καὶ θηριάλωτα γένωνται, φουρκιζέσθω ὡς φονεύς. Ἐὰν δοῦλός τινος πολλάκις κλέψῃ ἐν νυκτὶ, ἢ ἀπελασίαν ποιήσῃ ποιμνίου, ζημιωθήσεται ὁ κύριος αὐτοῦ τὰ ἀπολλόμενα, ὡς γινώσκων ὑπαίτιον τὸν δοῦλον· παραδιδοὺς πρὸς νομὴν κτηνῶν δούλῳ αὐτοῦ εἰδήσεως τοῦ κυρίου αὐτοῦ, καὶ διὰ τοῦτο ὁ δοῦλος πωλήσῃ αὐτὰ, ἢ ἄλλως πως ἀχρειώσῃ, ἀζήμιος ἔστω καὶ ὁ δοῦλος, καὶ ὁ κύριος αὐτοῦ. Ἐὰν συνειδήσει τοῦ κυρίου δοῦλος παραλάβῃ οἱωδήποτε τρόπῳ θρέμματα, καὶ καταφάγῃ καὶ ἀπολέσῃ, ὁ κύριος τοῦ δούλου ἀβλαβὲς ποιείτω τῷ κυρίῳ τῶν θρεμμάτων.

## ΠΕΡῚ ΚΑΙΝΟΤΟΜΙΩ͂Ν. ι.

Ἐὰν γεωργὸς οἰκοδομήσῃ οἶκον, ἢ φυτεύσῃ ἀμπελῶνα ἐν ἀλλοτρίῳ ἐδάφει ἀγρῷ, καὶ μετὰ χρόνον ἔλθῃ ὁ τοῦ τόπου κύριος, οὐκ ἔχει ἄδειαν τὸν οἶκον καταστρέφειν, ἢ ἐκριζοῦν τὸν ἀμπελῶνα, ἀλλὰ λαμβάνει ἀντιτιμίαν, ὅπου βούλεται. εἰ δὲ ἀνανεύων ἀνανεύσει ὁ εἰς τὰ ἀλλότρια κτίσας ἢ φυτεύσας, μὴ δοῦναι ἀντὶ αὐτοῦ τόπον, ἄδειαν ἔχειν τὸν τοῦ τόπου κύριον, τὰς ἀμπέλους ἐκρίζουν, καὶ τὸν οἶκον καταστρέφειν. Ὁ ἐν ἀλλοτρίῳ

λοτείῳ ἐδάφει κτίζων, ἢ φυτεύων, ἢ σπείρων, ἢ ἄλλο τι ἐργαζόμενος, ἐκπιπτέτω τῆς δεσποτείας· μὴ δὲ τὰ δαπανήματα λαμβανέτω. Ὁ εἰς ἀλλοτρίαν καταφυτεύων γῆν, ἀπολλεῖ σὺν ταύτῃ καὶ τὰ φυτά. Οἱ καταστῶντες οἴκους ἀλλοτρίους ἀνάρχως, ἢ ἀχρειοῦντες φραγμοὺς, ὡς τὰ ἴδια φράξοντες ἢ κτίζοντες, χειροκοπείσθωσαν. Ἐάν τις εἰς ἀλλοτρίῳ ἐδάφει οἰκείαις ὕλαις οἶκον κατασκευάσῃ, ὁ τοῦ ἐδάφους κύριος, καὶ τοῦ οἰκήματος ἔσται δεσπότης· διὰ τὸν κανόνα τὸν λέγοντα, εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις· ὥστε σὺν τῇ ὕλῃ, ἀπολαβεῖν καὶ τὴν δεσποτείαν δικαίως ὁ τοῦ ἐδάφους κύριος, μὴ δυναμένου τοῦ τὸν οἶκον κατασκευάσαντος, κινεῖν περὶ τῆς τῶν ὑλῶν διατιμήσεως.

## ΠΕΡΙ' ΜΥΛΩ'ΝΩΝ.

Ἐάν τις οἰκῶν ἐν χωρίῳ, διαγνώσηται τόπον, κοινὸν ὄντα, ἐπιτήδειον εἰς ἐργαστήριον μύλωνος, καὶ τοῦτον προκατάσχῃ, εἶτα μετὰ τὴν τοῦ ἐργαστηρίου τελείωσιν, ἡ τοῦ χωρίου κοινότης καταβοᾷ τοῦ τοῦ ἐργαστηρίου κυρίῳ· ὡς προκαταςχόντι τὸν κοινὸν τόπον ἴδιον, πᾶσαν τὴν ὀφειλομένην αὐτῷ δότωσαν ἔξοδον, καὶ ἔστωσαν κοινωνοὶ τῷ προεργασαμένῳ. Ἐὰν μεριςθείσης τῆς τοῦ χωρίου γῆς, εὕρῃ τις ἐν τῷ ἐπιλαχόντι αὐτῷ μέρει, τόπον ἐπιτήδειον εἰς ἐργαστήριον μύλωνος, καὶ ἐπιμελήσηται αὐτοῦ, οὐκ ἔχουσιν ἄδειαν οἱ τῶν ἄλλων μερίδων γεωργοὶ, λέγειν τι περὶ τοῦ τοιούτου μύλωνος. Ἐὰν δὲ ὕδωρ ἐρημοῖ χωράφια ἢ ἀμπελῶνας τὸ ἀπὸ τοῦ μύλωνος κατερχόμενον, οὐ ἀβλαβὲς τούτων ποιείτω ὁ κύριος τοῦ μύλωνος· εἰ δὲ μὴ, ἀργείτω. Ἐὰν οἱ δεσπόται τῶν χωραφίων, οὐκ ἐθέλωσιν ἵνα διέρχηται τὸ ὕδωρ δι' αὐτῶν, τούτου ἄδειαν ἐχέτωσαν.

τέλος τῶν γεωργικῶν.

## ΝΟΜΟΙ ΔΙΑΦΟΡΟΙ.

### ΠΕΡΙ ἈΞΙΩΜΑΤΩΝ. Τίτλ. α.

ἰλλουστρίους τινὲς λέγουσι τοὺς πρωτοσπαθαρίους, καὶ τοὺς ὑποβεβηκότας αὐτούς.

Ἀπὸ πατρικίων ἕως ἰλλουστρίων, εἰσὶν οἱ συγκλητικοί. Οἱ τῶν ἀπελευθέρων παῖδες, δύνανται γενέσθαι συγκλητικοί· αὐτοὶ γὰρ οἱ ἀπελεύθεροι μόνον κεκώλυνται. Ὁ πραίτωρ τοῦ δήμου, καὶ νυκτέπαρχος λέγεται, ὅτι διὰ τοὺς ἐμπρησμοὺς ἐπενοήθη· διαγινώσκει γὰρ περὶ τῶν τοιούτων ἐμπρησμοὺς, καὶ τοιχωρυχίας, καὶ κλοπὰς, καὶ ἁρπαγὰς, καὶ περὶ τῶν ὑποδεχομένων· τὰς δὲ τραχεῖς καὶ περιφανεῖς, διαπέμπει τῷ ἐπάρχῳ. Πραίτωρ δὲ λέγεται ὁ στρατηγός.

Ἀδιάφορόν ἐστιν, εἴτε ἐξ ἰδιωτῶν, εἴτε ἀπὸ πατρικίων, οἱ κοιαίστωρες γίνονται, ἀναγινώσκουσι δὲ τὰς βασιλέως βίβλους, καὶ βουλεύονται ἐν τῇ συγκλήτῳ, καὶ τὰς βασιλικὰς ἀναγνώσκουσι κελεύσεις, καὶ σχεδὸν πασῶν τῶν ἀρχῶν τῶν ἄλλων, αὕτη ἀρχαιοτέρα ἐστὶ, καὶ τινὲς μὲν αὐτῶν, εἰς ἐπαρχίας, ἐπιζητήσει πόρων ἐξῄεσαν. Οἱ δὲ διαλάμποντες, παρὰ τοῦ βασιλέως ἔμενον, οἱ αὐτοὶ καὶ κοιαίστωρες λέγονται, ἤτοι ἐρευνηταὶ, ὅτι ἐρευνᾷν διετάχθησαν· τοὺς ἐν βασιλίδι πάντας, καὶ τοὺς μὲν νεάζοντας, καὶ τὸ σῶμα ῥωμαλαίους, πρὸς ἐργασίαν παραδιδόναι μαγκίψι καὶ κηπωροῖς, καὶ ἑτέροις τοιούτοις, τοὺς δὲ ἀσθενεῖς καὶ γέροντας, ἐᾶν· τοὺς ἠδικημένους, τῶν δικαίων ἐπιμελεῖσθαι τυγχάνειν, βοηθεῖν τε, τοῖς βοηθείας χρήζουσι, καὶ τοὺς ξένους, ἀποπέμπειν εἰς τὰ ἴδια. Κουράτωρ τοῦ βασιλέως, ὁ νῦν λογοθέτης λέγεται. Οἱ πραιπόσιτοι τὴν αὐτὴν ἔχουσιν ἐξουσίαν, τοῖς γενομένοις ἐπάρχοις πραιτωρίων, ἢ πόλεων, ἢ στρατηλάταις, καὶ ἐν ταῖς προσκυνήσεσι ταῖς βασιλικαῖς γινομέναις, καὶ ἐν ταῖς ἰδιωτικαῖς ἑορταῖς, καὶ ἐν πάσαις ταῖς ἄλλαις τάξεσιν· ἵνα κατὰ τὸν αὐτὸν βαθμὸν ὃν ὁ χρόνος δίδωσι προτιμῶνται. Οἱ ἔπαρχοι, προ-

καθέζονται ὅλων, καὶ μετ' αὐτοὺς οἱ συγκλητικοί. Αἱ γαμεταὶ τῶν λαμπροτάτων, λαμπρόταταί εἰσιν· οὐ μὴν αἱ τῶν συγκλητικῶν θυγατέρες, καὶ ὅτι τῇ τοῦ πατρὸς ἀξίᾳ κέχρηται ἡ θυγάτηρ ἕως οὗ γαμηθῇ ἰδιώτῃ, καὶ αἱ διαζευχθεῖσαι τῶν λαμπροτάτων, λαμπρόταταί εἰσιν· εἰ μὴ γαμηθῶσιν ἑτέροις, ἥττονος ἀξίοις.

## ΠΕΡῚ ΚΑΝΌΝΩΝ ΔΙΑΦΟ΄ΡΩΝ. τιτλ. β.

Κανών ἐστι, σύντομος τοῦ πράγματος ἀφήγησις καὶ σύνδεσμος, ὅς τις ἅμα περὶ τι πταίσαι, οὐ σημαίνει τὸ προκείμενον· ὁ δὲ κανὼν ἐκ τῶν νόμων, οὐ μὴν ὁ νόμος ἐκ τῶν κανόνων λαμβάνεται. Εἰ ἐκεῖνος ἐμποδίσει μοι πληρωθῆναι τὴν αἵρεσιν, ᾧ τινι διαφέρει πληρωθῆναι αὐτήν, ἀλλὰ πεπληρωμένης ἐστίν· ὅπερ ἐστὶν, ἐπὶ ἐλευθεριῶν καὶ λεγάτων, καὶ ἐνστάσεων, καὶ ἐπερωτήσεων.

## ΠΕΡῚ ἈΠΑ΄ΤΗΣ.

Ὅτε περὶ ἀπάτης ζητεῖται, οὐ τὸ λυπραγμένον μὲν, τί οὐκ ἔσχεν ὁ ἐνάγων, ἀλλὰ τί διὰ τοῦ ἐναγομένου χεῖρον ἐπεπόνθει.

Ἡ ἀπάτη, καὶ ἀποτέλεσμα καὶ σκέμμα ἐπιζητεῖ.

Ὁ περὶ κοινῷ νομίμῳ χρώμενος, οὐκ ἀπατᾶται. Ὁ γινώσκων καὶ συναινῶν, οὐκ ἀπατᾶται. Τὸ ἐκ τῶν ἐμῶν κτηθὲν, ἐμόν ἐστιν· δι' εἰ ἐκ τοῦ ἐμοῦ εἴη, σάγιον ἐποίησας· τὸ δὲ ἐκ τῶν ἐμῶν ὠνηθὲν, οὐκ ἔστιν ἐμόν. Οὐδὲν ἀπαιτεῖσθαι δύναται, πρὸ τοῦ καιροῦ καθ' ὃν τῇ φύσει τῶν πραγμάτων δύναται καταβάλλεσθαι, οὐ δὲ πρὶν ἢ παρέλθῃ ὁ ἐπὶ τῇ καταβολῇ ὁρισθεὶς καιρός. Οὐ δοκεῖ ἄπαις τελευτᾶν, ὁ καταλιπὼν ἔγγυον γαμετήν. Ἡ ἀπειρία, τῇ ἀμελείᾳ συναριθμεῖται.

Ἡ ἀπουσία τοῦ διὰ πρᾶγμα δημόσιον ἀπόντος, οὔτε αὐτῷ, οὔτε ἄλλοις γίνεται ἐπιζήμιος. Τῷ τῆς ἀποκαταστάσεως ῥήματι, καὶ καρποὶ περιέχονται· κἂν μὴ τοῦτο ῥητῶς ἐκφωνηθῇ. Καὶ ἐν τῇ ἐπερωτήσει, καὶ ἐν τοῖς λοιποῖς συναλλάγ-

μασιν, εἰ μὴ δηλοῦται τὸ δόξαν τοῖς μέρεσιν, ἀκολουθοῦμεν τῷ ἔθει τοῦ κλίματος, ἐν ᾧ γέγονε τὸ συνάλλαγμα· εἰ δὲ καὶ αὐτὸ ἄδηλον εἴη, ἢ ἀδιάφορον, τότε τῷ ἧττονι ἀκολουθοῦμεν.

τὰ ἐξ ἀρχῆς βέβαια, ἐκ τῶν ἐπισυμβαινόντων οὐκ ἀκυροῦνται. οὐδὲν οὕτως ὑπεναντίον τῇ ἀγαθῇ πίστει, ὡς ἡ βία καὶ ὁ φόβος. ὁ τὴν ὠφέλειαν ἔχων τοῦ πράγματος, καὶ τὴν βλάβην αὐτοῦ ἔχει. ὅτε χωρὶς βλάβης, οὐκ ἐνδέχεται γενέσθαί τι, τὸ ἧττον ἄδικον ἐπιλεγόμεθα. τὰ ἐδικά, τῶν γενικῶν ἐπικρατέστερα. τὰ ἐδικά, τοῖς γενικοῖς ἕπονται πάντοτε. ὁ περὶ πράγματος ἀγωγὴν ἔχων εἰς ἀπαίτησιν, αὐτὸ τὸ πρᾶγμα δοκεῖ ἔχειν. τὸ ἐξ ἀρχῆς ἀνυπόστατον, οὐ βεβαιοῦται τῇ χρονίᾳ παραδρομῇ. ὁ τὴν ἑτέρου δεσποτείαν ὑπεισιὼν, ἢ τὸ δίκαιον, τοῖς αὐτοῦ δικαίοις ὀφείλει καὶ χρῆσθαι. ὁ εἰς ὁλόκληρον διαδεξάμενος, ἀντὶ κληρονόμου ἐστίν. ὁ διάδοχος ἐν πᾶσι τόπον ἐπέχει κληρονόμου. οὐδεὶς ἐκ τοῦ ἰδίου δόλου, κρείττονα ποιεῖ τὴν ἰδίαν αἵρεσιν. οὐδὲ ἐν ἐγκλήματι ὑπομένει, ὁ μὴ δυνάμενος κωλῦσαι, καὶ μὴ κωλύων. ἐγὼ δοκῶ λαμβάνειν, ὅπερ κατὰ κέλευσίν μου ἑτέρῳ δοθῇ. ἀχρήστως ἐπερωτῶμεν, τὸ μὴ δυνάμενον εἶναι τινός· οὐδεμία γὰρ ἐπὶ τούτῳ ἐνοχὴ συνίσταται. ὁ ἐξ οἰκείου ἁμαρτήματος ζημιούμενος, οὐ δοκεῖ ζημιοῦσθαι. οὐ δεῖ γίνεσθαι τινὰ πλουσιώτερον, ἐκ τῆς ἑτέρου ζημίας. τὸ ἔτι ἠρτημένον, οὐ δοκεῖ εἶναι. τὸ κατ᾽ ὀργὴν ἢ θερμότητα γινόμενον ἢ λεγόμενον, οὐκ ἔστι βέβαιον· εἰ μὴ τοῖς αὐτοῖς ἐπιμένει, οὔτε ἐνέχυρον, οὔτε παρακαταθήκη, οὔτε παράκλησις, οὔτε ἀγορασία, οὔτε μίσθωσις, ἐπὶ ἰδίῳ πράγματι συνίσταται. οἱ ἰδιῶται τὰ τῶν ἀρχόντων πράττειν οὐ δύνανται. πᾶς νομικὸς κανὼν σαθρός ἐστιν, εὐχερῶς γὰρ ἀνατρέπεται. οὐ δοκεῖ τις λαμβάνειν, ὅπερ ἄλλῳ ἀποκαταστῆσαι ἀναγκάζεται. ὁ

κοινωνὸς τοῦ κοινωνοῦ μου, οὐκ ἔστι μου κοινωνός. ΣΧΟ'Λ.

Πέτρος καὶ παῦλος συνεστήσαντο κοινωνίαν, ἐφ' ᾧ πραγματεύεσθαι, ὁ παῦλος μετὰ ταῦτα προσελάβετο τίτιον κοινωνόν, ἄνευ γνώμης τοῦ πέτρου· καὶ ζητεῖται εἰ ἄρα ὁ τίτιος, ἔσεται κοινωνὸς καὶ τοῦ πέτρου, καὶ φησὶν ὁ νομοθέτης οὐχί. ὁ κοινωνός γὰρ τοῦ κοινωνοῦ μου, οὐκ ἔστι μου κοινωνός, καὶ εἰκότως. ἐπειδὴ γὰρ κατὰ συναίνεσιν καὶ ἀρέσκειαν ἡ κοινωνία, καὶ συναλλάττεται, καὶ συνίσταται. πῶς ἂν εἴποιμεν ὅτι ὁ τίτιος ἔσται κοινωνὸς τοῦ πέτρου, τοῦ μὴ συναινέσαντος μήτε ἀρεσθέντος ἐπὶ τῇ τοῦ τιτίου προσλήψει; ὥστε οὖν ὁ τίτιος τοῦ παύλου μόνου ἔσεται κοινωνός, καὶ εἴ τι ἂν ἐκ τῆς κοινωνίας λάβῃ ὁ τίτιος, αὐτοῦ καὶ τοῦ προσλαβομένου αὐτὸν παύλου γίνεσθαι κοινόν. ὁ δὲ προσλαβόμενος αὐτὸν παῦλος, ἐνάγεται παρὰ τοῦ πέτρου, τῇ περὶ κοινωνίας ἀγωγῇ, καὶ ἀποσώζει αὐτὸ τῇ κοινωνίᾳ. καὶ εἰ πολλάκις ὁ τίτιος ὠφελήσει τὴν κοινωνίαν, καὶ αὐξήσει τὰ πράγματα διὰ τῆς οἰκείας σπουδῆς, εἶτα καὶ βλάψει, κινεῖ ὁ πέτρος κατὰ τοῦ παύλου, καὶ ἀναγκάζει αὐτὸν ἀποθεραπεῦσαι τὴν ἐπισυμβᾶσαν ζημίαν τῇ κοινωνίᾳ, αὐτοῦ περὶ τοῦ τιτίου, καὶ οὐ δύναται ὁ παῦλος ἀντεισάγειν καὶ ἀντιλογίζεσθαι τὴν ζημίαν, τῇ γινομένῃ ὠφελείᾳ παρὰ τοῦ τιτίου· πταῖσμα γὰρ ἐποίησε προσλαβόμενος τὸν τίτιον, ἄνευ γνώμης τοῦ πέτρου τοῦ ἐξ ἀρχῆς μετ' αὐτοῦ συστησαμένου τὴν κοινωνίαν. Ὁ μεμηνὼς καὶ ὁ ἄσωτος, οὐδεμίαν ἔχει βούλησιν. Τὰ νόμῳ συνιστώμενα, ἐναντίῳ νόμῳ ἀναιρεῖται. Τὰ παρὰ κανόνας νόμου λεχθέντα, οὐχ ἕλκεται εἰς παράδειγμα. Σχεδὸν ἐν πάσαις ταῖς ποιναλίαις ἀγωγαῖς, καὶ τῇ ἡλικίᾳ, καὶ τῇ ἀγνοίᾳ συντρέχομεν. Αἱ ποιναλίαι ἀγωγαὶ, προκαταρχθεῖσαι, παραπέμπονται κατὰ κληρονόμων. Ἐν τοῖς ἀμφιβόλοις, ὑπὲρ τῆς προικὸς ἀποκρινόμεθα. Τὰ προσώποις ὑπάρχοντα

ζοντα προνόμια, σβέννυται αὐτοῖς· τὰ δὲ προσόντα ταῖς ἀπογαῖς, πρὸς πάντας μεταφέρονται. τὰ τοῖς πράγμασι διδόμενα προνόμια, οὐ μὴν τοῖς προσώποις, καὶ εἰς κληρονόμους διαβαίνει. τὰ σπανίως συμβαίνοντα, οὐκ εὐχερῶς ἐν τοῖς πραττομένοις συναλλάγμασι καταλογιζόμεθα.

τῆς πρωτοτύπου αἰτίας μὴ εὑρεθείσης, οὐδὲ τὰ παρακολουθήματα ὡς ἐπίπαν εὑρέσκεται. Ἡ ἄδολος συμβουλὴ, οὐκ ἐνοχοποιεῖ, ἐπὶ δὲ τοῦ κατὰ δόλον, ἁρμόζει ὁ περὶ δόλου. Ὁ σιωπῶν οὐ δοκεῖ ὁμολογεῖν· ἀλλ᾽ ὅμως οὐκ ἀρνεῖται. τὰ διὰ τὸ ἀτελεῖν ἀμφισβήτησιν ἐντιθέμενα τοῖς συναλλάγμασιν, οὐκ ἀναιρεῖ τὸ κοινὸν νόμιμον. Δυσχερῶς μὲν ὅμως τοῦ δικαίου ἀπαιτοῦντος, ἐναλλάσσομεν τὴν συνήθειαν. τὸ δίκαιον ὅπερ ἔχει τις τοῦ τιμωρεῖσθαι, οὐκ ἐκπέλλεται ἄλλῳ. τὰ τυχηρὰ δὲ τῶν ἀλόγων, καὶ τὸν χωρὶς ῥαθυμίας θάνατον, καὶ τὴν φυγὴν τῶν μὴ φυλάττεσθαι εἰωθότων δούλων, καὶ τὴν ἁρπαγὴν, καὶ τὸν θόρυβον, καὶ τὸν ἐμπρησμὸν καὶ τὰ πλήθη τῶν ὑδάτων, καὶ τὴν ἐπέλευσιν τῶν λῃστῶν, οὐδεὶς ἐπιγινώσκει· ΣΧΟΛ.

Ἐν τῷ παρόντι κανόνι σκοπός ἐστι τῷ νομοθέτῃ, διδάξαι τινὰ φυσικῶς πρέποντα τοῖς συναλλάγμασι, καὶ ποταπὰ ἐπὶ τούτοις ζητεῖται, ἐπιμελῶς, καὶ ἐκ ποίων συμβαινόντων, κίνδυνος ἐπάγεται καὶ ζημία τῷ συναλλάξαντι, καὶ ἐπὶ ποίοις οὐκ ἀνέχεται. αὐτίκα γοῦν, τὸ περὶ τῆς καταθήκης τίθησι συνάλλαγμα· παρακαταθήκη δέ ἐστιν, ὅταν τινὶ δώσω πράγματά μου χάριν φυλακῆς, καὶ φησὶν ὅτι ὁ παραθηκάριος τότε τοῦ πράγματος ἀπολεσθέντος καταδικάζεται καὶ ζημιοῦται, ὅτε ποιήσει δόλον ἐπὶ τῇ παρακαταθήκῃ, ὡς ὅταν τῶν μὲν ἰδίων φροντίζῃ, καὶ ἐν ἀσφαλεῖ τόπῳ ταῦτα ἀποτίθησι καὶ παραφυλάττῃ· τῆς δὲ παρακαταθήκης ἀμελῶς καταφρονῇ, καὶ συμβῇ ταῦτα κλαπῆναι, ἢ κειμένης

ἐν

ἐν τόπῳ σήμερον ποιοῦσι φθαρῆναι, καταδικάζεται καὶ ἀποδίδωσι τὸ διάφορον. εἰ μή που καὶ περὶ τὴν τῶν ἰδίων πραγμάτων ἐπιμέλειαν, ἐκμελὴς καὶ νωθρὸς ὁ παραθηκάριος ἐτύγχανε, τότε γὰρ οὐκ εὐθύνεται· μεμφέσθω γὰρ ἑαυτὸν, ὁ τοιούτῳ ἀνθρώπῳ ἐκμελεῖ, καὶ ῥαθύμῳ, καὶ ἀφυλάκτῳ ἐμπιστεύσας τὰ ἴδια. οὕτως εὐθύνεται καὶ ὁ κατὰ παράκλησιν παρά τινος λαβὼν πράγματα· οἷον μέλλων ἀπελθεῖν εἴς τινα τόπον, παρεκάλεσα τινὰ τῶν φίλων μου, ὥστε μοι δοῦναι ἵππον, ὡς ἂν ἔφιππος ὢν, ἀπέλθω ταχύτερον, ὡς ἤδυσμαί τι παρεκβατικώτερόν σε διδάξω· ὅτι ἐπὶ τοῦ κατὰ παράκλησιν, κἂν χρόνος ὁρισθῇ, δύναται ὁ δοὺς μοι τὸ πρᾶγμα, καὶ πρὸ τοῦ διελθεῖν τὸν χρόνον, ἀναλαβεῖν αὐτό· οἷον κατὰ παράκλησιν ἐδόθη μοι παρὰ φίλου μου βιβλίον ἐφ᾽ ᾧ ἔχειν αὐτὸ καὶ ἀναγινώσκειν ἐπὶ χρόνῳ ἐνὶ ὁλοκλήρῳ, δύναται ὁ δοὺς μοι τὸ βιβλίον, καὶ πρὶν διελθεῖν τὸν χρόνον, κινῆσαι καὶ ἀναλαβεῖν αὐτό, καὶ ἔστιν ὡραῖον καὶ γλαφυρόν. ἐπὶ δὲ τοῦ εἰς χρῆσιν δοθέντος, εἰ χρόνος ὁρισθῇ, οὐκ ἔχει ἄδειαν ὁ δοὺς ἀναλαβεῖν τὸ χρησθὲν, πρὶν ἢ ὁ χρόνος πληρωθῇ. διδάξας οὖν ὁ νομοθέτης ὅτι ἐπὶ τῆς παρακαταθήκης καὶ τοῦ πρεκαρίου, ἤτοι τοῦ κατὰ παράκλησιν, ἀπὸ δόλου μόνου καταδικάζεται ὁ συναλλάξας, μεταβαίνει πρὸς τὸ συνάλλαγμα τῆς ἐντολῆς. ἐντολὴ δέ ἐστιν, ὅταν ἐντέλλομαι τινὶ, ἢ ἀγοράσαι μοι κτῆμα, ἢ δικασθῆναι προσώπῳ μου, ἢ ἕτερόν μου διοικῆσαι πρᾶγμα, καὶ τὸ συνάλλαγμα τοῦ κομοδάτου, ἤτοι τοῦ εἰς χρῆσιν διδομένου. χρῆσις δέ ἐστιν, ὅταν ζητήσω φίλον μου, δοῦναι μοι πρὸς χρῆσιν, ἢ δοῦλον αὐτοῦ, ἢ βιβλίον, ἢ σκεῦος χρυσοῦν, καὶ παράσχῃ μοι τοῦτο, καὶ τῆς πράσεως, καὶ τῆς μισθώσεως, καὶ τῆς δόσεως τῆς προικὸς, καὶ τοῦ ἐνεχύρου. ἐνέχυρον δὲ ἐνταῦθα νόει, τὸ διδόμενον ἐπὶ νομίσμασι δανειζομένοις τοῖς ἐπὶ φέτοις. ἐπιτροπὴ δέ

ὅθεν, ὅταν τελευτήσῃ πατὴρ ἔχων παῖδας ἀνήβους, καὶ μὴ καταλίπῃ τούτοις ἐπίτροπον· τότε γοῦν φροντίζουσιν οἱ δικασταί, καὶ εὑρόντες τινὰ ἐχέφρονα καὶ ἱκανὸν εἰς διοίκησιν πραγμάτων, διδόασι τοῦτον ἐπίτροπον τοῖς ἀνήβοις. καὶ τὸ συνάλλαγμα τῆς διοικήσεως τῶν ἀλλοτρίων πραγμάτων, ἤτοι τὸ λεγόμενον ῥωμαϊκῶς, νογίτιον, ἔστι δὲ τοιοῦτον. ἀποδημεῖ τις ἐν τοῖς ἔξω· κἀγὼ φίλος ὢν αὐτοῦ, παρενέβαλον ἐμαυτὸν εἰς τὸ διοικεῖν τὰ ἐκείνου πράγματα, μεταπεσὼν οὖν ὁ νομοθέτης, ἀπὸ τῆς διδασκαλίας τοῦ κατὰ παράκλησιν καὶ τῆς παρακαταθήκης, ἐπὶ τὰ λοιπὰ συναλλάγματα τὰ ἀπηριθμημένα ἀνωτέρω· δηλαδὴ τὴν ἐντολήν, τὴν χρῆσιν, τὴν πρᾶσιν, τὸ ἐνέχυρον, τὴν μίσθωσιν, τὸ ἀδιαίρετον κοινά, τὴν ἐπιτροπήν, ἢ τὴν τῶν ἀλλοτρίων πραγμάτων διοίκησιν. φησὶν ὅτι ἐπὶ τούτοις οὐ μόνον ἀπὸ δόλου εὐθύνεται καὶ καταδικάζεται ὁ συναλλάξας, ἀλλὰ καὶ ἀπὸ τοῦ ῥᾳθυμῆσαι· ἀπαιτεῖται γὰρ ἐπὶ τούτοις καὶ ἐπιμέλειαν, πλὴν οὐχ οἵαν ὁ ἐπιμελέστατος ἀνήρ, ἀλλὰ τοιαύτην, οἵαν καὶ ἐν τοῖς ἰδίοις, αὐτὸς ὁ ἐναγόμενος ἐπιδείκνυται, καὶ εἰκότως. ἐνταῦθα γάρ, καὶ ἀμφότεροι οἱ συναλλάξαντες ὠφελοῦνται· ἐπὶ δὲ τῆς παρακαταθήκης, μόνος ὁ δεσπότης τοῦ πράγματος ἔχει τὴν ὠφέλειαν, οὐ μὴν καὶ ὁ παραθηκάριος, ἤγουν ὁ φύλαξ, ἐκεῖνος γὰρ οὐδὲ ὠφελεῖται, εἰ μὴ καὶ μᾶλλον βαρύνεται, φροντίδος ἀναδεξάμενος βάρος· τὴν φυλακὴν δηλαδὴ τοῦ ἀλλοτρίου πράγματος. εἰπὼν οὖν ὅτι ἐπὶ τούτοις καὶ ῥᾳθυμία ἀπαιτεῖται, ἀλλὰ καὶ διλιγεντία, ἤτοι μεγάλη ἐπιμέλεια, καὶ οἵαν ὁ ἐπιμελέστατος ἐπιδείκνυται, ἐπιδιορθούμενος ἑαυτόν, ἐπάγει ἐν τούτοις δὲ καὶ ἐπιμέλειαν. ποῖα δὲ εἰσὶ τὰ συναλλάγματα ἐφ' οἷς ὁ συναλλάξας ἀπαιτεῖται μὴ δόλον ποιῆσαι, μήτε ῥᾳθυμῆσαι, ἀλλὰ μᾶλλον καὶ ἐπιμέλειαν ἐνδείξασθαι, οἵαν ὁ ἐπιμελέστατος

τος ἀνὴρ, αὐτός ἐστι παραθήκης καὶ ἀποδιέλθῃ ἀπὸ τῶν λοιπῶν, τὸν δόλον καὶ τὴν ῥᾳθυμίαν· ἡ ἐντολὴ, καὶ τὸ κομμοδάτον, καὶ ἡ ἐπιτροπὴ, ἐπὶ τούτων τῶν τριῶν, καὶ μεγάλην ἐπιμέλειαν ἀπαιτεῖται. ὁ γὰρ ἐπίτροπος μὴ ἐνδειξάμενος περὶ τὰ τοῦ ἀνήβου πράγματα ἐπιμέλειαν, οἵαν ὁ ἐπιμελὴς οἰκοδεσπότης περὶ τὰ ἴδια ἐπιδείκνυται, καταδικάζεται. οὕτως εὐθύνεται καὶ ὁ ἐνταλθεὶς διοικῆσαι ἀλλότρια πράγματα, καὶ οὗτος γὰρ ἐὰν ἐνταλθῇ ἢ δικασθῆναι ἢ ἐξωνήσασθαι πρᾶγμα οἱονδήποτε προσώπῳ μου, καὶ οὐκ ἐνδείξηται μεγάλην ἐπιμέλειαν, καταδικάζεταί μοι εἰς τὸ διάφορον. ὡσαύτως καὶ ὁ λαβὼν κατὰ χρῆσιν πρᾶγμα ἐμὸν, τὴν αὐτὴν ἀπαιτεῖται ἐπιμέλειαν. ἡ δὲ κοινωνία οὐκ ἀπαιτεῖ μεγάλην ἐπιμέλειαν, ἀλλὰ μέσην· τουτέστιν οἵαν καὶ περὶ τὰ ἴδια ἐνδείκνυται ὁ κοινωνός, τὴν αὐτὴν ἀπαιτεῖ καὶ ἡ πρᾶσις, καὶ ἡ μίσθωσις, καὶ ἡ προὶξ, καὶ τὸ νεγότιον, καὶ τὰ παραπλήσια, ἤτοι τῶν ἀλλοτρίων πραγμάτων διοίκησιν. ἀλλὰ ταῦτα μὲν κατὰ φύσιν ἐπακολουθείτω τοῖς εἰρημένοις συναλλάγμασι, κρατεῖ καὶ ἐνεργεῖ ὅτε μὴ ἐξ ἀρχῆς, ὅτε ἔμελλον οἱ συμβάλλοντες συναλλάξαι, συνεφωνήθη ἕτερόν τι, ἢ αὔξον, ἢ ἐλαττοῦν τὴν φύσιν τοῦ συναλλάγματος· τότε γὰρ, τὸ συγχρόνως τῇ συστάσει τοῦ συναλλάγματος συμφωνηθὲν, ἀμείβει τὴν φύσιν τοῦ συναλλάγματος καὶ μεταποιεῖ· οἷον, τί ἐστι τὸ λεγόμενον· εἴπομεν, ὡς ἐπὶ τοῦ κατὰ παράκλησιν, ὁ συναλλάξας τότε καταδικάζεται, ὅτε ποιήσει δόλον, ὡσαύτως καὶ ἐπὶ τῆς παρακαταθήκης. τοιαύτη γάρ ἐστιν ἡ φύσις τῶν συναλλαγμάτων τούτων, καὶ εἰ μηδὲν ἄλλο συμφωνήσωσιν οἱ συναλλάσσοντες καθ' ὃν καιρὸν συναλλάσσουσι, συνιστῶσι τὰ συναλλάγματα τοιαῦτα, καὶ τοιάνδε φύσιν ἔχοντα. εἰ δ' ἴσως ὅτε τὸ συνάλλαγμα συναλλάσσεται καὶ μορφοῦται συνίσταται παρευθὺ, καὶ πρὶν ἀπαρτισθῇ, συμφωνήσει ὁ

τὴν παρακαταθήκην διδοὺς, ἢ τὸ κατὰ παράκλησιν ἔχειν ἔνοχον τὸν παραθηκάριον, καὶ ἀπὸ τοῦ μὴ ἐνδείξασθαι περὶ τὴν παρακαταθήκην, ἢ τὸ κατὰ παράκλησιν δοθὲν, μέσην ἐπιμέλειαν, ἢ καὶ ἀπὸ τῶν τυχηρῶν· εἰπὼν ὅτι καὶ καυθῇ, κἂν παρὰ λῃστῶν ἀφαιρεθῇ, ἵνα παρέχῃ τὴν τούτου τιμὴν, κρατεῖ τὸ συμφωνηθὲν καὶ αὔξει τὴν φύσιν τοῦ συναλλάγματος. ἐν ὅσῳ γὰρ ἀπαιτεῖται ὁ συναλλάξας μόνον τὸ μὴ ποιῆσαι δόλον, κατέχεται καὶ ἀπὸ τῶν τυχηρῶν, καὶ εἰ ἀνάπαλιν ἐξ ἀρχῆς συμφωνηθῆναι τὸν κατὰ παράκλησιν ἢ κατὰ παρακαταθήκην δεξάμενον πρᾶγμα, μὴ ἐνέχεσθαι τῇ περὶ παθῆ ἀγωγῇ, ἢ τῇ περὶ παρακλήσεως ἔρρωται· καὶ δόλον ποιήσῃ ἐπὶ τῷ πράγματι ὁ ὑποδεξάμενος αὐτὸ, καὶ ἀπόληται, οὐκ ἐνέχεται, ὅτι ἀπαιτεῖται τὸ τίμημα· διὰ τοῦ συγχρόνου συμφώνου, τοῦ λέγοντος οὐ μὴ κινηθῇ ἀπὸ τοῦ συναλλάγματος ἀγωγὴ, ἠλαττώθη ἡ φύσις τοῦ συναλλάγματος, καὶ ἐν ὅσῳ τὸν συναλλάξαντα καταδικάζειν, ἐκ τοῦ ἁμαρτηθέντος παρ' αὐτοῦ δόλου, διατηρεῖ τοῦτον ἀζήμιον, καὶ δόλου πλημμεληθέντος. ὁ γὰρ εἰπὼν, οὐ μὴ κινήσω κατὰ σοῦ τὴν περὶ παρακαταθήκης ἀγωγὴν, ἢ τὴν περὶ τοῦ κατὰ παράκλησιν, οὐδὲν ἄλλο δοκεῖ λέγειν, εἰ μὴ ὅτι καὶ δόλον ποιήσῃς, οὐ μὴ καταδικασθῇς, οὐ μόνον δὲ ἐπὶ τῶν δύο τούτων συναλλαγμάτων τῆς τε παρακαταθήκης, καὶ τοῦ κατὰ παράκλησιν, τῶν καλῇ πίστει συναλλαγμάτων τὰ ἐξ ἀρχῆς συμφωνούμενα, ἀμείβουσι τὰς φύσεις τῶν συναλλαγμάτων καὶ αὔξουσι καὶ μειοῦσιν, ἀλλὰ καὶ ἐπὶ τῶν λοιπῶν τῶν ἀνωτέρω λεχθέντων, ὄντων καὶ αὐτῶν ἀπὸ τῶν καλῇ πίστει συναλλαγμάτων· δηλαδὴ τοῦ κομοδάτου, ἤτοι τοῦ κατὰ χρῆσιν, τῆς ἐντολῆς, τῆς κοινωνίας, τοῦ ἐνεχύρου, καὶ τῆς μισθώσεως. καὶ ἐπὶ τούτων γὰρ εἰ ἐξ ἀρχῆς συμφωνηθῇ ῥητῶς, καὶ ἀπὸ τῶν τυχηρῶν· οἷον τοῦ ἐμπρησμοῦ, τοῦ σεισμοῦ, καταδικάζεσθαι τὸν συναλλάξαντα, κρατεῖ τὸ

σύμφω-

σύμφωνον, καὶ αὔξεται ἡ φύσις τοῦ συναλλάγματος. ἢ ὥσπερ καὶ τὸ ἀνάπαλιν, εἰ συμφωνηθῇ, ὑπὲρ δόλου μόνου ἐνέχεσθαι, ὑβρίζεται, καὶ ἐλαττοῦται ἡ φύσις τοῦ συναλλάγματος. ἐν ὅσῳ γὰρ ἀπαιτεῖται ἐπὶ τοῦ κομμοδάτου καὶ τῆς ἐντολῆς, καὶ ἄκρα ἐπιμέλεια, ἀπαιτεῖται δόλος μόνος· καὶ ἐν ὅσῳ ἀπαιτεῖται ὑπὲρ τῆς κοινωνίας, καὶ ὑπὲρ τῆς μισθώσεως, καὶ μέση ἐπιμέλεια, ἀπαιτεῖται δόλος μόνος. πότε δὲ ἀμείβεται ἡ φύσις τῶν καλῆς πίστεως συναλλαγμάτων, καὶ διὰ τῶν συμφωνουμένων αὔξεται καὶ μειοῦται, ὅτε τὸ συμφωνούμενον, συγχρόνως τῇ συστάσει τῶν συναλλαγμάτων συμφωνηθῇ, τουτέστιν, ὅταν ἄρχηται γίνεσθαι, καὶ τυποῦσθαι τὸ συνάλλαγμα. εἰ γὰρ φθάσει συστῆναι, καὶ ἀπαρτισθῆναι τὸ συνάλλαγμα λόγου χάριν, ἡ παρακαταθήκης, καὶ μετὰ τὴν σύστασιν, καὶ τὸν ἀπαρτισμὸν, συμφωνηθῇ τὸν παραθηκάριον, καὶ ὑπὲρ τῶν τυχηρῶν ἐνέχεσθαι, οὐκ ἀμείβεται ἡ φύσις τοῦ συναλλάγματος, οὐδὲ μετατυποῦται ἡ ἀρχή, καὶ εἰκότως· ἔφθασε γὰρ ἐκεῖνο ἤδη συστῆναι καὶ ἀπαρτισθῆναι κατὰ τὴν οἰκείαν φύσιν, καὶ οὐκ ἔστι δυνατὸν ἐκ τότε τὸ συμφωνούμενον, μετὰ τὸν χρόνον καὶ μετὰ τὸν ἀπαρτισμὸν τοῦ συναλλάγματος, ἐνωθῆναι τῇ φύσει τοῦ συναλλάγματος, καὶ συμμορφωθῆναι καὶ ἀμεῖψαι τὴν φύσιν αὐτοῦ, καὶ ὡς μὴ δυνατοῦ τούτου ὄντος, μένει ψιλὸν σύμφωνον τὸ μετὰ χρόνον καὶ μετὰ τὴν σύστασιν τοῦ συναλλάγματος, συμφωνηθὲν ἐπὶ αὐξήσει τοῦ συναλλάγματος παραγραφὴν μὴ ἐνοῦσαν χαριζομένη. τὸ γὰρ ψιλὸν σύμφωνον, ἀγωγὴν οὐ τίκτει, οὔτε ἀμείβει τὴν φύσιν τοῦ συναλλάγματος καὶ συγχρόνως συμφωνούμενον, δίδωσι δὲ παραγραφὴν μὴ ἐνοῦσαν, ἀπαρτιζόμενον. διδάξας οὖν ὁ νομοθέτης τίνα εἰσὶ τὰ κατὰ φύσιν τοῖς συναλλάγμασιν ἑπόμενα, καὶ ὅτι τὰ συγχρόνως συμφωνούμενα ἀμείβουσι τὴν φύσιν τοῦ συναλλάγματος, καὶ ἢ αὔξουσιν, ἢ μειοῦσιν, εὐθὺς ἐπιφέρει, ὅτι ἐπὶ τῆς παρακαταθή-

κης, καὶ συγχρόνως τουτέστιν ὅταν ἀρχῇ συνίσταται τὸ τοιοῦτον συνάλλαγμα, συμφωνηθῇ μὴ ἀπαιτεῖσθαι δόλον, τουτέστι μὴ ἐνέχεσθαι τὸν παραθηκάριον καὶ δόλον ὑπεύθυνον, οὐκ ἔρρωται τὸ τοιοῦτον σύμφωνον, οὐδὲ τὴν φύσιν τοῦ συναλλάγματος ἀμείβει· οὐκ ἔρρωται δὲ, διὰ τὸ αἰσχρὸν τυγχάνειν, καὶ ἐναντίον τοῖς ἀγαθοῖς τρόποις, καὶ διεγεῖρον πρὸς ἀδικίαν τοὺς συναλλάξαντα, καὶ τῶν νόμων καταφρόνησιν. ἀλλ' ἴσως ἀντιθήσει τις, ὅτι φαίνεται ὁ νομοθέτης, αὐτὸς ἑαυτῷ ἐναντιούμενος· ἐπεὶ γὰρ ἀνωτέρω, ὅτι δυνάμεθα ἐν τῇ ἀρχῇ τῶν συναλλαγμάτων, συμφωνίας ποιεῖν, αὐξανούσας καὶ μειούσας τὴν φύσιν τῶν συναλλαγμάτων, καὶ εἰ τοῦτο ὄντως ἔχειν δεῖ, πάντως περὶ τοῦ τῆς παρακαταθήκης συναλλάγματος, εἰ εἴπομεν συμφωνηθῆναι τὸ τὴν φύσιν τοῦ συναλλάγματος ἐλαττοῦν, οὐδὲν ἄλλο πάντως ὀφείλομεν ἐπειπεῖν εἶναι τὸ συμφωνούμενον, ἢ τὸ μὴ ἐνέχεσθαι ἀπὸ δόλου τὸν παραθηκάριον, καὶ τοῦτο διδόμενον, φανερῶς αὐτὸς ἑαυτῷ ἐναντιοῦται ὁ νομοθέτης. ἀλλ' οὐκ ἔστι τοῦτο οὐκ ἔστιν, οὐδ' ἐναντιοῦται τοῖς ἀνωτέρω ῥηθεῖσι τὸ ἐπαγόμενον, καὶ ὅπως μάνθανε. περὶ τοῦ τῆς παρακαταθήκης συναλλάγματος, εἰ μὲν εὐθὺς ὅτε συνίσταται τὸ συνάλλαγμα συμφωνηθῇ μὴ ἐνέχεσθαι τὸν δεχόμενον εἰς φυλακὴν τὸ πρᾶγμα ἀπὸ δόλου, οὐκ ἔρρωται τὸ σύμφωνον· εἰ δὲ συμφωνηθῇ μὴ κινεῖσθαι κατ' αὐτοῦ τὴν περὶ παρακαταθήκης ἀγωγὴν, ἔρρωται· καὶ ἰσοδυναμεῖ τῷ πρώτῳ. ὁ γὰρ εἰπὼν, ὅτι οὐ κινῶ περὶ δόλου, ἔδοξε λέγειν, ὅτι οὐ κινῶ τὴν περὶ παρακαταθήκης ἀγωγήν· καὶ ὁ εἰπὼν, ὅτι οὐ κινῶ τὴν περὶ παρακαταθήκης, ἔδοξε λέγειν, ὅτι οὐ κινῶ περὶ δόλου· ἡ γὰρ περὶ παρακαταθήκης ἀγωγὴ, ἀπὸ δόλου κινεῖται. ἀλλ' ἐπεὶ διάφορά εἰσι τὰ ῥήματα· καὶ τὰ μὲν, ἰδικῶς ἐκφωνεῖ τὸν δόλον· τὰ δὲ, οὐχ οὕτως. τὸ μὲν εἰπεῖν, ὅτι οὐ κινῶ τὴν περὶ παρακαταθήκης ἀ-

τογὴν, λέγομεν ὑβρίζεσθαι, καὶ δόλος πλημμελεῖσθαι. τὸ δὲ
ἐπεὶ οὐκ ἀπαιτεῖσαι δόλον, οὐχ ὑβρίζεται, διὰ τὸν κανόνα τὸν
λέγοντα, τὰ συμφωνούμενα βλάπτει· τὰ μὴ συμφωνούμενα οὐ
βλάπτει. διδάξας οὖν ὁ νομοθέτης, περὶ τῶν περὶ φύσι-
ως συγχρόνας τῇ συστάσει τῶν συναλλαγμάτων συμφωνουμέ-
νων, ἐπιφέρει ὅτι εἰ μή τι περὶ φύσιας συμφωνηθῇ, τὰ τυχη-
ρὰ οὐκ ἐπιγινώσκουσιν οἱ συναλλάξαντες, οὐδὲ καταδικά-
ζονται ἀπὸ τούτων, ὡς ὑπερβαίνοντες καὶ τὴν ἄκραν ἐπιμέ-
λειαν. τυχηρὸν δέ ἐστιν, ὅταν ὁ δοθείς μοι δοῦλος εἰς χρῆ-
σιν χωρὶς ῥαθυμίας ἐμῆς, φυσικῶς τελευτήσῃ, ἢ πολλάκις φύ-
γῃ εἰ μή που ἦν ἀπὸ τῶν εἰωθότων φυλάττεσθαι, τότε γὰρ κα-
ταδικάζεται ὁ κατὰ χρῆσιν τοῦτον λαβὼν, ὡς μὴ φυλάξας
αὐτὸν καὶ ἀσφαλισάμενος, ἵνα μὴ φύγῃ. καὶ ἡ ἁρπαγὴ, καὶ
ὁ θόρυβος. τί γάρ; εἰ τὸν δοθέντα μοι δοῦλον εἰς χρῆσιν ἔχοντος
μεθ' ἑαυτοῦ, καὶ ἀπερχομένου μου εἰς δουλείαν τινὰ, ἐξαίφνης
ἐπελθόντες ἔξωθεν τινὲς ἥρπασαν· ἢ θορύβου γινομένου κατὰ τὴν
ὁδὸν, καὶ τοῦ λαοῦ ταραχθέντος, ἀφείλοντο τινὲς αὐτόν· ἢ ἐμ-
πρησμοῦ συμβάντος ἐν τῇ οἰκίᾳ μου, ἀπώλεσα μετὰ καὶ τῶν
ἄλλων μου πραγμάτων, καὶ αὐτὸν τὸν δοῦλον, ἢ λῃσταί τινες ἀ-
θρόον ἀναφανέντες, διάρπαγμα, τὰ λοιπά μου ἐποίησαν πρά-
γματα καὶ τὸν δοῦλον, ἢ πλήθους ὑδάτων συρρευσάντος, ἀπε-
πνίγη ὁ δοῦλος, ἐκ τούτων οὖν τῶν τυχηρῶν, ὁ κατὰ χρῆσιν λαβὼν
πρᾶγμα, οὐ κινδυνεύει, οὐδὲ ζημιοῦται τοῦ πράγματος τυχηρῶς
φθαρέντος· εἰ μήπου διατετιμημένον ἔλαβεν αὐτό, ἀεὶ γὰρ ἡ
διατίμησις, αὔξει τὴν φύσιν τοῦ συναλλάγματος, καὶ εἰ φυσικῶς
ἀπαιτεῖ τὸ συνάλλαγμα ἄκραν ἐπιμέλειαν, προστίθησιν αὐτῷ
καὶ τὸν κίνδυνον τῶν τυχηρῶν. Ὁ δυνάμενος θέ-
λειν, δύναται καὶ μὴ θέλειν. ΣΧΟΛ. οἷον, ἐὰν
γραφῇ τις τέλειος καὶ αὐτεξούσιος παρά τινος κληρονόμος, οὗ-
τος, ἐπειδὴ δύναται θέλειν, λαμβάνειν καὶ καταδέχεσθαι τῆς

κληρο-

κληρονομίαν, δύναται καὶ μὴ θέλειν ταύτην, καὶ παραιτεῖσθαι· ὁ δέ γε ἐλάττων ζ΄ ἐτῶν, καὶ ἁπλῶς ὁ ἄνηβος, χωρὶς αὐθεντίας τοῦ ἐπιτρόπου, ἐὰν γραφῇ κληρονόμος παρά τινος, ἐπειδὴ καὶ θέλῃ οὐ δύναται καταδέχεσθαι τὴν κληρονομίαν, εἰ μὴ μετὰ αὐθεντίας τοῦ ἐπιτρόπου, ἐπιζήμιος ἢ ἐπικερδὴς αὐτῷ φανείη, λοιπὸν οὐδὲ παραιτεῖσθαι ταύτην δύναται, ἀλλὰ καὶ παραιτήσηται οὕτως ὡς εἴπομεν, οὐδὲν ποιήσει. πάλιν γὰρ ἀλογοπραγήτως λάβοι αὐτὴν, τοῦ ἐπιτρόπου λείποντος, ἐκεῖνος ἐὰν παραιτήσηται κληρονομίαν ἐξωθεῖται, ὅς τις δύναται καὶ λαμβάνειν μόνος αὐτὴν καὶ καταδέχεσθαι· διὸ ἄνηβος, οὔτε καταδέχεσθαι κληρονομίαν, ἢ ἄλλο τι ποιεῖν δύναται, παρόμοιόν ἐστι καὶ ἐπὶ τῶν ὑπεξουσίων υἱῶν, καὶ τῶν δούλων, καὶ οὗτοι γὰρ χωρὶς τῶν πατέρων καὶ τῶν δεσποτῶν, οὔτε καταδέχεσθαι, οὔτε παραιτεῖσθαι κληρονομίαν δύνανται, ἀλλ᾽ οὐδ᾽ ἄλλο τι συνάλλαγμα συναλλάσσειν, ἐν χωρὶς τῶν δεσποτῶν συναλλάσσειν οὐ δύνανται. Οὐ δοκεῖ θέλειν, ὁ πειθαρχῶν πατρὶ καὶ δεσπότῃ.

Ὁ ἔχων ἐξουσίαν δωρεῖσθαι πρᾶγμα καὶ πιπράσκειν, καὶ ἐκχωρεῖν αὐτὸ δύναται. Οὐ δοκεῖ γίνεσθαι ὑπέρθεσις, ἔνθα μὴ ἁρμόζει ἀπαίτησις. Ὁ ἄλογος καὶ μάταιος φόβος, οὐ συμβάλλεται.

ΠΕΡῚ ΣΗΜΑΣΊΑΣ ὈΝΟΜΆΤΩΝ τίτλ. γ΄.

Δοκεῖ γυνὴ υἱὸν ἔχειν ἐν τῷ τελευτᾶν, ἧς ἀνατμηθείσης ἐξῆλθε τὸ βρέφος. Πράγματα ἀπεῖναι δοκεῖ καὶ ταῦτα, ὧν τὸ μὲν σῶμα μένει· ἡ δὲ μορφὴ ἐνήλλακται. Διά τοι τοῦτο, ἐὰν διεφθαρότα ἀποδοθῇ, ἢ μετασχηματισθέντα, δοκεῖ ἀπεῖναι.

Ἐκεῖνος ἀποκαθιστᾷ, ὁ διδοὺς οὕτω τὸ ἐνάγοντι, ὡς ἔμελλεν αὐτὸ ἔχειν ἐν καιρῷ τῆς καταρχῆς. Ἀποκαθιστᾶν δοκεῖ, ὁ μὴ μόνον τὸ σῶμα τὸ ζητούμενον, ἀλλὰ καὶ ὅλην τὴν τοῦ σώματος αἰτίαν καὶ τύχην διδούς· πᾶσα γὰρ ἀποκατάστασις, οὐ μόνον τοῦ σώματος, ἀλλὰ καὶ τοῦ δικαίου ἐστίν. Ἐπὶ

μὲν τῶν ἄλλων, τῇ τοῦ υἱοῦ προσηγορίᾳ καὶ οἱ ἔγγονοι περιέχονται· ὥσπερ δὲ τοῦ ὥσπερ προπάτης, οὐδαμῶς. τῇ προσηγορίᾳ τοῦ ἀπελευθέρου, καὶ ἡ ἀπελευθέρα δηλοῦται. τὰ λεγόμενα περὶ ἄρρενος, ὡς ὥσπερ τὸ πλεῖστον καὶ περὶ θηλείας λέγεται.

Διαίσιον, μεταξὺ ἀνδρὸς καὶ γαμετῆς, γίνεσθαι λέγεται· διαζύγιον δὲ τῇ μνηστῇ πέμπεσθαι δοκεῖ, ὅπερ καὶ εἰς πρόσωπον τῆς γαμετῆς οὐκ εὐήθως πίπτει. ΣΧΟΛ. Αἰτίαι εἰσὶ διάφοροι, δι᾽ ἃς ὁ μεταξὺ ἀνδρὸς καὶ γυναικὸς συστὰς γάμος διαλύεται· ὡς ὅταν γυνὴ βουλομένοις τισὶ κατὰ τοῦ βασιλέως συνειδυῖα, μὴ φανερώσῃ τῷ ταύτης ἀνδρί, τότε ἔξεστι μαθόντι τῷ ἀνδρὶ χωρίζεσθαι αὐτῆς, καὶ πέμπει γραφὴν λέγουσαν, τὰ σεαυτῆς ὦ γύναι πρᾶττε· κἀκείνη πάλιν τῷ ἀνδρὶ διὰ τὴν αὐτὴν αἰτίαν, οὕτω γράφειν δύναται. ἡ γοῦν τοιαύτη γραφή, λέγεται διαίσιον, καὶ λέγεται ὥσπερ μόνης γυναικὸς καὶ ἀνδρὸς κυριολεκτούμενον. ὥσπερ δὲ μνηστῆς, εἴποτε τοιοῦτον συμβῇ, ἢ ἕτερόν τι, καὶ μέλλουσιν ἀπ᾽ ἀλλήλων οἱ συναλλάξαντες διαχωρίζεσθαι, εἰ πεμφθῇ τοιαύτη γραφή, οὐ λεχθήσεται κυρίως διαίσιον, ἀλλὰ διαζύγιον καταχρηστικῶς. εἰς τί δὲ τὰ τοιαῦτα ῥήματα, ἐάν τις εἴπῃ πρός τινα· δωροῦμαί σοι τόδε μου τὸ πρᾶγμα, καὶ θέλω ἔχειν σε τοῦτο, ἄχρις ἂν ὁ μέσον σοῦ καὶ τῆς γυναικὸς γάμος διαζυγίῳ διαλυθῇ· συμβῇ δὲ χωρισθῆναι ἀπ᾽ ἀλλήλων αὐτούς, καὶ ἔλθῃ ὁ δωρησάμενος εἰπὼν ἀναλαβεῖν τὸ δωρηθέν, ὡς ἤδη τοῦ γάμου λυθέντος, οὐκ ἐκβληθήσεται παρὰ τοῦ λαβόντος τὴν δωρεάν, λέγοντος, ὅτι ἐπειδὴ ὁ μέσον ἀνδρὸς καὶ γυναικὸς διαλυόμενος γάμος, διαισίῳ λέγεται λύεσθαι κυρίως καὶ οὐ διαζυγίῳ· σὺ δὲ τὴν τῆς δωρεᾶς ἀνάληψιν ἀπὸ διαζυγίου ἐπηρώτησας, καλῶς ζητεῖ αὖθις τὸ πρᾶγμα ἀναλαβεῖν, ἀκουσθήσεται γοῦν παρὰ τοῦ δωρησαμένου, ὅτι εἰ καὶ κυρίως διαίσιον μεταξὺ ἀνδρὸς καὶ γυναικὸς λέγεται, ἀλλ᾽ οὖν οὐκ ἀπεικότως καὶ τὸ διαζύγιον λέγεται. ἡ μὲν γὰρ ἀμφοτέρων

τὴν ῥημάτων σημασίαν, διαφορὰν ἔχει τεχνολογουμένη παρὰ τῷ νομοθέτῃ τὴν ἄσωτον δὲ πρὸς ἀσπέλισμα, ἢ ἀμφοτέρων τὴν ῥημάτων ἡ δύναμις τοῦ δεσμοῦ ἂν ἔχει διαφορὰν, καὶ καλῶς αὐτὸς εἶπε, τοῦ παρόντος κεφαλαίου βοηθοῦντος αὐτοῦ, ἣν δωρεὰν ἀναλήψεται. Καὶ ἡ διακατοχὴ, κληρονομία λέγεται. Διαφέρειν δηλοῖ, καὶ τὰ ὄντα τῆς δεσποτείας ἡμῶν, καὶ ἅπερ νεμόμεθα, ἢ ἐλπίζομεν κτᾶσθαι ἢ νέμεσθαι. Οὐ λέγεται ἄνηβος, ὁ ἐν γαστρὶ ὤν. Ὁ λέγων ποιῆσαι ἔσω ἡμερῶν, καὶ μὴ προσθεὶς πόσων, ἔσω δύο δοκεῖ λέγειν. Ἐκποιεῖ πρᾶγμα, καὶ ὁ ὑπεξούσιος αὐτοῦ τῆς χρήσεως δεσπόζων, ἢ τῇ ἀχρηστίᾳ ἀλλὰ τὰς ἐγκλείσας αὐτοῦ. ὁ δὲ μὴ ἰδίως κτώμενος, οὐ δοκεῖ ἐκποιεῖν, ὥσπερ ὁ τὴν ἀπαγορεύοντος κληρονομίαν, ἢ μὴ χρώμενος τῇ καταλειφθείσῃ αὐτῷ ἰδιολογῇ. Πιστικὸς λέγεται, ᾧ ἐμπιστεύονται τινὰ πράγματα, καὶ διὰ τοῦτο καὶ τὸν κριθέντα ἀξιόπιστον εἰς φυλακὴν πλοίου, πιστικὸν λέγουσι τῆς νηός. Ῥέμβος ἐστὶν ὁ μικρὸς φυγάς, καὶ ἐκ τοῦ ἐναντίου ὁ φυγὰς, μέγας ῥέμβος ἐστίν. κυρίως δὲ ῥέμβος ἐστὶν, ὁ συνεχῶς ἀναιτίως πλανώμενος, καὶ τοὺς καιροὺς εἰς ἀνόνητα δαπανῶν, καὶ βραδέως εἰς τὸν οἶκον ἀναστρέφων. Τὸ ῥεπούδιον, τὸ διαζύγιον δηλοῖ· διαζύγιον δὲ, τὸ γράμμα τὸ ἤδη χωρισμὸν τὴν κατὰ γάμον ἑνωθέντων γινόμενον. Τῷ ὀνόματι τοῦ βαλανείου, πάντες οἱ καρποὶ καλοῦνται. Τὰ κεφαλικὰ, θάνατον δηλοῦσι, καὶ πολιτείας ἔκπτωσιν. Ὁ λέγων μέρος, καὶ μὴ προσθεὶς ποῖον, τὸ ἥμισυ δηλοῖ. Τὸ ἐπερωτῆσαι πρᾶγμα ὀρθῶς, ἀποκαταστῆσαι δηλοῖ μετὰ τῶν καρπῶν. Ὁ ταχθεὶς νεκρὸς, οὔτε γεννᾶσθαι δοκεῖ, οὔτε παῖς λέγεται.

ΣΧΟΛ. Οἷον ἐτέχθη παιδίον, μετὰ θάνατον τοῦ πατρὸς ἀμνημονευθέντων γεγονὸς ἐν τῇ διαθήκῃ, καὶ γέγονε κληρονόμος ἕτερος, φησὶν ὁ νόμος, ὅτι εἰ μὲν ζῶν ἐγεννήθη, ῥήγνυσι τὴν διαθήκην· εἰ δὲ νεκρὸν, οὐδαμῶς. οὐ γὰρ ζῶν ἐστι καὶ λαλοῦν,

ἀλλ' ὡς σῶμα νεκρόν, οὔτε κηδεύεσθαι λέγεται, οὔτε ταφῆς ὀνομάζεται· διὰ τὸ ἄπνουν ἐξενεχθῆναι καὶ νεκρόν. Τὸ εἰπεῖν ἐὰν συμβῇ τῷ υἱῷ μου τί ποτε, θάνατον δηλοῖ. Σχόλ. Ὅθεν οἷον ἐὰν εἴπω πρός τινα, ὁμολογῶ δοῦναί σοι ι. κ. ἐὰν συμβῇ τῷ υἱῷ μου τί ποτε, καὶ τελευτήσῃ ὁ υἱός μου, ἀπαιτεῖμαι παραχρῆμα τὰ ι΄ ὥσπερ καὶ ἐὰν εἴπω, εἰ συμβῇ τῷ υἱῷ μου ἀνθρώπινον, καὶ ἄμφω γὰρ ταῦτα τὰ ῥήματα, θάνατον δηλοῦσιν. Χήρα λέγεται οὐ μόνον ἡ διαζυγεῖσα, ἀλλὰ καὶ ἡ μὴ οὕτως αὖθις ἐγημεῖα. Θόρυβος λέγεται, ἀπὸ δέκα ἀνθρώπων καὶ πλειόνων· ἡ γὰρ τῶν ἡττόνων μάχη, καὶ οὐ θόρυβος λέγεται. Ἐπερώτησις ἐστὶ, συνθήκη ῥημάτων, δι' ὧν ἀποκρίνεταί τις πρὸς τὴν ἐπερώτησιν ποιεῖν τι ἢ διδόναι. Ἐπιβολή ἐστιν, ἀπόδοσις ἀπὸ ἐκτίσεως πρὸς κληρονόμους, ἢ ζῶν τελευτάς, ἢ ὁ μοιχεύσας, καὶ ὁ μεσιτεύσας. Ἐργολάβος ἐστίν, ὁ χρήματα δεδωκώς, ἐπὶ τῷ ἐκχωρηθῆναι αὐτῷ ἀγωγήν. Ποινὴ μετάλλου ἐστί, τὸ καταδικασθῆναί τινα ἄργυρον ποιεῖν, καὶ θεῖον ὀρύττειν. Ὅτι ἡ ἡμέρα, ἀπὸ τῆς ἑβδόμης ὥρας τῆς νυκτὸς ἄρχεται, καὶ τελευτᾷ εἰς ἕκτην ὥραν τῆς ἐπιούσης νυκτός· ὥστε καὶ τὸ πραττόμενον ἐν μιᾷ τούτων τῶν κδ΄ ὡρῶν, ἐν τῇ αὐτῇ ἡμέρᾳ δοκεῖ γίνεσθαι. Εἴ τις ἐν τῇ πρὸ τῆς ἡμέρας τοῦ βισέξτου, εἴτε ἐν τῇ β΄ τεχθῇ τις, ἀδιάφορόν ἐστιν· ἐξ ἐκείνης γὰρ τὸ ἐνκοστὸν ε΄ ἴδος ψηφίζεται, ὡς τῶν δύο ἡμερῶν, ἀντὶ μιᾶς παραλαμβανομένων. Ἐὰν αἵρεσις ἐπιτεθῇ καὶ μὴ ὁρισθῇ, ἡμέρας δύο ἔχει εἰς τὸ πληρῶσαι τὴν αἵρεσιν. Ἐὰν αἵρεσις τοιαύτη δοθῇ, ὁ δεῖνα τόδε ποιήσει ἐν ἡμέραις, ἐν δύο ἢ δέκα ἡμέραις, χρὴ αὐτὸν ποιῆσαι τὴν αἵρεσιν. Τὸ κουαδουνβενζὶ ῥῆμα, τουτέστι τὸ παραχρῆμα, τρεῖς ἡμέρας δηλοῖ. Μέτριος χρόνος, δέκα ἡμέραι εἰσίν. Ὀλίγος χρόνος νοεῖται, οἱ δύο μῆνες. Ὁ συνήλικος ἐν ἰσχύϊ, ἤτοι ὁ ἐρρωμένος, τεσσαρακοντα ἐστίν. Ὁ πολίτης ἐν πόλει δέκα ἔτη, δοκεῖ τὴν οἴκησιν

ἐκεῖ ἔχειν. ὁ πληρώσας τὰ δεκαεπτὰ ἔτη καὶ ἀρξάμενος τῶν δεκαοκτὼ, δύναται συνηγορεῖν.

ΝΟΜΟΣ.

Μεταξὺ δὲ τοῦ προστίμου καὶ τῆς ποινῆς, πολὺ διαφορεῖ· ἐπειδὴ ἡ ποινὴ, γενικόν ἐστιν ὄνομα, καὶ πάντων τῶν ἁμαρτημάτων κόλασις· τὸ δὲ πρόστιμον, ἰδικοῦ ἁμαρτήματος δεῖγμα, οὗτινος ἡ ἐπιγραφὴ σύμβολον χρηματική ἐστιν. ἡ δὲ ποινὴ, οὐ μόνον χρηματικὴ ἀνάγεσθαι εἴωθεν, ἀλλὰ καὶ ἐγκληματικὴ, καὶ τὸ μὲν πρόστιμον, ἐκ δοκιμασίας ἄρχεται τοῦ λέγοντος τὸ πρόστιμον. ποινὴ δὲ οὐκ ἐπάγεται, εἰ μὴ ὑπὸ ἑκάστου νόμου, ἢ ἑτέρου δικαίου νομίμου, ἰδικῶς τῷ ἐγκλήματι ἐπιτεθεῖσα.

ΣΧΟΛ.

Ποινή ἐστιν, ἡ ἀπὸ τοῦ νόμου ἀφορισμένη τιμωρία ἐπὶ τοῖς ἁμαρτήμασιν, εἴτε χρηματική ἐστιν, εἴτε ἐγκληματική· ἤτοι κεφαλικὴ, ἥτις οὐκ ἀπὸ τοῦ δικαστοῦ προστίθεται καὶ ὑφείσκεται, ἀλλ᾽ ἀπὸ τοῦ νόμου πεπόρισται καὶ † εὕρηται, καὶ αὔξειν ἢ μειοῦν ταῦτα ὁ δικαστὴς οὐ δύναται· † ὥρισται ἡ δὲ χρηματικὴ ποινή ἐστι, τὸ τὸν φανερὸν κλέπτην διδόναι τὸ τετραπλοῦν· τὸν δὲ ἀφανῆ, τὸ διπλοῦν. ὁρᾷς ὅπως ὁ νόμος ὡρίσατο καὶ ἐπέστησε τὴν ποινὴν, τῆς ἀφανοῦς κλοπῆς, καὶ τῆς φανερᾶς, ταύτην ὁ δικάζων, μειῶσαι ἢ αὐξῆσαι οὐ δύναται. ἐγκληματικὴ δὲ, ἤτοι κεφαλικὴ ποινή ἐστιν, ἡ ἐπαγομένη τῇ κεφαλῇ, καὶ περὶ σώματι τοῦ ἁμαρτήσαντος τὴν τιμωρίαν, οὐκ ἐν χρήμασιν, ἀλλ᾽ ἐν αὐτῷ περὶ τῷ σώματι· ἤγουν ὅταν ὁ νόμος ὁρίζῃ κεφαλῆς ἐκτομὴν, ῥινὸς ἀφαίρεσιν, ἢ χειρὸς, ἢ ἄλλου τινὸς μέλους, ἢ ὅταν ἐπάγῃ τινὶ ἀτιμίαν ἀπὸ τινος ἁμαρτήματος, τότε λέγεται ἡ ποινὴ κεφαλικὴ, ὡς τῇ κεφαλῇ καὶ περὶ ὅλῳ σώματι τοῦ ἀνθρώπου ἐπαγομένη. τὸ πρόστιμον δὲ, ἀεὶ ἐν χρήμασιν ἐστὶν, οὐχ ὥρισται δὲ ἀπὸ τοῦ νόμου· οὐ γὰρ εὑρήσεις νόμον λέγοντα ὅτι παραβὰς τὸ δεῖνα τὸ συνάλλαγμα, διδότω τόσα, ἀλλὰ τὸ πρόστιμον, ἢ ἀπὸ τοῦ δικαστοῦ ἐπιφέρεται, ἢ ἀπὸ τῆς τῶν συναλλαττόντων συμφωνίας καὶ ἀρεσκείας· δι᾽ ὃ λέγω, τὸ μὲν νόμοις λέγονται, ὃ οὐ πᾶς δικαστὴς δύναται προστιμᾶν.

εἰς ὅσον προσὸν ἐθέλει. ἀλλ' ὁ μὲν, ἔλαβεν ἄδειαν ἀπὸ τοῦ νόμου πρόστιμον ἐπάγειν λ΄ ι΄· ὁ δὲ, ε΄· ὁ δὲ, γ΄· ὁ δὲ, β΄· ὁ δὲ, οὐδὲ ἕν. ὅταν οὖν τις ἁμάρτῃ ἁμάρτημα, ἐφ' ᾧ τινι ὁ νόμος ὡρισμένην ποινὴν οὐχ ὥρισε, ἀλλὰ τῷ δικαστῇ τὴν περὶ τούτου δοκιμασίαν ἀνέθετο, προστιμᾷ τὸν ἁμαρτήσαντα ὁ δικάζων· τουτέστιν ὁρίζει αὐτὸν ἀπαιτηθῆναι τόσα νομίσματα, πλὴν τὸ ποσὸν οὐ δύναται ὑπερβαίνειν, ὃ ὁ νόμος ὥρισεν. δι' ἐὰν εἴπῃ ὁ νόμος τόνδε τὸν δικαστὴν μέχρι δύο λιτρῶν δύνασθαι προστιμᾶν, οὗτος οὐ δύναται προστιμᾶν τινὰ εἰς ἐπέκεινα ποσὸν τῶν β΄ λιτρῶν, καὶ ἐὰν εἴπῃ πλέον, οὐ κρατεῖ. ἀεὶ δὲ ἐν χρήμασιν ὁρίζει τὸ πρόστιμον, οὐ μὴν ἐν ἄλλῳ τινὶ, ἢ μέλους ἀποτομῇ, ἢ ἀτιμίᾳ, καὶ οἱ μὲν δικασταὶ τοῦτον τὸν τρόπον πρόστιμα ἐπάγουσιν. οἱ δὲ συναλλάσσοντες οὕτως, συνήλλαξα ἐγὼ μετὰ σοῦ, πρᾶσιν ἢ μίσθωσιν, ἢ ἄλλην τινὰ ἐποίησα πρὸς σὲ συμφωνίαν ἐπιφέρομεν οὖν ἀλλήλοις ἐξ ἀρεσκείας ἡμῶν πρόστιμον ὅσον βουλόμεθα, καὶ λέγομεν ὅτι ὅστις ἐξ ἡμῶν παραβῆναι πειραθῇ τὴν τοιαύτην συμφωνίαν, ἵνα δίδωσι τῷ ἑτέρῳ χρυσίου λίτρας τόσας, ὅσας δηλαδὴ ἀμφότεροι θελήσωμεν· καὶ πρὸς τὴν θέλησιν ἡμῶν κρατεῖ καὶ ἀπαιτεῖται τὸ τοιοῦτον πρόστιμον. καὶ τοῦτο δὲ ἀεὶ χρηματικόν ἐστι. δύναται γάρ τις συναλλάσσων, ἐπερωτῆσαι πρόστιμον κεφαλικὴν τιμωρίαν, ἢ ἀτιμίαν, ἢ μέλους οἱουδήποτε ἀφαίρεσιν· κἂν γὰρ συμφωνηθῇ, οὐ κρατεῖ. ταῦτα μαθὼν, εὐκόλως νοήσεις τὸ νεαρόν. ὅρα γάρ τί φησιν, ὅτι πολὺ διαφέρει πρόστιμον καὶ ποινή. ἡ μὲν γὰρ ποινὴ, γενικόν ἐστιν ὄνομα, ἤτοι περιέχει καὶ τὰς χρηματικὰς ποινὰς καὶ τὰς ἐγκληματικὰς, καὶ ὁ εἰπὼν ποινὴν, καὶ τὴν χρηματικὴν δηλοῖ καὶ τὴν ἐγκληματικήν, ἢ διότι πάντα τὰ ὡρισμένα ἐγκλήματα καὶ ἁμαρτήματα, τιμωρεῖται ἀπὸ τῶν νόμων ἡ ποινὴ, καὶ ἐπὶ πάντων ἐπιφέρεται, διὰ τοῦτο ἡ ποινὴ, γενικὸν ὄνομα εἴρηται. ἔστι δὲ

ἡ ποινὴ, ἐπιστροφὴ, ἤτοι σωφρονισμὸς καὶ τιμωρία καὶ ἐπανόρθωσις πάντων τῶν ἁμαρτημάτων, καὶ ἐνταῦθα μὲν, καὶ τὰ ἐγκλήματα πάντα, ἁμαρτήματα ἐκάλεσεν. ἡ δὲ νομικὴ ἀκρίβεια, ἄλλα λέγει ἁμαρτήματα· οἷον κλοπὴν, δόλον, καὶ ἄλλα· ἐγκλήματα δὲ λέγει, μοιχείαν, φόνον, ἱεροσυλίαν, καθοσίωσιν, καὶ τὰ τοιαῦτα. ᾧ δὲ μὲν οὖν οὐκ ἐχρήσατο τῇ ἀκριβείᾳ ὁ νομοθέτης, ἀλλὰ τὸ ὄνομα τοῦ ἁμαρτήματος, καὶ ἐπὶ τῶν ἐγκλημάτων παρέλαβεν. ἡ μὲν οὖν ποινὴ, γενικῶς πάντα τιμωρεῖται, καὶ ἐπιστρέφει τά τε ἁμαρτήματα καὶ τὰ ἐγκλήματα· τὸ δὲ πρόστιμον οὐκ ἔστι γενικὸν, ἀλλά τινα ὁ δικαστὴς ἁμαρτήματα σωφρονίζει· τουτέστιν ἐάν τις ἀναισχύντως τῷ δικαστῇ διαλεχθῇ· ἢ ἐὰν ὁ συνήγορος δολιεύσηται περὶ τὴν συνηγορίαν, δύναται τούτῳ ὁ δικαστὴς προστιμᾶν. ὁμοίως ὡς ἀνωτέρω εἴπομεν, ἡ ποινὴ καὶ ἐγκληματική ἐστι καὶ χρηματική· τὸ δὲ πρόστιμον, μόνον χρηματικόν. καὶ ἡ μὲν ποινὴ ἀπὸ νόμου ὥρισται, καὶ ὁ νόμος αὐτὴν ἐπάγει, κἂν ὁ δικαστὴς μὴ εἴπῃ τὸ ποσόν· διὸ ἐὰν ὁ δικαστὴς καταδικάσῃ τινὰ ὡς κλέπτην ἢ δόλον ποιήσαντα, ἢ ὡς φονέα, ἢ ὡς ἄλλο τι πλημμελήσαντα, κἂν μὴ ἐπάγῃ καὶ τὴν ποινὴν ῥητῶς, οὐδὲν βλάπτει· ἅμα γὰρ τῇ τοῦ ἁμαρτήματος καταδίκῃ, ἐπακολουθεῖ καὶ ἡ ἀπὸ τοῦ νόμου ὡρισμένη ἐπὶ τούτῳ ποινὴ σιωπηρῶς· κἂν μηδὲν εἴπῃ ὁ δικαστὴς, καὶ δίδωσιν ἢ πάσχει ὁ τῷ ἁμαρτήματι καταδικασθεὶς, ὃ ὁ νόμος ὥρισε. τὸ δὲ πρόστιμον, εἰ μὴ ἢ ὁ δικαστὴς ὅτε αὐτὸ τοῦτο ἐπάγει, ἢ οἱ συναλλάττοντες ποσώσωσιν, οὐ δύναται προστεθῆναι ἢ νοηθῆναι ἑτέρωθεν· εἰ μὴ ἀπὸ δοκιμασίας τοῦ λέγοντος. τ. τοσοῦτον πρόστιμον δίδωσιν ὁ προστιμωθεὶς, ὅσον ὁ δικαστὴς δοκιμάσει, εὔλογον οὖν, ἢ ὅσον ἀρέσει τοῖς συναλλάττουσιν. Ἐπὶ τῆς ποινῆς οὐκ ἔστιν ἔκκλητος, ἀλλ' εἰ περί τις καταδικασθῇ, ὑπόκειται τῇ ἀπὸ τῶν νόμων ποινῇ· ὥρισται δὲ ἡ ποινὴ ἀπὸ τοῦ νόμου ἐφ' ἑκά-

σῳ ἁμαρτήματι. ἐπὶ δὲ τοῦ προστίμου, καὶ ἐκκαλεῖσθαι δύναται καὶ οὐκ ὀφείλεται. εἰ μὴ ὁ πρόσφορος ψηφισθήσεται, δι' ἐφησυχάσει τις, ἢ ἐκκαλεσάμενος ἡττηθῇ, κατ' οἰκείαν δὲ γνῶσιν ὁ δικαστὴς ἐπιφέρει τὸ πρόστιμον, εἰ μὴ ἰδικῶς ὑπὸ τοῦ νόμου ὥρισται. ΣΧΟ'Λ. Νῦν τὸ κεφάλαιον, δῆλον λέγει διαφορὰν προστίμου καὶ ποινῆς, καὶ ἄκουσον. εἰσί τινα θέματα ἐφ' ὧν ὁ νόμος ἔκκλητον γίνεσθαι οὐ παραχωρεῖ· οἷον ἐάν τις δικαζόμενος ὁμολογήσῃ τὸ χρέος, εἰπὼν ὅτι τὰ ἀπαιτούμενα ἐξ ἐμοῦ εἰσιν ἀληθῶς χρεωστῶ, οὗτος οὐκ ἔχει ἔκκλητον καταδικαζόμενος καὶ ἀπαιτούμενος. τί γὰρ καὶ διορθώσεται ἡ ἔκκλητος, καὶ πάλιν ἐὰν δικαζόμενος τις ἀπορήσῃ ἀποδείξεων, καὶ ἐπαγάγῃ ὅρκον, καὶ ὀφειλῇ παρὰ τοῦ δικαστοῦ διὰ συκοφαντικοῦ καὶ πλείονος λυθῆναι τὴν ὑπόθεσιν, οὐκ ἔστιν ἔκκλητος, εἰσὶ καὶ ἄλλα πολλά, σὺν πᾶσι δὲ καὶ τὸ παρόν· λέγει γὰρ τὸ κεφάλαιον, ἐπὶ τῆς ποινῆς οὐκ ἔστιν ἔκκλητος· τουτέστιν ἐὰν δικαστὴς εὑρήσῃ τινὰ φανερὸν κλέπτην ἀναδειχθέντα, καὶ εἴπῃ δοῦναι αὐτὸν τὴν ἀπὸ τῶν νόμων ὡρισμένην ποινὴν τοῦ φανεροῦ κλέπτου, ἤγουν τὸ τετραπλάσιον, οὐ δύναται ὁ καταδικασθεὶς λέγειν ὅτι ἀδικοῦμαι, καὶ ἐκκλητεύω, οὐ δὲ γὰρ ἀκουσθήσεται, οὐ δὲ ὑπερτεθήσεται ἡ ὑπόθεσις, ὡς τάχα ἐκκλήτου δοθείσης, ἀλλ' ἐπειδὴ πρόδηλός ἐστιν ἡ ποινή, καὶ ἀπὸ τοῦ νόμου τετυπωμένη καὶ ὡρισμένη, ἅμα τῷ δικασθῆναι ἀποδώσει αὐτήν. ὥρισε γὰρ ὁ νόμος ἐπὶ ἑκάστῳ ἁμαρτήματι, τὰς ποινάς· οἷον τὸν κλέπτην διδόναι τό. τὸν δολερὸν διδόναι ἢ πάσχειν τόδε ἢ τόδε. καὶ ἁπλῶς ἐν ἕκαστον ἁμάρτημα, ὡρισμένην καὶ δήλην τὴν ἀπὸ τοῦ νόμου ἔχει ποινήν, καθὼς ἐπιπλατύτερον ἐν τῷ πρὸ τούτου κεφαλαίῳ, μετὰ παραδειγμάτων ἐγράφη. ὁ γοῦν τῇ ὡρισμένῃ ἀπὸ τοῦ νόμου καὶ φανερᾷ ποινῇ καταδικαζόμενος· οἷον, ἢ ἵνα ἀτιμωθῇ, ἢ φονευθῇ, ἢ μέλους ἐκτομὴν πάθῃ, ἢ δώσῃ τὸ

πεντάπλουν, ἢ τὸ διπλοῦν, ὡς φανερὸς κλέπτης ἢ ἀφανής, οὐ δύναται ἐκκαλεῖσθαι καὶ λέγειν, ὅτι ἀδικοῦμαι· τί γὰρ ἀδικεῖται ὁ ὑπὸ ὡρισμένῳ ποσῷ, ἢ τῇ ποινῇ ἀπὸ τοῦ νόμου καταδικαζόμενος, πλὴν τὰ εἰρημένα νόει. ὅταν ὡς κλέπτης μέν τις ἢ ἁμαρτήσας καταδικασθῇ, καὶ τὴν μὲν κρίσιν δέχηται καὶ οὐκ ἀμφιβάλλει περὶ αὐτοῦ, λέγει δὲ ὅτι οὐχ ὥρισεν ὁ νόμος δοῦναί με τὸ τετραπλοῦν· ἐνταῦθα γὰρ οὐκ ἀκουσθήσεται. διότι ἅμα τοῦ λεχθῆναι ὅτι ἀπεδείχθη ὁ δεῖνα φανερὸς κλέπτης, παραυτίκα ἀποφαίνεται σωτηρῶς ἀπὸ τοῦ νόμου, ὅτι δώσει τὸ τετραπλοῦν, κἂν μηδὲν εἴπῃ ὁ δικαστής. ἀλλὰ γὰρ τοῦτο οὐκ ἔστιν ἔκκλητος ἐπὶ τῆς ποινῆς. διότι οὐχ ὁ δικαστὴς ταῦτα ἐπιφέρει ἵνα λεχθῇ ὅτι ἠδίκησεν, ἢ κατὰ ἀπειρίαν κατεδίκασεν, ἀλλ' ὁ νόμος αὐτός. εἰ δέ τις δικασθῇ καὶ καταδικασθῇ ὡς κλέπτης, ἢ μοιχός, ἢ ἄλλ' ὅτι ποιήσας, ἐξ οὗ ποινὴ ἀπαιτεῖται καὶ αἰτιᾶται ὅλην τὴν κρίσιν, καλῶς ἐκκαλεῖται. ἐπὶ μὲν οὖν τῆς κρίσεως, οὐ δύναται μὴ ἐκκαλεῖσθαι δι' αἰτίας ἃς εἶπον· ἐπὶ δέ γε τοῦ προστίμου, ἐπειδὴ οὐδὲν λέγει περὶ αὐτοῦ φανερῶς καὶ ὡρισμένως ὁ νόμος, ἀλλ' ὁ δικαστὴς τοῦτο ἐπάγει, καὶ δύναται καὶ ἀδικεῖν, καὶ κατὰ ἀπειρίαν πολὺ ἐπάγειν, ἔστιν ἔκκλητος. πολλάκις δέ, οὐ κρατεῖ τὸ πρόστιμον οὐδόλως· εἶπον γὰρ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ, ὅτι οὐ πᾶς δικαστὴς δύναται προστιμᾶν, ἀλλ' οὓς λέγει ὁ νόμος, καὶ οἷς ἐντόπως τοῦτο δίδωσιν· οἵτινες καὶ πρόσφοροι εἰς τὸ ἐπάγειν πρόστιμον λέγονται. εἰ γοῦν τις δικαστής, ὃν ὁ νόμος οὐχ ὥρισε προστιμᾶν, ἢ προστιμᾶν ὀλίγον, ἐπάγει πρόστιμον παρὰ τὸν νόμον, οὐ κρατεῖ οὐδὲ ἀπαιτεῖται. διότι οὗτος οὐκ ἦν πρόσφορος εἰς τὸ ἐπάγειν πρόστιμον, καὶ ἡσυχάσει ὁ καταδικασθείς, ἢ ἐκκλητεύσας ἡττηθῇ, καὶ φανῇ ὅτι καλῶς ἐπήχθη αὐτῷ καὶ οὐκ ἠδικήθη, δίδωσιν αὐτό, ὅπερ δὲ καὶ ἄνωθεν ἔγραψα, καὶ λέγει ὁ νόμος τρανῶς· ἡ μὲν ποινή, ὥρισται ἀπὸ τοῦ νόμου· τὸ δὲ πρόστιμον κατ' οἰκεί-

σιν γνώμην ὁ δικαστὴς ἐπιφέρει· δηλονότι ἐὰν τις ἁμάρτῃ τι πρὸς δικαστὴν, καὶ θέλῃ προστιμῶσαι αὐτὸν, ἐξουσίαν ἔχει ἐπειπεῖν δοῦναι αὐτὸν πρόστιμον, ὅσον θέλει καὶ δύναται· εἰ μήτοι καὶ τὸ πρόστιμον ἀπὸ τοῦ νόμου ὥρισται τουτέστιν, εἰ μὴ φανερῶς ὁ νόμος εἴπῃ, ὀφείλει πρόστιμον δοῦναι, ὁ ποτὲ δὲ τι ἁμαρτήσας· δηλονότι λέγω, λέγει ὁ νόμος, ὁ δοθεὶς ἀῤῥαβὼν, εἰ μὲν παρὰ τοῦ δεδωκότος ἀνατρέπεται τὸ συνάλλαγμα, κερδαίνεται παρὰ τοῦ λαβόντος, ὡς πρόστιμον· εἰ δὲ παρὰ τοῦ λαβόντος, ἀναδίδοται εἰς τὸ διπλοῦν, τουτέστι τὸ δοθὲν, καὶ ἄλλο τοσοῦτον. ἐκτὸς γοῦν τὸ πρόστιμον ὡρισμένον ἀπὸ τοῦ νόμου, ὁ δικαστὴς ἔσται ἐκκλητεύων, κατὰ τὴν ἀνωτέρω γραφεῖσαν παρατήρησιν.

τέλος τοῦ ἕκτου.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE



11-3-6-21 Z

Digitized by Google

Digitized by Google

Digitized by Google